# Fragmenta in Psalmos 1-150

1.1,2 Μακάριος ἀνὴρ, ο ς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ε στη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν. ̓Αλλ' η ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐ τοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέ ρας καὶ νυκτός. Μακάριος ου ν ὁ τὰ ο ντως ο ντα ποθῶν. ̓Αλλὰ πῶς ἐν ἀναιρέσει κακῶν ὁ μακαρισ μός; κοινὸν γὰρ καὶ τῶν ἀψύχων καὶ τῶν ἀλόγων ἡ τῶν κακῶν ἀποχή· διὰ τοῦτο τοίνυν ἐπήγαγεν· ̓Αλλ' η ἐν τῷ νόμῳ Κυ ρίου τὸ θέλημα αὐτοῦ. Τοῦτο γὰρ οὐ μό νον πέφυκεν λογικοῦ, ἀλλὰ καὶ τῆς τῶν καλῶν ἀναλήψεως καταρχὴ, τῶν κακῶν ἡ φυγή. Εκκλινον γὰρ, φησὶν, ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. ̔Ως γὰρ ἐπὶ τῆς κλίμακος πρώτη ἀνάβασις ἡ τῆς γῆς ἀναχώρησις, ου τως ἐπὶ τῆς κατὰ Θεὸν προκοπῆς, ὁ χω ρισμὸς τοῦ κακοῦ. ̓Αλλὰ καὶ ο λως δὲ πᾶσα ἀργία καὶ τῆς τυχούσης πράξεώς ἐστιν εὐ μαρεστέρα, ο ποιον τό· Οὐ μοιχεύσεις, οὐ πορνεύσεις, καὶ τὰ ἑξῆς, ἀργίας ἑκάστου καὶ ἀκινησίας δεῖται. Τὸ δέ· ̓Αγαπήσεις τὸν πλησίον σου, καί· Πώλησόν σου τὰ ὑπάρ χοντα, καὶ δὸς πτωχοῖς, καί· ̓Εάν τίς σε ἀγγαρεύσῃ μίλιον ε ν, υ παγε μετ' αὐτοῦ δύο, ψυχῆς η δη νεανικῆς καὶ ἀθλητῶν ἐνεργή ματα. –Εἰ γὰρ εὐθὺς προέβαλέ σοι τὰ τέλεια, ἀπώκνησας α ν πρὸς τὴν ἐγχείρησιν· νῦν δὲ τοῖς εὐληπτωτέροις σε προεθίζει, ι να κατατολμήσῃς τῶν ἐφεξῆς· ω σπερ ἐνεργή ματά ἐστιν ἀθληταῖς πρέποντα, ψυχῆς η δη νεανικῆς δεόμεθα πρὸς κατόρθωσιν· ω στε θαύμασον τὴν σοφίαν τοῦ διὰ τῶν εὐμα ρεστέρων καὶ εὐληπτοτέρων ἐνάγοντος ἡμᾶς πρὸς τὴν τελείωσιν. – Εστιν ἁμαρτωλῶν ὁδὸν, τὸν διάβολον εἰπεῖν· ἐν ῃ ὁ γενόμενος, μὴ ἐμμενέτω, κατὰ τό· ̓Αντίστητε τῷ δια βόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν. ̔Ο γὰρ μὴ στήσας ἐν αὐτῇ, πρὸς Κύριον η ξει, τὸν εἰ πόντα· ̓Εγώ εἰμι ἡ ὁδὸς, ἐν ῃ γινόμενος, καὶ κατὰ σκοπὸν δραμὼν, τεύξεται τῶν βραβείων. ̓Ασεβῶν, τῶν τὸν Θεὸν ἀγνοούντων. ̓Επὶ καθέδραν, τὴν κακῶν ἐργασίαν, κατὰ διάδοσιν γενομένην. ̓Αλλ' η ἐν τῷ νόμῳ, τῷ εὐαγγελικῷ δη λονότι. Μελετήσει, τῷ βουλεύματι αὐτοῦ.
1.3 Καὶ ε σται ὡς τὸ ξύλον τὸ πεφυ τευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ο τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται, καὶ πάντα ο σα α ν ποιῇ κατευοδωθήσεται. Ξύλον ὁ Χριστὸς ἀναγέγραπται ἐν τῇ θεοπνεύστῳ γραφῇ. –̔Ο δὲ ̓Ακύλας τὸ μεταπεφυτευμένον ἐξέδωκε· ἐῤῥιζόμενος γὰρ τῶν πατριαρχῶν ῥίζαις, μεταπεφύτευται εἰς τὸ καὶ α λλους μεταλαβεῖν αὐτοῦ τῆς εἰ κόνος, τῆς κατὰ τὸ μεταφυτεύεσθαι λαμ βανομένης, η καὶ διὰ τὴν ψυχὴν ει ρηται τοῦ Σωτῆρος μεταφυτευθεῖσα ε νθεν εἰς τὸν παράδεισον. Εφη γὰρ τῷ λῃστῇ· Σήμερον μετ' ἐμοῦ ε σῃ ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ. Διεξόδους δὲ ὑδάτων, τὰς θείας γραφὰς, ἐν αι ς ἁπανταχοῦ ε στιν εὑρεῖν Χριστὸν κη ρυσσόμενον. Τὸν καρπὸν τοῦ ξύλου νοήσεις τὴν ὀρ θὴν πίστιν. Φύλλα δὲ αὐτοῦ, τὴν πλήρωσιν τῶν ἐν τολῶν. Ελεγε δέ τις τῶν ἁγίων, φύλλα ει ναι τῶν ἀσκητῶν τὴν ταπεινοφροσύνην, σκέ πουσαν αὐτῶν τοὺς καρποὺς, καὶ μηδέποτε πίπτουσαν. –Κατευδωθήσεται· οὐ γὰρ ε στι πρᾶξις τῶν κατὰ Θεὸν γενομένων ἀνωφελής.
1.4 Οὐχ ου τως οἱ ἀσεβεῖς, οὐχ ου τως. Τίνες προτιθέασιν δεύτερον τὸ οὐχ ου τως· ου τε δὲ τὸ ἑβραϊκὸν ἀνεδίπλωσε τὴν λέξιν, ου τε τις τῶν ἑρμηνευσάντων ἐχρή σατο ἐπαναλήψει τῆς χρήσεως.
1.5 Διὰ τοῦτο οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς ἐν κρίσει. Εἰπὼν, οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς, εἰς κρίσιν φησὶν, οὐκ εἰς ἐρώτησιν.
1.6 Οτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται. Τὸ γινώσκει, ἀντὶ τοῦ τιμᾷ, κατὰ τὸ εἰρημένον ὑπὸ Θεοῦ πρὸς Μωϋσῆν· Γινώσκω σὲ παρὰ πάντας, καὶ ηυ ρες χάριν παρ' ἐμοί. –Σημειωτέον καθολικῶς ο τι καλὸν μόνον γινώσκεται ὑπὸ Κυρίου· καλὸν γὰρ ὁδὸς δι καίων· ἀλλὰ καὶ ε γνω Κύριος τοὺς ο ντας αὐτοῦ καὶ ὁδὸν δικαίων, εἰπών· ̓Εγώ εἰμι ὁδός. –̔Οδὸς δὲ ἀσεβῶν, η ν ὁδεύουσιν οἱ κακολογοῦντες δημιουργὸν, ὁμοιούμενοι χνῷ ἀπὸ ἀνέμου ἐκριπτομένῳ· διὸ τῆς ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

κρίσει ἀναστάσεως οὐκ ἀξιοῦνται, ὡς οὐδὲ οἱ ἁμαρ τωλοὶ δικαίων βουλῆς. Δικαίων μὲν γὰρ ὁδὸς ἀξία γνώσεως ου σα Θεοῦ, γινώσκεται ὑπ' αὐ τοῦ· ὁδὸς δὲ ἀσεβῶν ἀπολεῖται, ὡς οὐ γι νωσκομένη ὑπὸ Κυρίου. –Εἰπὼν δὲ τὴν ὁδὸν τῶν ἀσεβῶν ἀπόλλυσθαι, διωρθώσατο τὰς τῶν αἱρετικῶν ὑπονοίας, οἰηθέντων τὰς οὐσίας αὐτῶν εἰς τὸ μὴ ο ν ἀφανίζεσθαι, ἐκ τοῦ εἰρῆσθαι· ἀλλ' η ὡσεὶ ὁ χνοῦς, ο ν ἐκρίπ τει ὁ α νεμος ἀπὸ προσώπου τῆς γῆς· ἀπο λομένης γὰρ τῆς ὁδοῦ, ἀνύπαρκτος ἡ ἀσε βεία γίνεται, τῶν οι ς συμβέβηκε καταλει πομένων. 2.π ῾Υπόθεσις. ᾿Αλλ' ἐπειδὴ τὸ μὴ δεῖν ἀσεβεῖν ἐν τῇ ἀρχῇ τοῦ μακαρισμοῦ προετάχθη, τὸ δεύτερον ε πος [τὰ] ε ξω τῆς ἀσεβείας γενόμενα ὑποτίθεται, τὸ εὐαγγελικὸν προαναφωνῆσαν μυστήριον· ω στε τρόπον τινὰ ἐπιγραφὴν τοῦ δευτέρου ψαλμοῦ τὸν πρῶτον ει ναι· λέγει γὰρ τὴν διὰ σαρκὸς ἐκεῖ γέννησιν τοῦ σή μερον μὲν γεννηθέντος δι' ἡμᾶς Χριστοῦ (χρόνου δὲ μέρος ἐστὶ τὸ σήμερον), ἀεὶ δὲ ἐκ τοῦ Πατρὸς καὶ ἐν τῷ Πατρὶ ο ντος Υἱοῦ καὶ Θεοῦ· τήν τε βασίλειαν [λέγει] ἐπὶ τῶν ἀβασιλεύτων, οἱ διὰ τὸ μὴ δουλεύειν Θεῷ ἐπ' ε θνεσιν η σαν κατειλεγμένοι. 2.3 Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. Τὰ γὰρ ε θνη τοῖς ἰδίοις ἁμαρτήμασι πε ρισφίγγεται οὐκ ο ντα ἐλεύθερα· διό φησιν ὁ Χριστὸς, η πρὸς τοὺς αὐτῷ διακονοῦντας ἀγγέλους, η πρὸς τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ α γιον, η πρὸς τοὺς ἀποστόλους τοὺς ὑπηρέτας τοῦ εὐαγγελίου, ταῦτα παρακα λῶν, αὐτῶν διασπᾶν τοὺς δεσμούς. Οἱ μὲν λαοὶ σωματικῶς τυγχάνοντες ὑπὸ τὸν τοῦ νόμου ζυγὸν, τοῦ δικαιώματα περιέχοντος οὐ καλὰ καὶ προστάγματα οὐ καλὰ, προσα γόμενοι δὲ διὰ τοῦ Χριστοῦ τῷ πνευματικῷ νόμῳ, τῷ τὰ καλὰ δικαιώματα ε χοντι καὶ προστάγματα, ἀποτίθενται τὸν βαρὺν τοῦ ἀποκτείνοντος γράμματος ζυγὸν, τοῦ Σω τῆρος λέγοντος πρὸς τοὺς προειρημένους συνεργοὺς τό· ᾿Αποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν, η τοι ἀφ' ἑαυτῶν ποιήσωμεν τοῦτον, μὴ περιμείναντες τῶν βαρουμένων τὴν δέησιν. Η ὡς καὶ αὐτὸς ὑπὸ τὸν νό μον γενόμενος (ἐγράφη γάρ· καὶ περιε τμήθη, καὶ τοῖς σάββασιν αὐτῶν ἠκολού θησεν) τουτέστιν, ἀπ' ἐμοῦ καὶ τῶν πειθο μένων, η γουν τὸν ζυγὸν αὐτῶν ἡμέτερον βάρος ἡγούμενοι, διὰ τὴν πρὸς αὐτοὺς ἀγά πην, αὐτὸν ἀποῤῥίψωμεν· ταῦτα μὲν ου ν περὶ ἀνθρώπων, τῶν τε ἀπὸ ἐθνῶν καὶ τοῦ λαοῦ. 2.4 ῾Ο κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσε ται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Τὸ δέ· ῾Ο κατοικῶν ἐν οὐρανοῖς ἐκγελά σεται αὐτοὺς, πρὸς τοὺς βασιλεῖς τῆς γῆς, ου ς ὁ ἐν οὐρανοῖς ἐκγελάσεται Κύριος, φρό νημα γήϊνον ε χοντας, καὶ μὴ νενομηκότας τὴν περὶ ἐνανθρώπησιν τοῦ Σωτῆρος σο φίαν. ᾿Εκμυκτηριεῖ δὲ καὶ τοὺς α ρχοντας. Επρεπε δὲ φῆσαι τῷ Υἱῷ τοῦ Θεοῦ· ὡς εἰ καὶ τὰ ε θνη ἐκρύαξαν, καὶ οἱ λαοὶ ἐμελέ τησαν κενὰ, ἡμεῖς δὲ τῶν μὲν τοὺς δεσμοὺς διαῤῥήξωμεν, τῶν δὲ τὸν ζυγὸν ἀποῤῥίψω μεν, ἐπεὶ μηκέτι δέχονται τὴν θεραπείαν ῥᾳδίως. Οὐ γὰρ ε θελον ει σω τῆς ἱερᾶς σα γήνης γενέσθαι, περὶ η ς γέγραπται· Ομοιός ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν τῇ σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν. 2.5 Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ. ᾿Οργή ἐστι Θεοῦ κόλασις ἐπίπονος ἐπὶ τῷ συμφέροντι τοῦ ἡμαρτηκότος. –᾿Αλλὰ καὶ ἐν τῷ τῆς κρίσεως καιρῷ ὀργὴν Θεοῦ πειραθήσονται, καὶ τῷ θυμῷ αὐτοῦ ταραχ θήσονται πάντες οἱ τοῦ σωτηρίου Λόγου πολέμιοι. Οὐκ ει πε δέ· κολάσει αὐτοὺς, ἀλλὰ λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ· μετα νοοῦντας γὰρ οὐκ ἐκόλασε, καθάπερ τοὺς Νινευΐτας. ᾿Απειλεῖ γὰρ ἐπὶ σωτηρίᾳ Θεὸς, ε φη, καὶ τοῖς Νινευΐταις ε πεμψεν ᾿Ιωνᾶν. 2.7 ᾿Εγὼ σήμερον γεγέννηκά σε. ᾿Αεὶ τὸ σήμερον καλεῖται. 2.8 Αι τησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ε θνη, τὴν κληρονομίαν σου. Τούτων τὰς βασιλείας ε δειξεν ὁ διάβολος τῷ Σωτῆρι καὶ τὴν δόξαν ἐν στιγμῇ χρόνου. 2.12 Δράξασθε παιδείας. Παιδεία ἐστὶ μετριοπαθεία παθῶν· ο περ συμβαίνειν πέφυκεν ἐκ τῆς πρακτικῆς· η γε πρακτική ἐστι διδασκαλία πνευματικὴ, τὸ παθητικὸν μέρος τῆς ψυχῆς ἐκκαθαίρουσα. 3.2 Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβον τές με; Οἱ προκόπτοντες πολλοὺς τοὺς θλίβοντας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ε χουσι. 3.4 Σὺ δὲ, Κύριε, ἀντιλήπτωρ μου ει , δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. Τὸ τηνικαῦτα ὑψοῦται νοῦς, ὁπηνίκα α ν ἐπιβάλλῃ τῇ πολυποικίλῳ τοῦ Θεοῦ σοφίᾳ. –Τοῦ ἁγίου δόξα ὁ Θεός. Πᾶς δὲ ου δόξα ἐστὶν ὁ Θεὸς, ὑψοῦται ὑπ' αὐτοῦ. –Τὴν κεφαλὴν, τουτέστιν τῆς ψυχῆς τὸ ε παρμα. Ωσπερ γὰρ ὑψοῦται κεφαλὴ τοῦ κατὰ σῶμα μεμεγεθυσμένου παρὰ τὰς τῶν ὑποδεεστέ ρων κεφαλὰς κάτω κειμένας, ου τως καὶ δια ναστάσης τῆς τοῦ μακαρίου ψυχῆς, ἡ κε φαλὴ ὑψοῦται, Θεοῦ συνεργοῦντος αὐτῇ. 3.5 Καὶ ἐπήκουσέν μου ἐξ ο ρους ἁγίου αὐτοῦ. Ορα εἰ δύναται ει ναι ο ρος α γιον ὁ Μο νογενὴς, ο θεν ἐπακούσει ὁ Θεός. 3.8 ᾿Ανάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου, ο τι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραί νοντάς μοι ματαίως.᾿Οδόντας ἁμαρτωλῶν συνέτριψας. ῾Εκάστῳ ὁ Θεὸς ε χει τινὰ κατάστασιν· οι ς τισιν ἀνέστη, τοὺς καὶ σώζει· τοὺς δὲ μα ταίως ἐχθραίνοντας πατάσσει. –Ματαίως ἐχθραινόντων τοιοῦτον δὲ τό· ἐμίσησάν με δωρεάν· ὁποῖοι δὲ οἱ συντριβόμενοι ὑπὸ Κυ ρίου τῶν ἁμαρτωλῶν ὀδόντες, τοιοῦτοι καὶ ου τοι περὶ ω ν ει ρηται· ἐκεῖ ε σται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· καὶ τοῦ φα γόντος τὸν ο μφακα αἱμωδιάσουσιν οἱ ὀδόν τες αὐτοῦ. 4.1 Εἰς τὸ τέλος, ἐν ψαλμοῖς, ᾠδὴ τῷ Δαυίδ. ῾Υπόθεσις. Πολλῶν ψαλμῶν κατὰ μὲν τοὺς Ο΄ ἐχόντων ἐπιγραφὴν Εἰς τὸ τέλος, κατὰ δὲ τοὺς λοιποὺς τὰ κατάλληλα τῷ Εἰς τὸ τέλος ἐνθάδε ἀποδιδόμενα, α ξιον, ο ση δύναμις, ἐξιχνεῦσαι τὸν δηλούμενον ὑπὸ τῆς λέξεως νοῦν.᾿Ιστέον δὲ, ο τι, ω σπερ πάσης τέχνης καὶ ἐπιστήμης ἐστὶ τὸ τέλος, ἐφ' ο σπεύδει ὁ γνησίως τὴν τέχνην η τὴν ἐπι στήμην μετιὼν, ου τως καὶ τῆς λογικῆς φύ σεως δεῖ τέλος τυγχάνειν. Τοῦτο δέ ἐστι τὸ ἐν Χριστῷ ζωοποιηθῆναι, κατὰ τὰ εἰρημένα Παύλῳ τῷ σοφωτάτῳ ἐν τῇ πρώτῃ πρὸς Κο ρινθίους ἐπιστολῇ· Ωσπερ γὰρ ἐν τῷ᾿Αδὰμ πάντες ἀποθνήσκουσιν, ου τως καὶ ἐν τῷ Χρι στῷ πάντες ζωοποιηθήσονται, ε καστος δὲ ἐν τῷ ἰδίῳ τάγματι. – Οσον δὲ ἐν τῷ λέγειν· ἐν τῷ ἰδίῳ τάγματι, οὐχ ε ν τέλος ὑπογράφει πάντων· εἰκὸς γὰρ ε καστον κατὰ τὴν ἀξίαν τῶν πεπραγμένων ζωοποιηθήσεσθαι, η τοι χωρὶς βασάνου ἐπὶ τοῦτο ἐρχόμενον, η μετὰ κολάσεις. Ζωοποιήσας δὲ Χριστὸς πάντας ἐν αὐτῷ τοὺς ἐν τῷ ᾿Αδὰμ ἀποθνήσκοντας, βασι λεύει τῶν ζωοποιηθέντων. –Νομίζομεν τοί νυν τοὺς Εἰς τὸ τέλος ἐπιγεγραμμένους ψαλ μοὺς, τοῦ τέλους τινὰ ἐπιγράφειν νοῦν, καὶ ἐπ' ἐκεῖνο τοὺς συνιέντας τὰ λεγόμενα παρα καλεῖν. –Παντὶ δὲ ἀγωνιζομένῳ τυγχάνει καὶ ἡ νίκη τέλος. Πολλαὶ μὲν ου ν αἱ τῶν κατὰ μέρος νῖκαι, καὶ τέλος, καθάπερ Παύ λου ο τε μὲν λέγοντος· ᾿Εν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς, ο τε δέ· Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ο ν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτὴς, οὐ μό νον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσιν τοῖς ἠγαπη κόσιν τὴν ἐπιφάνειαν αὐτοῦ. 4.2 ᾿Εν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέν μου ὁ Θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνας μοι. Οὐ μετὰ τὸ ἐπικαλεῖσθαι εἰσήκουσέν με, ἀλλ' ἐν τῷ ἐπικαλεῖσθαι. – Οταν τῶν θλίψεων καὶ τῶν πειρασμῶν τοὺς λόγους ἐπιγινώσκομεν, τότε μάλιστα πλατυνόμεθα. –Εἰ καὶ ὡς α νθρωπος ὁ προφήτης ἐπι καλεῖται, καὶ διὰ τὸ ἐπικαλεῖσθαι, εἰσακούε ται ὑπὸ Θεοῦ τῆς δικαιοσύνης αὐτοῦ, λέγω δὲ τῆς δικαιοσύνης τοῦ λέγοντος, καὶ διὰ τοῦτο ἐν πλατυσμῷ κατὰ τοὺς καιροὺς τῆς θλίψεως γίνεται· ἀλλά γε ὡς πρὸς τὸν Θεὸν ὁ τοιοῦτος ω ν, κάτω ἐστίν. Οἱ γὰρ ὀφθαλμοὶ Κυρίου ὑψηλοὶ, ὁ δὲ α νθρωπος ταπεινὸς, καὶ δεῖται τοῦ οἰκτειρηθῆναι ὑπὸ Θεοῦ. 4.3 Υἱοὶ ἀνθρώπων, ε ως πότε βαρυ κάρδιοι; Τό· υἱοὶ ἀνθρώπων, ὁ μέν τις οἰήσεται περιφραστικῶς εἰρῆσθαι, ὡς καὶ Ελλησιν ε θος τῷ τοιούτῳ χρῆσθαι σχηματισμῷ λέ γουσιν· υι ες ᾿Αχαίων, καὶ τὰ ο μοια. –᾿Εν-ταῦθα γινώσκομεν ο τι βαρείας φύσεώς ἐστιν ἡ κακία, διόπερ ὁ ἐρχόμενος εἰς τὴν Αι γυπτον Κύριος, ἐπὶ νεφέλης λέγεται καθέ ζεσθαι κούφης. Νεφέλη δὲ κούφη ἐστὶ φύσις λογικὴ, πάσης ἀρετῆς πληρωμένη καὶ γνώ σεως. 4.4 Καὶ γνῶτε ο τι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐθαυμάστωσε Κύριος τὸν ο σιον αὐτοῦ. Γνῶτε τοιγαροῦν οἱ πεποιθότες ἐπὶ πλή θη, ὡς θαυμαστὸν ἀπέδειξε τὸν πεποιθότα ἐπ' αὐτόν. –Περὶ Χριστοῦ προφητεύει Δαυὶδ ἐν τῷ ιεʹ ψαλμῷ, ω ς ἐστιν ἀληθὴς ο σιος, καὶ μάρτυρες οἱ ἀπόστολοι περὶ αὐ τοῦ, νοήσαντες τό· Ου τε δώσεις τὸν ο σιόν σου ἰδεῖν διαφθοράν. Δυνατὸν δὲ καὶ περὶ παντὸς ὁσίου διδάσκεσθαι, οὐ ταὐτὸ δὲ τὸ πιστεῦσαι καὶ γνῶναι· ὡς οὐδὲ ταὐτὸ ἀληθείᾳ πιστεῦσαι, καὶ γνῶναι τὴν ἀλή θειαν, καὶ πιστεῦσαι Θεῷ καὶ γνῶναι τὸν Θεόν. Τοιγαροῦν τοῖς ἀποστόλοις η δη πε πιστευκόσι φησὶν ὁ Σωτήρ·᾽Εὰν μείνητε ἐν τῷ ἐμῷ λόγῳ, ἀληθῶς μαθηταί μού ἐστε, καὶ γνώσετε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς. ῾Ως γάρ φησιν ῾Ησαΐας· ᾽Εὰν μὴ πιστεύσητε, οὐδὲ οὐ μὴ συνῆτε. Καὶ ὁ Δαυίδ·᾽Επίστευσα, διὸ ἐλάλησα. Καὶ τό· Σχολάσατε δὲ καὶ γνῶτε ο τι ἐγώ εἰμι ὁ Θεὸς, διαφέρειν δηλοῖ τοῦ πιστεύειν τὸ γνῶναι· Τοῦτο γὰρ τοῖς ἀπιστοῦσιν οὐκ ει ρηται· δείκνυσι δὲ καὶ ποίαν δεήσει γνῶσιν ἀπολαβεῖν, [καὶ] ὡς ἐθαυμαστώθησαν ὑπὸ Θεοῦ οἱ ο σιοι, θαύμασι προσαχθέντες τῶν ἀποῤῥήτων μυστηρίων καὶ τῶν ἁγίων θεω ρημάτων. Μεγάλη ββ. p. 560. 4.5 ᾽Οργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. Παραινεῖ μὴ συγκατατίθεσθαι τῇ φαντα σίᾳ, μηδὲ τὸ ε ργον ἐπάγειν κυροῦν τὴν ὀργήν. 4.6 Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον. Θυσία δικαιοσύνης ἐστὶν ἀπάθεια ψυχῆς λογικῆς, προσφερομένη Θεῷ· ἐλπὶς δέ ἐστιν ἀγαθὴ προσδοκία γνώσεως ἀληθοῦς. 4.7 ᾽Εσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. Οἱ μὲν α γγελοι διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Θεοῦ· οἱ δὲ α νθρωποι, τὸ φῶς τοῦ προσώπου αὐτοῦ. Πρόσωπον γὰρ Κυρίου ἐστὶ θεωρία πνευματικὴ πάντων τῶν ἐπὶ γῆς γεγονότων. Φῶς δὲ προσώπου ἐστὶν ἡ μερικὴ γνῶσις τούτων αὐτῶν, ει περ κατὰ τὴν σοφὴν Θηκωϊτίδα· Ωσπερ α γγελος Θεοῦ η ν ὁ Δαυὶδ, πάντα εἰδὼς τὰ ἐπὶ τῆς γῆς. 4.8 Εδωκας εὐφροσύνην εἰς τὴν καρ δίαν μου, ἀπὸ καρποῦ σίτου καὶ οι νου καὶ ἐλαίου. ᾽Επήγγελται δὲ ταῦτα πολλαχοῦ τῆς γρα φῆς τοῖς ἁγίοις, καὶ ἀπειλεῖται τοῖς ἁμαρ τωλοῖς τούτων ἡ στέρησις, δηλαδὴ τῶν νοη τῶν καὶ οὐκ αἰσθητῶν. Κακὰ νομίσαντές τι νες, διὰ τὴν σμικρότητα τῆς ἐπαγγελίας, ἑτέρῳ Θεῷ ὑπ' αὐτῶν ἀναπεπλασμένῳ προσ κύνειν ἠβουλήθησαν· τῶν γὰρ κρειττόνων μεταλαμβάνουσα, ἑκάστη ψυχὴ ἁγιάζεταί τε καὶ εὐεκτεῖ πρὸς τὸ δύνασθαι τὰ ἐπι βάλλοντα αὐτῇ ε ργα ἐπιτελεῖν. Καὶ εἰς τὸν αἰῶνα δὲ τὸν μέλλοντα ταῦτα Παῦλος εἰσ ήγαγεν. Μήτις ὑμᾶς κρινέτω ἐν βρώσει η ἐν πόσει, η ἐν μέρει ἑορτῆς, η νουμηνίας σαββάτων, α ἐστι σκιὰ τῶν μελλόντων. – Σῖτος καὶ οι νος καὶ ε λαιον πληθύνει ἁμαρ τωλούς· εὐφροσύνη δὲ Θεοῦ εὐφραίνει δι καίους. 5.1 Εἰς τὸ τέλος ὑπὲρ τῆς κληρονο μούσης. ῾Η κληρονομία τοῦ Χριστοῦ ἐστιν ἡ φύ σις ἡ λογική. 5.8 Προσκυνήσω πρὸς ναὸν α γιόν σου ἐν φόβῳ σου. Ναὸς α γιός ἐστι τοῦ Θεοῦ ὁ Χριστὸς, διότι ὁ Θεὸς η ν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ. –᾽Εν τῷ φόβῳ Θεοῦ ἐκκλίνει πᾶς ἀπὸ κακοῦ· ἐν φόβῳ δὲ Κυρίου προσκυνεῖ τὸν ναὸν, ο ς ἐστι Χριστός· Λύσατε γὰρ, φη σὶν, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. 5.9 Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιο σύνῃ σου, ε νεκα τῶν ἐχθρῶν μου. ᾽Εν τῇ κατὰ πρακτικὴν δικαιοσύνῃ ἐν τῷ Χριστῷ. –Τῶν ἐχθρῶν. Τῶν νοητῶν δη λονότι· πολλοὶ γὰρ οἱ ἐπιβουλεύοντες τῇ θεοφιλεῖ ψυχῇ, τῇ κατὰ Θεὸν αὐτῆς προ κοπῇ διαβασκαίνοντες. 5.10 Οτι οὐκ ε στιν ἐν τῷ στόματι αὐ τῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία. Πρότερον, οὐδεμία ἀλήθεια, η ὁ Χριστός· καὶ τάχα τὸ δεύτερον, ἠνέγκατο αὐτῶν ἐπι βουλήν. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν. Νεκρῶν ε ργων πεπληρωμένος. 5.11 Κρῖνον αὐτοὺς, ὁ Θεός· ἀποπε σάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν· κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ε ξωσον αὐ τοὺς, ο τι παρεπίκρανάν σε, Κύριε. Οὐ γὰρ ἀφ' ἑαυτοῦ ὁ Θεὸς ἐξωθεῖ τινα· οἱ γὰρ μακρύνοντες ἑαυτοὺς, φησὶν, ἀπὸ σοῦ, ἀπολοῦνται· τοῦ τοίνυν πλήθους τῶν ἀσεβειῶν αὐτῶν ε ξωσον αὐτούς. Ταῦτα γὰρ, φησὶ, πάντα τὰ διαβούλια κατ' ἐμοῦ ἐποι οῦντο, τῇ κατὰ Θεόν μου προκοπῇ ἐναν τιούμενοι· οἱ γὰρ διώκοντες τὴν φίλα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ Θεῷ πράττουσαν ψυχὴν, Θεὸν παραπικραί νουσι, θεομαχοῦντες σαφῶς. – Εξωσον αὐ τοὺς ἀπὸ τῆς ἀσεβείας, εὐσεβεῖς αὐτοὺς ἐρ γασάμενος. –Μακαριότης ἐστὶ, βουλῆς πά σης ἐκπεσεῖν. 5.12 Καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάν τες οἱ ἐλπίζοντες ἐπὶ σὲ, εἰς αἰῶνα ἀγαλ λιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς. Τῶν ἐπιβούλων καταλυθέντων, ἡ εὐφρο σύνη σοῦ κατασκηνοῦντος ἐν αὐτοῖς εἰς αἰῶ να. Καὶ πῶς γὰρ οὐκ ἀγαλλίασις, ῳ Θεὸς πάρεστιν, ὡς ἐν ἰδίῳ ναῷ ἐνοικῶν τε καὶ περιπατῶν; ὡς τὸ μακρύνεσθαι Θεοῦ, τῆς ἁμαρτίας αἰχμαλωτιζούσης, θρήνων ἐπάξιον. Τέλος δὲ τῶν ἀγαθῶν, ἀπολαβεῖν κληρονο μίαν καὶ κλῆρον ε χειν ἐνοικοῦντα Θεόν. 5.13 Ὡς ο πλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς. Στέφανος, φησὶν, ἡμῖν τῶν πόνων χάρις, ἡ τὸ τέλος τούτῳ, καθάπερ ο πλῳ τινὶ, φράτ τουσα ἡμᾶς. 6.2,3 Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με· ἐλέη σόν με, Κύριε· ο τι ἀσθενής εἰμι, ι ασαί με, ο τι ἐταράχθη τὰ ὀστᾶ μου. Θυμός ἐστιν ὁρμὴ ἐπιθυμίας ἡμέρου ψυ χῆς, κατ' ἐξοχὴν ἀμύνης. Λέγει ου ν· εἰ καὶ ἐξώτερος ὁ θυμὸς ἐλέγχει, καὶ ἡ ὀργὴ τά χιον παιδεύει, ἐγώ γε διὰ τὴν ἀσθένειάν μου δεόμαι τοῦ ἐλέους σου, καὶ δι' α λλης ἐλεγ χθῆναι καὶ παιδευθῆναι θεραπείας, οὐ τηλικούτους προσαγού σης πόνους. Θέλει γὰρ καὶ μὴ θυμῷ Θεοῦ ἐλεγχθῆναι, καὶ μὴ παιδευθῆναι ἐν ὀργῇ αὐτοῦ, καὶ ἐλεηθῆναι, ἀσθενὴς ω ν, καὶ ἰα θῆναι ἀπὸ τῆς ταραχῆς τῶν ὀστέων καὶ τῆς ψυχῆς αὐτοῦ. – Σύμμαχος· ἐν χόλῳ, ἐν ἀνυπερθεσίᾳ. 6.6 Οτι οὐκ ε στιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου. Πᾶς ὁ μνημονεύων τῆς ζωῆς, τῆς εἰπού σης· Ἐγώ εἰμι ἡ ζωὴ, οὐκ ε στιν ἐν θανάτῳ. 6.7 Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου. Προτρεπτικὸν πρὸς τὸ δακρύειν ἐν νυκτὶ προσευχομένου. 6.11 Αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου. Δαιμόνων τὸ διὰ παντὸς τὴν ἀνομίαν ἐργάζεσθαι, ἀνθρώπων τὸ μὴ διὰ παντὸς, ἀγγέλων τὸ μηδὲ διὰ παντὸς, μήτε μὴ διὰ παντὸς, ο περ ἐστὶν οὐδέποτε. –Ἀπὸ μοχ θηρῶν διαβουλιῶν ἀποπεσεῖν, οὐ κακὸν τῷ ἀποπίπτοντι, οὐκ ἐρχομένῳ ἐπὶ τὸ μοχθη ρὸν αὐτῶν τέλος, ὡς οὐ καλὸν τῶν κρειτ τόνων μὴ ἐπὶ τέλος ἐλθεῖν. 7.5 Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι α ρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. Κενός ἐστιν ὁ μὴ δυνάμενος λέγειν· Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλά βομεν καὶ χάριν ἀντὶ χάριτος. Διόπερ καὶ οἱ τοιοῦτοι κάλαμοι λέγονται, τρέφοντες ἐν ἑαυτοῖς τὰ θηρία, περὶ ω ν ει ρηται· Ἐπι τίμησον γὰρ, φησὶ, τοῖς θηρίοις τοῦ καλά μου, καί· Ὁ διάβολος, φησὶν ὁ Ἰὼβ, παρὰ παντοδαπὰ δένδρα κοιμᾶται, παρὰ πάπυρον καὶ βούτομον καὶ κάλαμον· ου τος γὰρ βα σιλεύς ἐστι πάντων τῶν ἐν τοῖς υ δασι. 7.6 Καταδιώξαι α ρα ὁ ἐχθρὸς τὴν ψυ χήν μου, καὶ καταλάβοι. Ινα χοϊκὸς, ἀντὶ ἐπουρανίου, γενοίμην. 7.10 Συντελεσθήτω δὴ πονηρία ἁμαρ τωλῶν, καὶ κατευθυνεῖς δίκαιον. Ἐὰν συντελεσθῇ ἡ πονηρία τῶν ἁμαρ τωλῶν, ὁ δίκαιος κατευθύνει τὴν ὁδὸν αὐ τοῦ, μηκέτι πολεμούμενος ὑπ' αὐτῶν. 7.13 Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομ φαίαν αὐτοῦ στιλβώσει. Ῥομφαία ἐστὶ νοητὴ, λόγος πνευματικὸς χωρίζων ψυχὴν ἀπὸ σώματος η κακίας η ἀγνωσίας. 7.14 Ἡτοίμασε σκεύη θανάτου, τὰ βέλη αὐτοῦ τοῖς καιομένοις. Καιόμενοί εἰσιν οἱ τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου δεχόμενοι. 7.17 Καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. Ἡ κορυφὴ νῦν τὸν νοῦν σημαίνει, ει περ ὁ στέφανος τῆς χάριτος, κατὰ τὸν Σωλο μῶντα, η τις ἡ σοφία, δέδεται τῇ κορυφῇ. 8.1 Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν. Κολαστικὸν καὶ τιμωρητικόν. Εὐσεβίου. Ἐνταῦθα εἰς τὸ τέλος ει ρηται, διὰ τὸ ἐπὶ συντελείᾳ τῶν αἰώνων τετυχηκέ ναι τὰ ἐν τῷ παρόντι ψαλμῷ πεπροφητευμέ να· ὑπὲρ δὲ τῶν ληνῶν διὰ τοὺς ἐν πάσῃ τῇ γῇ συστάντας λαοὺς, καὶ τὰς ἐκκλησίας τοῦ Θεοῦ, α σπερ ὁ λόγος ληνοὺς ἀλληγορικῶς ἀποκαλεῖν ει ωθεν· πάλαι μὲν ου ν, ὁπηνίκα ει ς η ν ὁ λαὸς ὁ καλούμενος Ἰσραὴλ, ἀμ πελὼν ἐχρημάτιζεν ου τος. Καὶ ὁ νεὼς ὁ παρ' αὐτοῖς πύργος, προλήνιόν τε τὸ πρὸ τοῦ νεὼ θυσιαστήριον, κατὰ τὴν τοῦ Ἡσαΐου προφη τείαν. Ἀλλὰ νῦν οὐ μιᾶς ληνοῦ, πλειόνων δὲ ληνῶν ὁ λόγος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μνημονεύει, διὰ τὰ πολλὰ θυσιαστήρια τὰ καθ' ο λης τῆς γῆς διὰ Χρισ τοῦ ἐν ταῖς ἐκκλησίαις αὐτοῦ συνεστῶτα. Διὸ καὶ ἐν πγ´ ψαλμῷ, ὑπὲρ τῶν ληνῶν ἐπι γεγραμμένῳ καὶ αὐτῷ, πολλὰ θυσιαστήρια καὶ πλεῖστα σκηνώματα καὶ αὐλαὶ πολλαὶ θεσπίζονται· δι' ω ν ἀντικρὺς τὰ καθ' ο λης τῆς γῆς ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ ἱδρυ μένα θυσιαστήρια δηλοῦται· ο θεν καὶ αὐτὸς ὑπὲρ τῶν ληνῶν τὴν προγραφὴν περιέχει. ʼΩρ. Καὶ ὁ ὀγδοηκοστὸς ἐπιγέγραπται εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν τῷ ʼΑσὰφ, ου ἡ ἀρχή· ʼΑγαλλιᾶσθε τῷ βοηθῷ ἡμῶν. Καὶ ἐν τῷ πγ´ ψαλμῷ τὴν ʽΥπὲρ τῶν ληνῶν εὑ ρήσεις ἐπιγραφήν· πρὸς δὲ ταῦτα λάβωμεν τὰ περὶ Νῶε φυτεύοντος α μπελον· τήν τε περὶ τοῦ ʼΙούδα παρὰ ʼΙακὼβ εὐλογίαν· Δεσμεύων πρὸς α μπελον τὸν πῶλον αὐτοῦ· καὶ τὴν ʼΙσσάχαρ, ο ς ἰδὼν τὴν ἀνάπαυσιν ο τι καλὴ, καὶ τὴν γῆν ο τι πίων, ὑπέθηκε τὸν ω μον εἰς τὸ ποιεῖν καὶ ἐγενήθη ἀνὴρ γεωρ γός. Καὶ μὲν ʼΟζίας γεωργὸς η ν, ἀμπελουρ γοὺς ε χων ἐν τῇ ὀρεινῇ. Καὶ ἡ γύνη δὲ παντὸς δικαίου ὡς α μπελός ἐστιν εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας αὐτοῦ, ῳ γίνεται οι νος εὐφραίνων καρδίαν ἀνθρώπου. Καὶ ὁ ʼΕκκλησιαστής· ʼΕφύτευσεν ἀμπελῶνας, ω ρυξε ληνόν. Καὶ ὁ Σολομῶν φησιν· Οι νον δὲ αἱ ληνοί σου ἐκβλύζωσιν. 8.3 Ενεκα τῶν ἐχθρῶν σου, τοῦ κα ταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν. ʼΩρ. ʽΩς ἐχθρὸς μὲν ἡμᾶς ὁ Σατανᾶς ἁμαρ τάνειν καταναγκάζει· ὡς δὲ ἐκδικητὴς, πα ραδιδομένους κολάζει, ʽΥμέναιον ου ν καὶ ʼΑλέξανδρον αὐτὸς βλασφήμους ἀπεργασά μενος, πάλιν ἐπαίδευσεν, διὰ τὰς εἰς Θεὸν βλασφημίας. 8.6 ʼΗλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγ γέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. Εὐσεβίου. Πῶς δόξῃ καὶ τιμῇ τὸν α ν θρωπον ἐστεφάνωσεν ὁ τῶν ο λων Θεός, νοήσεις, ο τι ἐπὶ μόνου τοῦ ἀνθρώπου ἀνα γέγραπται εἰρηκὼς ὁ Θεός· Ποιήσωμεν α ν θρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁ μοίωσιν· καὶ ἐποίησεν ὁ Θεὸς τὸν α νθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. Καὶ ἐπι φανειῶν κατηξίωσεν ἑαυτοῦ, καὶ σάρκα πε ριβεβλημένῳ ὁμιλίας θείας μετέδωκεν, τότε μὲν δι' ἀγγέλων, τότε δὲ καὶ αὐτὸς δι' ἑαυ τοῦ τοῖς ἁγίοις ὀφθεὶς καὶ χρηματίσας· καὶ ε τι πρὸς τούτοις θείου Πνεύματος καὶ δυ νάμεως οὐρανίου μέτοχον αὐτὸν ἀνέδειξεν, ὡς τὰ μέλλοντα προαγορεύειν, καὶ νόσους παντοίας θεραπεύειν, η δη δὲ καὶ νεκροὺς ἐγείρειν· ὁποῖα προφῆται καὶ ἀπόστολοι πε ποιηκέναι ἱστοροῦνται· εἰ δὲ α πασιν τοῖς λεχθεῖσιν προσθείης τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τὴν ε νσαρκον οἰκονομίαν, ο ψει πῶς ει ρηται· Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, δηλαδὴ ο τι τὸν α νθρωπον. 9.1 ʼΕξομολογήσομαί σοι, Κύριε, ἐν ο λῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμά σιά σου. Ετεροι δὲ πρὸς αὐτὸν, οὐ περὶ αὐτοῦ τὸν παρόντα φασὶν ᾳ δεσθαι ψαλμὸν, ὑπὲρ τῆς ἀνθρωπείας ἐξομολογουμένου φύσεως τοῦ προφήτου, τῶν τελείων ι διον λέγοντος τὸ πᾶσαν ἀνατιθέναι τῷ Θεῷ τὴν καρδίαν· ʼΑγαπήσεις γὰρ, φησὶ, τὸν Θεόν σου ἐξ ο λης τῆς καρδίας σου κτλ. Ο δὲ νῦν ἐμφαίνει τό· ἐν ο λῃ καρδίᾳ μου, ο δὲ ποιεῖ, προφητικοῖς ὀφθαλμοῖς τὰ ἐσόμενα προιδὼν, καὶ διηγεῖ ται ταῦτα, κοινωνοὺς τῆς ἐξομολογήσεως ποιούμενος τοὺς ἀκροατὰς, χαρὰν ε χων τὸν καρπὸν τοῦ Πνεύματος, ἐπηρμέναις τε θεω ρίαις τὰ τοῦ Θεοῦ διηγούμενος θαύματα. 9.6 ʼΕπετίμησας ε θνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής· τὸ ο νομα αὐτῶν ἐξήλειψας εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ʽΥπὲρ τῆς ἀνθρωπίνης τυραννουμένης φύ σεως ου τω πικρὰν αὐτῷ τὴν τιμωρίαν ἐπέ θηκας. ʼΕπετίμησας τοῖς ε θνεσι, τουτέστι τὰ θεῖα διδάγματα διὰ τῶν ἀποστόλων καὶ τῶν ἑξῆς διδασκάλων αὐτοῖς παραδούς· ω ν δεξαμένων, ἀπώλετο [ὁ ἀσεβὴς], τοὺς κατὰ τὴν πλάνην προσκυνοῦντας οὐκ ε χων. Ου τω καὶ Λυκάοσι θῦσαι πειρωμένοις Παῦλος ἐπε τίμα καὶ Βαρνάβας, εἰπόντες· Τί ποιεῖτε, α νδρες; Καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῶν α νθρωποι, ἀπὸ τούτων τῶν ματαίων ὑμᾶς ἐπιστρέφοντες. Καὶ Γαλάταις δὲ Παῦλος ἐπε τίμα· Ω ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσ κανεν, ἐν οι ς κατ' ὀφθαλμοὺς ʼΙησοῦς Χρισ τὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος; Ου τω Κορινθίοις· Ολως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ η τις οὐδὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν τοῖς ε θνεσιν ὀνομάζεται. – ᾿Εξηλείφθη τοίνυν αὐτοῦ τὸ ο νομα εἰς τὸν αἰῶνα. Απασα γὰρ ε σβεσται τελετὴ τῶν νῦν ἀνθρώπων καὶ ἀγνοούντων τὰ τῆς εὐ σεβείας μυστήρια, τοσοῦτον καὶ τό· ῾Οδὸς ἀσεβῶν ἀπολεῖται. 9.8 Καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει, ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ. Οὐ μόνον κατὰ τὸν παρόντα βίον τὴν οἰκείαν δύναμιν ε δειξεν, ἀλλὰ κα ν τῷ μέλ λοντι τὸ φρικῶδες αὐτοῦ δείξει κριτήριον πᾶσιν ἀνθρώποις, δικάζων, καὶ τὰ πρὸς ἀξίαν ἀπονέμων ἑκάστῳ. 9.9 Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι. Οἰκουμένην μὲν νοήσεις τὴν ἐκκλησίαν, οἰκουμένην ὑπό τε Πατρὸς καὶ Υἱοῦ, κατὰ τό· ᾿Εγὼ καὶ ὁ Πατήρ μου ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα· λαοὺς δὲ, τοὺς λοιποὺς παρὰ τὴν ἐκκλησίαν, η τοὺς ἐκ πε ριτομῆς. Οσοι γὰρ ἐν νόμῳ η μαρτον, διὰ νόμου κριθήσονται, τῶν ἀνόμων ἁμαρτόν των, ἀνόμως ἀπολλυμένων. Φοβητέον α ρα τὸν τοιοῦτον κριτὴν τοὺς ψεκτάς τε πρά ξεις καὶ ἀσεβὲς ε χοντας φρόνημα. 9.13 Οὐκ ἐπελάθετο τῆς δεήσεως τῶν πενήτων. Τοιαύτη τίς η ν; ῾Η διὰ τῶν ὀλοφύρσεων καὶ τῶν θρήνων γενομένη, οι όν τινα αι τησιν ε χουσα περὶ τῶν κατεχόντων δεινῶν. 9.14 ῾Ο ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου. Ινα μὴ καὶ πύλαι τοῦ ᾳ δου κατισχύσωσιν αὐτοῦ, αι τινές εἰσιν αἱ κακίαι κατάγουσαι εἰς πυθμένα ᾳ δου. 9.16 ᾿Ενεπάγησαν ε θνη ἐν διαφθορᾷ ῃ ἐποίησαν· ἐν παγίδι ταύτῃ ῃ ε κρυψαν, συ νελήφθη ὁ ποὺς αὐτῶν. Καὶ μὴν κατὰ τῆς ἀρετῆς, ἀφθαρσίας λεγομένης, ὡς ἐν τῷ· ῾Η χάρις μετὰ τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν ἐν ἀφθαρσίᾳ· ἡ ἐναντίως ε χουσα κακία, λέγοιτο α ν εἰκό τως διαφθορὰ καὶ φθορά. Ει ρηται γοῦν· Ει τις φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. Καὶ παρὰ τῷ προφήτῃ· Ενεκεν ἀκαθαρσίας διεφθά ρηται φθορᾷ. 9.17 Γινώσκεται Κύριος κρίματα ποιῶν. Εστιν ο τε καὶ ἐκ τῶν κριμάτων ποδη γούμενος ὁ α νθρωπος ἐπιγινώσκει τὸν Κύριον. 9.18 ᾿Αποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾳ δην, πάντα τὰ ε θνη τὰ ἐπιλαν θανόμενα τοῦ Θεοῦ. ᾿Αποστρέφονται οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾳ δην, ι να ι δωσιν τὴν ᾿Ιησοῦ ψυχὴν καταβαί νουσαν καὶ ἀναβαίνουσαν. Οἱ γὰρ προσδο κήσαντες αὐτὴν ὡσπερεὶ ε ξω ε βλεπον, πρῶ τον μὲν οἱ ἐν ἡμῖν ἁμαρτωλοὶ, ει τα τὰ ε θνη. –Τί ἐπελάθετο τὰ ε θνη τὸν Κύριον; ἡ γὰρ λήθη δευτέρα γνώσεως· οὐκοῦν ἐντεῦθεν σαφὲς καὶ τό· ᾿Εγὼ ἐφύτευσά σε α μπελον καρποφόρον, πᾶσαν ἀληθινήν· Πῶς ἐστρά φης εἰς πικρίαν, ἡ α μπελος ἡ ἀλλοτρία; 9.28,29 Ου ἀρᾶς τὸ στόμα αὐτοῦ γέ μει ... ᾿Εγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις. ῾Ο μὲν δίκαιος εὐλογεῖ τὸν Κύριον ἐν παντὶ καιρῷ, ὁ δὲ ἁμαρτωλὸς ἐγκάθηται ἐνέδρᾳ. 9.30-32 ᾿Ενεδρεύει ἐν ἀποκρύφῳ, ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ· ἐνεδρεύει τοῦ ἁρ πάσαι πτωχὸν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλ κύσαι αὐτὸν ἐν τῇ παγίδι αὐτοῦ· ταπεινώσει αὐτὸν, κύψει, καὶ πεσεῖται ἐν τῷ αὐτὸν κα τακυριεῦσαι τῶν πενήτων. Καθάπερ ὁ λέων τῇδε κἀκεῖσε μεταφέρει τὸ ο μμα, θήραν ἐπιζητῶν, ου τως νύκτωρ καὶ μεθ' ἡμέραν ἁρπαγῆς καὶ πλεονεξίας ἐπινοεῖ μηχανήν· ἀλλ' ὁμῶς κύψει, καὶ πεσ εῖται. Ελκει μὲν διὰ τοῦ λογισμοῦ, ἁρπάζει δὲ διὰ τῆς κατ' ἐνεργίαν ἁμαρτίας. 9.33 Μὴ ἐπιλάθῃ τῶν πενήτων. Εἰ ἐπελάθετο τῶν πενήτων ὁ Κύριος, ῃ δει τοὺς πένητας ὁ Κύριος. 9.34 Ει πε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Οὐ ζη τήσει. ᾿Αλλὰ κα ν μυριακὶς ἐκεῖνος ταῦτα λογί σηται, σὺ βλέπεις· τοῦτο γὰρ νοητέον. 9.36 Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρ τωλοῦ καὶ πονηροῦ. ῾Αμαρτωλός ἐστιν ὁ ἐξ ἡδυπαθείας καὶ ἀκολασίας ἁμαρτάνων· πονηρὸς δὲ ὁ ἑκου σίως κακοποιητικός. –Βραχίονα δὲ ει πε τὴν πονηρὰ κατεργασαμένην ψυχήν. ῾Η συν τριβὴ τοῦ βραχίονος ἀφανίζει τὰς ἁμαρτίας· τὸ δὲ ἀπαλλαγῆναι τῶν ἁμαρτιῶν εὐεργε σία ἐστὶ τοῦ συντριβῆναί τινος βραχίονα· ου τω καὶ ἐγὼ πείθομαι κολάζειν Θεῷ. 9.37,38 Βασιλεύει Κύριος εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ἀπολεῖσθε, ε θνη, ἐκ τῆς γῆς αὐτοῦ· τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσεν Κύριος. Δεῖ γὰρ τὸν Κύριον βασιλεύειν διὰ τῶν αἰώνων, α χρις ου ἐπιθυμίαν τῶν πενήτων εἰ σήκουσε Κύριος, α χρις ου θῇ πάντας τοὺς ἐχ θροὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. Ἡ γὰρ βασιλεία αὐτοῦ ἐστιν ἡ θεωρία πάντων τῶν γεγονότων καὶ γενησομένων αἰώνων· δι' η ς θεωρίας καὶ οἱ ἐχθροὶ φίλοι γίνονται· ἡ δὲ γῆ τοῦ Κυρίου, ἡ θεωρία τῶν γεγονότων αἰώ νων· ἡ δὲ βασιλεία, φαμὲν, τό· τηνικαῦτα ἐπακούει τῆς ἐπιθυμίας ὁ Κύριος, ὁπηνίκα α ν παράσχῃ τὸ ἐπιθυμητὸν τῇ ἐπιθυμη σάσῃ ψυχῇ. 10.4 Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσι· τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. Εἰ οἱ ὀφθαλμοὶ Κυρίου εἰς πένητας ἀπο βλέπουσι, γενώμεθα πένητες, ι να οἱ ὀφθαλ μοὶ Κυρίου εἰς ἡμᾶς ἐπιβλέπωσιν. Εἰ δὲ οἱ πλούσιοι οὐκ εἰσὶ πένητες, οἱ ὀφθαλμοὶ Κυ ρίου εἰς τοὺς πλουσίους οὐκ ἀποβλέπουσι. – Σὺ δὲ ο ταν ἀκούσῃς ἐν οὐρανοῖς ει ναι, καὶ παροικεῖν τὸν Θεὸν, ἐκ τῆς ἱερᾶς γραφῆς, η ἐνδότερον ει ναι τοῦ καταπετάσματος, μὴ περιορισμούς τινας καὶ τοπικὰς οἰκήσεις, καὶ μεταβάσεις, καὶ ἀναβάσεις, καὶ ἐξελεύ σεις νοήσῃς· πτωχοπρεπεῖ γὰρ ου σῃ τῇ ἡμε τέρᾳ φύσει, καθὰ χωρεῖ ἀκοῦσαι, διαλέγεται αὐτῇ τὸ Πνεῦμα τὸ α γιον. Καὶ μάρτυς τοῦ λόγου ἡ μωσαϊκὴ συγγραφὴ, παχεῖα καὶ ἀνάξια Θεοῦ τοῦ ἀπεριγράπτου περιέχουσα ῥήματα· α τινα οὐ Μωσῆς ἐξέθετο οι κοθεν, ἀλλ' ὁ Θεὸς δι' ἀγγέλων αὐτοῦ ἐν ο ρει τῷ Σιναΐῳ ταῦτα προηγόρευσε ἐπὶ τῆς σκηνῆς· ο θεν ὡς ἀγγέλου ταῦτα λαλήσαντος, οὐδὲ τέθεικεν ο λως τὸ ο νομα ἐν τῇ ἀπογραφῇ αὐτῆς ὁ Μωϋσῆς, καθὼς οἱ λοιποὶ προφῆται βίβλοις τῶν οἰκείων προφητειῶν. –Βλέ φαρα δὲ [νοήσεις] κριτικὴν αὐτοῦ πρόνοιαν καὶ τῶν πραγμάτων ἐξεταστικήν. 10.5 Ὁ δὲ ἀγαπῶν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. Εἰ ὁ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυ τοῦ ψυχὴν, ὁ μισῶν δηλονότι τὴν ἀδικίαν, ἀγαπᾷ τὴν ἑαυτοῦ ψυχήν. 10.6 Πῦρ καὶ θεῖον καὶ πνεῦμα καται γίδος, ἡ μέρις τοῦ ποτηρίου αὐτῶν. Ποτήριον νῦν τὴν κόλασιν ὀνομάζει, ἐν ῳ κακίας καὶ ἀγνωσίας ἐγκέκραται πόμα. 11.1 Σῶσόν με, Κύριε, ο τι ἐκλέλοιπεν ο σιος, ο τι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. Ἐπειδὴ κινδυνεύει τῆς ἀληθείας ἀπεσ βεσθῆναι τὸ χάρισμα, οἱ μὲν ο σιοι ἐκλελοί πασιν, αἱ δὲ ἀλήθειαι ὠλιγώθησαν· οὐκ ἐν τοῖς ὁσίοις μόνοις αἱ ἀλήθειαι, καὶ ἐν τοῖς ἀληθέσιν ἡ ὁσιότης. Η ἐπειδὴ οἱ ο σιοι ἐκ λελοίπασιν, διὰ τοῦτο ὠλιγώθησαν αἱ ἀλή θειαι· καὶ τάχα ἡ σπάνις τῶν ὁσίων αἰτία γέγονε τῶν πολλῶν αἱρέσεων. 11.6 Ἀπὸ τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ ἀπὸ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι, λέγει Κύριος· θήσομαι ἐν σω τηρίᾳ, παῤῥησιάσομαι ἐν αὐτῷ. Ἐὰν ἐκ τῆς ταλαιπωρίας τῶν πτωχῶν νῦν ἀναστήσομαι, φησὶ, λέγει Κύριος, τίς ἀνιστάμενον οὐ δέδοικεν Κύριον; Καί· Ἀνάσ τηθι, Κύριε ὁ Θεός μου, ὑψώθητι; Ἀπευ ξώμεθα τὴν τοιαύτην υ ψωσιν, καὶ μὴ βου ληθῶμεν ἰδεῖν ἐπαιρομένην χεῖρα κατὰ τῶν ἀπειθούντων, ε τι καὶ μᾶλλον ἐπαφιεμένην τοῖς σκληροτέροις. Καὶ οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων, καὶ οὐκ εἰς τέλος ἐπιληθήσεται ὁ πτωχός. Η καὶ ου τως· οἱ πτωχοὶ δι' ἐμὲ καὶ πένητες γεγονότες τῷ σῷ πνεύματι, στένουσιν ἀεὶ ταπεινούμενοι, προσέχοντές μου τῷ λόγῳ, καὶ πίστιν ἀκ λινῆ διασώζοντες· ω ν ε νεκεν ἀναστήσομαι, καὶ κατὰ τὸ πρέπον, τῇ ἐμῇ ἀναστάσει σωτηρίαν θήσομαι πᾶσιν ἀνθρώποις. 11.8,9 Σὺ, Κύριε, φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς ... Κύκλῳ οἱ ἀσεβεῖς πε ριπατοῦσιν. Ἐπειδὴ ὁ κύκλος τῇ εὐθείᾳ ἐναντίος ἐστὶ κατὰ τὴν σκολιότητα καὶ εὐθύτητα, οἱ δὲ ἀσεβεῖς κύκλῳ περιπατοῦσιν, οἱ εὐσεβεῖς α ρα εὐθεῖαν περιπατοῦσι. Διὰ τοῦτό φησι· Φυ λάξεις ἡμᾶς, ἐπειδὴ κυκλοῦντες κυκλοῦσιν ἡμᾶς οἱ ἀσεβεῖς, ἐπιβουλεύοντες τῇ ἡμῶν σωτηρίᾳ, ου τοι δ' α ν ει εν ἀντικείμεναι δυ νάμεις. 12.1 Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυΐδ. Ὑπόθεσις Εὐσεβίου. Διὰ τὸ τέλος, τὸ παρὰ τῷ Θεῷ, πάντα τὰ πρὸ τοῦ τέλους ἀνδρικῶς ἠγωνίζετο· τὸ δὲ τέλος καρπὸς ὁ τῶν πό νων, ζωὴν αἰώνιον καὶ βασιλείαν οὐρανῶν τοῖς γνησίως ἀγωνιζομένοις προξενῶν. Ἐπεὶ τοίνυν καὶ ὁ Δαυὶδ τούτων ει ς η ν, εἰς μὲν τὸ τέλος τῷ Θεῷ τὸν ψαλμὸν καὶ τὴν ᾠδὴν ἀνέπεμπε. Κατὰ δὲ τὴν ἀρχὴν, ὡσανεὶ ε τι ἀγωνιζόμενος, τὰς πρώτας προέφερε φωνάς· 12.2 Εως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ε ως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπ' ἐμοῦ; Τοῦ αὐτοῦ. Διδάσκων, τῆς μνήμης τοῦ Θεοῦ καιρῷ τινι ἀποπεπτωκέναι [τὴν λήθην]· (λήθην γὰρ ὁ Θεὸς ποιεῖται τῶν λανθανόν των αὐτοῦ· λανθάνει δὲ αὐτοῦ πᾶς ὁ ἁμαρ τάνων)· ἀλλὰ καὶ ἐπεὶ ἀποστρέφει τὸ πρόσω πον αὐτοῦ ἀπὸ τῶν αἰσχρόν τι πραττόντων ἀναξίως τῶν αὐτοῦ ὀφθαλμῶν, τουτέστι τῆς θεωρητικῆς καὶ ἐπισκοπικῆς αὐτοῦ δυνά μεως, βιούντων μεγάλως φροντιζόντων περὶ τῆς κρίσεως τοῦ Θεοῦ, καὶ ἀγωνιῶν ἐφ' οι ς ἑαυτῷ συνῄδει, πληττόμενός τε ὑπὸ τοῦ συνειδότος, καὶ τὴν ψυχὴν ὑπὸ λογισμῶν ἀνιώμενος, ἐπιλέγει· 12.3 Εως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός; Τοῦ αὐτοῦ. ᾿Ανθ' ου ὁ Σύμμαχος ἡρμή νευσεν εἰπών· Μέριμναν ἐν τῇ διανοίᾳ μου καθ' ἡμέραν. Ταῦτα δὲ, φησὶν, ἐγράφη εἰς νουθεσίαν ἡμῶν, ο πως καὶ αὐτοὶ, διαθέσει τοῦ ταῦτα εἰρηκότος, εἰ γένοιτο ἡμῖν χρεία μετα νοίας καὶ ἐξομολογήσεως ἐπί τισιν οὐκ ὀρθῶς ἡμῖν πεπραγμένοις, ταῖς αὐταῖς χρησώμεθα μεθόδοις, ω σπερ φαρμάκοις ψυχῆς σωτηρίοις, εὐκαίρως τοῖς παροῦσι λόγοις τῆς ἐξομολο γήσεως χρώμενοι. 13.1 Διέφθειραν, καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασι. ᾿Ελθὼν, φησὶν ὁ Κύριος, οὐδ' ε να ευ ρον χρηστότητος ἐργάτην, ἀλλ' ὑπεύθυνον πάσῃ πράξει ἀτόπῳ. Εἰ ἐν τοῖς ἐπιτηδεύμασι διαφ θείρονται, ἀλλ' οὐχὶ ἡ φαύλη ε ννοια τάχα διαφθείρει, ἀλλ' αὐτὸ ταύτης ἐπιτέλεσμα τῆς ἐννοίας. 13.3 Καὶ ὁδὸν εἰρήνης οὐκ ε γνωσαν, οὐκ ε στι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. ᾿Εγώ εἰμι ἡ ὁδὸς, φησὶν ὁ Σωτὴρ, καὶ αὐτός ἐστιν εἰρήνη ἡμῶν. –Τῷ γὰρ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. 13.4 Οἱ κατεσθίοντες τὸν λαόν μου βρώ σει α ρτου. ᾿Εν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου. 13.6 Βουλὴν πτωχοῦ κατῃσχύνατε, ο τι Κύριος ἐλπὶς αὐτοῦ ἐστι. Δι' ἡμᾶς γὰρ ἐπτώχευσεν ὁ Κύριος, πλού σιος ω ν, ι ν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλου τίσωμεν. 14.3 Καὶ ὀνειδισμὸν οὐκ ε λαβεν ἐπὶ τοὺς ε γγιστα αὐτοῦ. ῾Ο ἀνεπιλήπτως βιῶν, ὀνειδισμὸν οὐ λαμ βάνει ἐπὶ τοὺς ε γγιστας αὐτοῦ. 14.5 Τὸ ἀργύριον αὐτοῦ οὐκ ε δωκεν τόκῳ. Τοῦτο λεκτέον πρὸς τοὺς τοκιστὰς, ὡς κωλυτικὸν τῆς ἐν ἁγίῳ ο ρει κατασκηνώσεως. ῾Ο ποιῶν ταῦτα, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα. Εὐσεβίου. Ο γε μὴν ὁμοῦ πάντα προκα τηριθμημένα κατορθώσας, ἀντιτελὴς γενό μενος, καὶ πᾶν τὸ σῶμα τῆς κατὰ Θεὸν πο λιτείας ὁλόκληρον, ω σπερ καὶ ὑγιὲς καὶ πᾶσιν ἀγαθοῖς λόγων τε καὶ ε ργων ἀπηρτισ μένον διατηρήσας, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα. 15.4 Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, οὐδὲ μὴ μνησθῶ τῶν ὀνο μάτων αὐτῶν διὰ χειλέων μου. Συνάγων, φησὶ, συναγωγὰς ἐκ τῶν ἐθνῶν, οὐ δι' αἱμάτων αὐτὰ συνάξω, οὐδὲ παρασ κευάσω διὰ τῆς νομικῆς μοι προέρχεσθαι λατρείας, δι' αἰνέσεως δὲ μᾶλλον καὶ τῆς ἀναιμάκτου θυσίας· πάλαι μὲν, φησὶν, ἐπ' ἀ ξίαν τῶν πράξεων ἐπήγοντο προσηγορίας, εἰδωλολάτραι, πολύθεοι ὀνομαζόμενοι· νῦν δὲ οὐκέτι μνησθήσομαι τῶν ὀνομάτων ἐκεί νων· εὐσεβεῖς αὐτοὺς καὶ ἁγίους, κλητούς τε καὶ ἐκλεκτοὺς ὀνομάζων. 15.9 Καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου. Γλῶσσαν νῦν λέγει τὸ χάρισμα τοῦ Πνεύ ματος. 16.3 ᾿Εδοκίμασας τὴν καρδίαν μου, ἐπεσ κέψω νυκτός. Εἰ ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμασίαν, ἡ θλῖψις α ρα δο κιμασίαν κατεργάζεται· εἰ δὲ ἡ δοκιμα σία ἐν νυκτὶ διέδραμεν, ἡ νὺξ ἐνταῦθα τὴν θλῖψιν σημαίνει, ἐν ῃ σκοτοῦται πταιομένη ψυχὴ λογική. –Εἰσέλθετε διὰ τῆς στενῆς πύλης καὶ τεθλιμμένης ὁδοῦ, τουτέστι τῆς πρακτικῆς, η τις δοκεῖ πρῶτον ὀδύνης, καὶ οὐ χαρᾶς πρόξενος, υ στερον μέντοι καρποὺς δικαιοσύνης ἀποδιδοῦσα τοῖς δι' αὐτῆς γε γυμνασμένοις. 16.7 Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σώ ζων τοὺς ἐλπίζοντας ἐπὶ σέ· ἐκ τῶν ἀνθεσ τηκότων τῇ δεξιᾷ σου φύλαξόν με, ὡς κό ρην ὀφθαλμοῦ. Ωσπερ τὴν πλήξασαν αὐτὸν δύναμιν, ὁ ᾿Ιὼβ χεῖρα λέγει Θεοῦ· ῾Η χείρ ἐστί σου, φησὶν, μή με στροβῇ τοσούτως. Καὶ τοὺς ἐχθροὺς τῆς εὐεργετικῆς χειρὸς τοῦ Θεοῦ καλεῖ ὁ Δαυὶδ ῥομφαίαν Θεοῦ. Χεὶρ δὲ εὐερ γετικὴ Θεοῦ οἱ α γγελοί εἰσιν, δι' ω ν προ νοεῖται κόσμου τοῦ αἰσθητοῦ, οι ς ἀντίκειν ται δαίμονες, βουλομένοις πάντας ἀνθρώπους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. 17.9 ᾿Ανέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ κατεφλόγισεν, α νθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ. ᾿Ωργίσθη, φησὶ, καὶ κατέβαλεν τὸ πῦρ, δι' ου πάλιν τοὺς ἀνθρώπους κατέφλεγεν. Ανθρακες, ὁ τῶν ἀποστόλων χορός· τούτου γὰρ τοῦ πυρὸς κατὰ τὴν ἡμέραν τῆς Πεν τηκοστῆς μεταλαβόντες, καὶ γλώσσας ἐπὶ τῶν κεφαλῶν πυρίνας δεξάμενοι, α νθρακες εἰκότως ἐχρημάτιζον, φωτίζοντες ὁμοῦ τὰ ε θνη καὶ καθάροντες· ο τι ταῦτα ἐγένετο, τοῖς ἑξῆς ἐπαγομένοις μάνθανε· 17.10,11 Καὶ ε κλινεν οὐρανὸν, καὶ κα τέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ ἐπέβη ἐπὶ Χερουβείν. Χερουβεὶμ ἑρμηνεύεται γνῶσις καὶ σύνε σις· εἰς τοὺς δικαίους ου ν λέγει. 17.12 Καὶ ε θετο σκότος ἀποκρυφὴν αὐ τοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ. Εθετο τὸ σκότος ἀποκρυφὴν αὐτοῦ, μέσον ἑαυτοῦ τε καὶ ἡμῶν θεὶς, ω σπερ Μωϋσῆς πά λαι τὸ κάλυμμα μέσον ἑαυτοῦ τε καὶ πω ρώσεως ᾿Ισραὴλ, εἰ μὴ ῥᾳδίως ει δη σκοτεινὴ φύσις, τὸ ἀπόθετον κάλλος μὴ ῥᾳδίως ἐπι τυχοῦσα, ῥᾳδίως καὶ ἀποβάλλει, διὰ τὴν εὐκολίαν τῆς κτίσεως. Διὰ τοῦτο μέσον ἡ μῶν τε καὶ Θεοῦ ὁ σωματικὸς ου τος ι σταται γνόφος, ω σπερ ἡ νεφέλη τὸ πάλαι τῶν Αἰ γυπτίων καὶ τῶν ῾Εβραίων· καὶ τοῦτό ἐστιν ι σως ο ε θετο σκότος ἀποκρυφὴν αὐτοῦ. Διὸ καὶ Παῦλός φησιν· ῾Ο μόνος ε χων ἀθανασίαν, καὶ φῶς οἰκῶν ἀπρόσιτον. 17.20 ῾Ρύσεταί με, ο τι ἐθέλησέν με. Ου τως ὁ ὑπὸ τῆς σῆς προνοίας ῥυσθεὶς, ἐλπίζω πάντων περιγενέσθαι τῶν δυσμενῶν, καὶ μὴ πρότερον ἀποστῆναι, ε ως αὐτοὺς αυ θις ὑπηκόους εἰργάσωμαι· τοῦτο γὰρ καὶ παρεδήλωσεν εἰρηκώς· Πεσοῦνται ὑπὸ τοὺς πόδας μου. 17.36 Καὶ ἡ παιδεία σου κτλ. Τό· Καὶ ἡ παιδεία σου αὐτή με διδάξει, Θεοδωτίονός ἐστιν, ἀντὶ τοῦ· Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος, εἰρημένον τοῖς Ο΄. 17.40 Συνεπόδισας πάντας τοὺς ἐπανισ ταμένους ἐπ' ἐμὲ ὑποκάτω μου. Καὶ μὴν οὐκ ι σμεν τὸν Δαυὶδ τῶν ἐχθρῶν βασιλεύσαντα· οὐκοῦν διὰ τοῦ ἐξ αὐτοῦ κατὰ σάρκα τεχθέντος ἡ προφητεία πληροῦται. 17.41 Καὶ τοὺς ἐχθρούς μου ε δωκάς μοι νῶτον. ᾿Αντὶ τοῦ· εἰς φυγὴν ε τρεψας. Ιδιον γὰρ φευγόντων τὸ διδόναι τὰ νῶτα. 17.49 ῾Ο ῥύστης μου ἐξ ἐχθρῶν ὀργίλων. ᾿Εν οι ς θυμὸς ἐπικρατεῖ, ἐν τούτοις καὶ ὀργιλότης· εἰ δὲ ἐχθροὶ ἡμῶν ο ργιλοί εἰσιν, οἱ ἐχθροὶ ἡμῶν α ρα θυμωδεῖς εἰσιν· θυμὸς γὰρ αὐτῶν, φησὶ, κατὰ τὴν ὁμοίωσιν τοῦ ο φεως, καὶ ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτοῦ ἐφ' ἡμᾶς. 18.3,4 ῾Ημέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. Οὐκ εἰσὶ λαλιαὶ, οὐδὲ λόγοι, ω ν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. Εὐσεβίου. Νὺξ καὶ ἡμέρα τεταγμένα μέ τρα τυγχάνοντα τῆς κατὰ καιρὸν ὑποχω ρήσεως, κατά τε μείωσιν καὶ αυ ξησιν, καὶ τὴν πρὸς α λληλα διὰ παντὸς ἀναλογίαν φυ λάττοντα, κηρύττει διὰ τῶν ε ργων τὸν ἀμ φότερα διαστήσαντα· οὐ γὰρ ἐν τοῖς κατὰ τύχην τὸ διηνεκὲς, καὶ ἀσύγχυτον, ἀλλὰ σοφίας ε κγονος ἁρμονία. Αἱ δὲ τῶν λόγων αὐτῶν φωναὶ οὐκ εἰσὶ τῶν μὴ ἀκουομένων· πανταχοῦ γὰρ τῆς οἰκουμένης διὰ τῆς θέας ἀκούονται οὐρανῶν τε βλεπομένων, καὶ νυκ τὸς καὶ ἡμέρας. Προσεχρήσατο δὲ τοῖς ῥη τοῖς τούτοις ἐπὶ τῶν ἀποστόλων ὁ Παῦλος· διὸ καὶ ἀορίστως ε φη, ἀλλ' οὐχ ὡς ει ωθεν ἐπὶ τῶν προηγουμένων λέγειν· ῾Ησαΐας δὲ κράζει ὑπὲρ τοῦ ᾿Ισραήλ. Καὶ πάλιν· Καθὼς προείρηκεν ῾Ησαΐας. Καὶ πάλιν· Καθὼς γέ γραπται. Καὶ αυ θις· Λέγει γὰρ ἡ γραφή. Σύμμαχος δὲ σαφέστερον ἐξέδωκεν· Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν, οὐ ῥήσεσιν, οὐδὲ λόγοις, ω ν οὐκ ἀκούονται φωναὶ, ἀλλ' εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν η χος. Η κατὰ τὸν ᾿Ακύλαν· ῾Ο κανὼν αὐτῶν, οὐδὲ γὰρ λόγον οὐδὲ φωνὴν ἀφιεῖται· Τὸν κανόνα δὲ καὶ τὴν οἰκείαν τάξιν ὑποδεικνῦσαι, πᾶσαν γῆν καὶ θάλατταν εἰς τὴν θείαν ὑμνῳδίαν καλοῦ σιν. –῾Ημέρα δὲ τῆς ἀναστάσεως τῇ ἡμέρᾳ τοῦ σταυροῦ ἐρεύγεται ῥῆμα, πῶς ὁ ἐν ἐκεί νῃ σταυρωθεὶς, ἐνταῦθα ὡς Θεὸς ἀνέστη, καὶ τοὺς νεκροὺς ἀνέστησεν. Καὶ νὺξ ἡ πρὸ τοῦ σταυροῦ γενομένη τῇ νυκτὶ τῆς τοῦ Χριστοῦ παραδόσεως τοιαύτην ἀναγγέλλει γνῶσιν, πῶς ἐν ἐκείνῃ δειλιῶν καὶ προσευ χόμενος, υ στερον δὲ καὶ παραδοθεὶς, ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταύ τῃ τῶν στοιχείων δεσπότης, ω στε καὶ νύκτα κατὰ τὸ μέσον ἐπαγεῖν τῆς ἡμέρας, ἀποδέ δεικται. 18.6 Ἐν τῷ ἡλίῳ ε θετο τὸ σκήνωμα αὐ τοῦ, καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ. Ἀθανασίου. Παστὸν τὴν Παρθένον ἐκά λεσεν, ἐξ η ς ὁ νυμφίος Χριστὸς ἐπορεύετο, παντὸς ῥύπου καθαρὸς, ἀπὸ καθαρᾶς παστά δος προερχόμενος. Παστὰς δὲ τοῦ Χριστοῦ ἡ ἁγία Παρθένος, ἐπειδὴ χωρὶς ἀνδρὸς τε κοῦσα, νυμφίον ε σχεν εἰκότως τὸν τικτόμε νον αὐτὸν, ἀοράτῳ δυνάμει τὸν τόκον ἐνερ γήσαντα. –Γίγας ἑρμηνεύεται ἐπιπίπτων, λαμβάνεται δὲ εἰς τὸν Κύριον· αὐτὸς γὰρ ἠγαλλιάσατο κατὰ τὸν καιρὸν τῆς οἰκονο μίας, τὴν ἡμετέραν σωτηρίαν πραγματευό μενος, καὶ ἐπέπεσε ταῖς δαιμονικαῖς φά λαγξι, καταργήσας αὐτῶν καθ' ἡμῶν δυ ναστείαν. Ὁδὸν δὲ τὴν τοῦ Κυρίου ἐνανθρώ πησιν νόησον, ἐν ῃ καθάπερ γίγας διὰ τὴν ἰσχὺν τὴν ἐν τῷ σταυρῷ καὶ τῷ θανάτῳ πε πραγμένην ἀγαλλιώμενος ε τρεχεν. Ἀρτίως ἠγαλλιάσατο ἐν τῷ εὐαγγελίῳ διὰ τὴν ευ ρεσιν τοῦ ἑνὸς προβάτου. Ει ασε γὰρ τὰ ἐν νενήκοντα ἐννέα πρόβατα τὰ μὴ πλανη θέντα, τουτέστι τὰς ἀγγελικὰς δυνάμεις, ἐπὶ τὰ ο ρη, τουτέστιν ἐν τοῖς οὐρανοῖς, καὶ η λ θεν ἐπὶ τὸ πεπλανημένον πρόβατον, καὶ εὑ ρὼν αὐτὸ ἠγαλλιάσατο· η ε δραμε τὴν ἐπ' οὐ ρανοὺς ὁδὸν ἀγαλλιῶν, ει τε ἀπὸ γῆς εἰς τὰ καταχθόνια ε δραμε. 18.8 Ὁ νόμος τοῦ Κυρίου α μωμος, ἐπισ τρέφων ψυχάς. Ὡρ. Ζητητέον πότερον ἀπὸ κακίας ἐπι στρέψειεν ἐπὶ τὴν ἀρετὴν, η ἀπὸ τῶν αἰσθη τῶν ἐπὶ τὰ νοητά· καὶ τάχα τὸ δεύτερον· τὸ γὰρ πρότερον, ἡ ἐντολὴ πέφυκεν ποιεῖν νό μον, τὸν εὐαγγελικὸν δηλονότι, ὡς η δη δὲ ἀπὸ τῶν προειρημένων στοιχείων παιδαγω γηθέντες οἱ ἐξ ἐθνῶν, ε να ει ναι τὸν δημιουρ γὸν, διδάσκονται λοιπὸν καὶ τὸν εὐαγγελικὸν νόμον, ὡς καὶ ἐπέστρεψε τῶν ἐθνῶν ἁπάντων τὰς ψυχὰς εἰς τὴν ἀλήθειαν. –Διὰ τὴν ἐνάπειρον περὶ ἡμᾶς ἀγάπην αὐτοῦ, ου τε πόρνον, ου τε λῃστὴν παρατρέχει, τοὺς α γαν αὐτοῦ φυγόντας τὴν ἀγάπην, καὶ εἰς τὰ ε σχατα τῆς ἁμαρτίας φθάσαντας. 18.10 Τὰ κρίματα Κυρίου ἀληθινὰ, δε δικαιωμένα ἐπὶ τὸ αὐτό. Ἀναγκαῖον τοῖς δύο στίχοις τοῖς προτέ ροις τὸν τρίτον προσέθηκε· τὰ γὰρ τοῦ Θεοῦ κρίματα, τοῖς μὲν ἁμαρτάνουσι καὶ παρα βάταις φοβερὰ καὶ ἀποζητητέα καθέστηκεν· τοῖς δὲ ἐργαζομένοις τοῦ Θεοῦ τὸν νόμον καὶ φυλάττουσι παντὸς πλούτου τιμιώτερα, διὰ τὴν ἐλπίδα τῆς ἀμοιβῆς, ἀλλὰ μὴν καὶ πάσης ἡδονῆς γλυκύτερα φαίνεται. 18.12 Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτὰ, ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή. Σαφῶς ἡμῖν καὶ τοῦτο δεδήλωται ἐν τῷ προλαβόντι ψαλμῷ, ἀληθινὰ καὶ δίκαια παρὰ τοῦ ἀληθοῦς Θεοῦ καὶ δικαιοκρίτου δεδι καιωμένα λέγεται· ἐπὶ τὸ αὐτὸ δέ ἐστιν κατὰ τὸν αὐτὸν λόγον· ῳ γὰρ λόγῳ ἐστιν ἀληθῆ, τούτῳ τυγχάνει καὶ δίκαια. –Εἰ ὁ δοῦλός σου φυλάσσει αὐτὰ, ὁ μὴ φυλάσσων, οὐ δοῦ λός σου. Φυλάσσει δὲ τὰ ἐπιθυμητὰ τοῦ Θεοῦ, ὁ ἐπιθυμῶν οὐκ α λλο τι η αὐτά· διὸ ε χει ἀνταπόδοσιν τῶν ἐπὶ Θεοῦ μελλομένων πολλήν. 18.13,14 Παραπτώματα τίς συνήσει; ἐκ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. Ὁ δὲ Ἀκύλας τὸ ἀλλοτρίων ὑπερηφάνων ἐξέδωκεν. Ἐπὶ γὰρ τοῖς κατορθοῦσι τὸ πά θος, ἐσθ' ο τε τοῦτο παρέπεται, χαυνουμένης ἐπὶ τοῦτο τῆς διανοίας· καὶ δι' ἑτέρου πάλιν ἐκτραχηλίζονται τρόπου, ὁποῖον τὸ ἀποσ τολικὸν, ι να μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου, ἀναγκαίως προειπών· Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτὰ, ἱκετεύει ῥυσ θῆναι τῆς ὑπερηφανείας· ἀφ' η ς ἁμαρτίας ου σης μεγάλης καθαρισθεὶς, α μωμος ε σομαι ἐξ ὑπερηφανείας, α μα καὶ τῶν κρυφίων κα θαρισθείς· νῦν γὰρ ου πω θαῤῥῶ. 19.3,4 Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντελάβοιτό σου· μνησ θείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. Ῥυσθήσει, φησὶν, εὐχαριστικῶς αὐτῷ προσάγων θυσίαν πνευματικήν· τὸ πάσης πλῆθος ἐμφαίνει· ὀλίγης γὰρ οὐ μίμνηται. –Πιαίνεται δὲ ὁλοκαύτωμα, ο ταν ο λῳ τῷ νοητῷ πυρὶ παραδοθῇ, τῷ πνεύματι· ε σται δὲ τοῦτο, ο ταν οἱ προσφέροντες πνευματικοὶ τυγχάνωσιν. 19.8 Ου τοι ἐν α ρμασι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ου τοι ἐν ι πποις. Νόει καί ι ππους τὰ σκιρτήματα τῶν πα θῶν, εἰς [οι ς] ἐπιβαίνουσιν οἱ δαίμονες· α ρ ματα δὲ τὴν σύμπνοιαν τῶν ὁρμητικῶν πα θῶν, ἐν οι ς παρασκευάζονται καθ' ἡμῶν. 19.10 Κύριε, σῶσον τὸν βασιλέα σου, καὶ ἐπάκουσον ἡμῶν. Νῦν δὲ τέως ἡμῖν τὸν βασιλέα σῶσον Δαυίδ. 20.7 Οτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶ να αἰῶνος, εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου. Λέγων πρὸς αὐτόν· Δεῦρο, εὐλογημένος τοῦ Πατρός μου. Ωσπερ ἀπὸ τοῦ Θεοῦ Πα τρὸς καὶ Κυρίου ᾿Ιησοῦ Χριστοῦ αὐτὴ χάρις καὶ εἰρήνη δίδοται, ου τως ἀπὸ Θεοῦ καὶ τοῦ προσώπου αὐτοῦ· πρόσωπον δὲ Θεοῦ, ὁ χα ρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, μεθ' ου ὁ βασιλεὺς εὐφραίνεται, πεῖραν τοῖς προσδο κωμένοις προβάλλων. Η ο τι μετὰ τοῦ Θεοῦ Λόγου τῆς εἰκόνος, οὐ γενόμενος ὁ βασιλεὺς, ναὸς αὐτοῦ χρηματίζει, καὶ σύμμορφος αὐ τοῦ γενόμενος, εὐφραίνεται. 20.9 Εὑρεθείη ἡ χείρ σου πᾶσιν τοῖς ἐχ θροῖς σου, ἡ δεξιά σου ευ ροι πάντας τοὺς μισοῦντάς σε. Εὐεργεσία ἐστὶν ἁμαρτιῶν ἐκπεσεῖν καὶ ἐννοιῶν πονηρῶν· σπέρμα γὰρ ἁμαρτίας λο γισμὸς πονηρός. 21.4 Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ε παινος ᾿Ισραήλ. ᾿Εντεῦθεν μανθάνομεν ο τι αὐτοέπαινός ἐστιν ὁ Κύριος καὶ ἐπαινούμενος ὑπὸ τοῦ ᾿Ισραὴλ, η αὐτὸς ε παινος ω ν. 21.7 ᾿Εγὼ δέ εἰμι σκώληξ. ῾Ως ἐκ προσώπου τοῦ σαρκωθέντος Θεοῦ λέγει, εἰ καὶ μὴ κατὰ τὴν Θεότητα λαμ βανόμενον, ἀλλὰ κατὰ τὸ φαινόμενον καὶ τὸ ταπεινὸν τῆς σαρκὸς, τό· ᾿Εγώ εἰμι ὁ σκωλήξ. 21.19 Αὐτοὶ δὲ κατενόησαν, καὶ ἐπεῖ δόν με. Ψηλαφῶντες, κατὰ τὸ εἰκὸς, α παν αὐτοῦ τὸ σῶμα καὶ ἀναμετροῦντες ε καστον τῶν ὀστέων, ι να ι δοιεν ου τοὺς η λους πῆξαι χρή. 21.21 ῾Ρῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου. Καὶ πρὸς τὴν ἁγίαν θεοτόκον ὁ Συμεών φησι· Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύ σεται ῥομφαία. Καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. ῾Ενικῶς δὲ νῦν, ου ς ει πεν α νω κύνας, διὰ τὸ γένος καλεῖ. –Μονογενῆ δὲ τὴν ἰδίαν ψυχὴν ει πεν, ὡς μόνην ἁμαρτίαν μὴ γνοῦ σαν· ἀλλὰ καὶ ο τι μόνη διὰ παντὸς ει χε τοῦ Θεοῦ Λόγου τὴν ε νωσιν. Τάχα δὲ τὴν παραστᾶσαν ἐκκλησίαν αὐτῷ λέγει μονο γενῆ, μὴ ε χουσαν σπῖλον η ῥυτίδα, ἐκ τῶν ἀμώμων τελείως συμπληρωμένην, ω ν κατὰ προκοπὴν εἰς διάφορα τάγματα διη ρημένην· ἑξήκοντα μέν εἰσι βασιλίδες, ὀγ δοήκοντα δὲ παλακαὶ, καὶ νεάνιδες ω ν οὐκ ε στιν ἀριθμός· ὑπὲρ δὲ πάσας ἐστὶ περισ τερὰ τελεία, μονογενὴς ου σα τῇ μητρὶ τῇ α νω ῾Ιερουσαλήμ. 22.1,2 Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. Εἰς τόπον χλόης, ἐκεῖ με κα τεσκήνωσεν, ἐπὶ υ δατος ἀναπαύσεως ἐξέ θρεψέ με. Τέλειος ὁ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίω σιν γνωριζόμενος, ῳ καὶ βασιλεὺς, ἀλλ' οὐ ποιμὴν ἐπιγράφεται Κύριος· ὁ δὲ προκόπτων ἐν εἰσαγωγῇ, πρόβατον κληθείη Θεοῦ, καὶ ποιμαίνεται ὑπ' αὐτοῦ, καὶ τὸ εὐαγγέλιον νέμεται, καὶ πίνει υ δωρ, ου ὁ πιὼν οὐ διψᾷ· ου πω δὲ τῆς ἀληθινῆς ἀμπέλου τὸν οι νον, καὶ ἀναπαύεται διὰ λυτροῦ παλιγγενεσίας, ἀποτιθέμενος τὸ τῶν ἁμαρτημάτων φορτίον. Καὶ α λλως δὲ ὁ τὸ πρᾶον καὶ εὐσταθὲς κα τορθώσας Χριστοῦ, ὑπ' αὐτοῦ ποιμαίνεται ἐπὶ τὴν χλόην, η τις ἐστὶν ἠθικὴ διδασκαλία, ἐν ῳ κατεσκήνωσέ με, φησὶν, ἀλλ' οὐ κα τῴκισε. Καὶ ἀλλαχοῦ δὲ, φησίν· αὐτὸς ποι μαίνει ἡμᾶς εἰς τοὺς αἰῶνας. Ορα δὲ καὶ νόει τὴν χλόην, καὶ νοητὸν αὐτῆς τόπον, καὶ νοητὸν ἀναπαύσεως υ δωρ, τῷ ε τι ποι μαινομένῳ διδόμενον, ε ως λογικῆς τραπέζης, καὶ ποτηρίου μεταλαβεῖν τις δυνηθείη. Εἰ ε τι τι μὴ ἀποκτεῖνον γράμμα, ἐκεῖνο ε σται χλόη· ποιμαινομένουσι δὲ πνευματικῶς τρά πεζα ἡτοιμασμένη, τοῖς ὑπομένουσι τὰς θλί ψεις. 22.3 Τὴν ψυχήν μου ἐπέστρεψεν, ὡδή γησέ με ἐπὶ τρίβους δικαιοσύνης, ε νεκεν τοῦ ὀνόματος αὐτοῦ. ᾿Επέβη γὰρ ω σπερ ὁ ποιμὴν, καὶ προέ τριψε τρίβους, ὡς ἰδίου αὐτοῦ προβάτου τοῖς ι χνεσιν ἐπακολουθεῖν. Δικαιοσύνη μὲν ου ν ἡ πρακτικὴ τῶν δικαίων ε ξις, η ς αἱ κατὰ τὴν ἐνέργειαν τρίβοι. Εἰ δὲ δικαιοσύνην ει ποι τις τὴν γενικὴν ἀρετὴν, τρίβους ἐρεῖ ταύ της τὰς κατ' ει δος ἀρετὰς, ἐφ' α ς ὁδηγεῖ τὸν τὴν αὐτοῦ προσηγορίαν ἐπιγραφόμενον. Τὴν ψυχήν μου, φησὶν, ἐπέστρεψε, πλανη θεῖσαν ἐκ τῶν οἰκείων η καταπεσοῦσαν· η ἐκπεσοῦσαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν ψυχὴν ἐπιστρέφει ὁ Κύριος, καὶ ἀποκαθίστησι μετὰ τὸ ποιμᾶναι, καὶ εἰς τόπον χλόης κατασκηνεῖται· ει τα ἐπισ τρέψας ὁδηγεῖ ἐπὶ τρίβους δικαιοσύνης καὶ ἀρετῆς. 22.4 Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά. Λέγοις δ' α ν καὶ σκιὰν θανάτου τὸν φυ σικόν τε καὶ κοινὸν θάνατον τῷ τῆς ψυχῆς θανάτῳ διαστελλόμενον· καθὸ λέλεκται ἡ ψυχὴ ἡ ἁμαρτάνουσα ἀποθανεῖν, ὡς ὁ πισ τεύων εἰς τὸν υἱὸν τοῦ Θεοῦ οὐ μὴ ἀποθα νεῖται εἰς τὸν αἰῶνα, μεταβεβηκὼς ἀπὸ τοῦ θανάτου εἰς τὴν ζωήν· σκιὰν γὰρ οὐχ ὑπο μένουσι θανάτου, η κινδύνους, η σώματος λύσιν. 22.5 Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξεναντίας τῶν θλιβόντων με· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριον σου μεθύσκον ὡς κράτιστον. Τί βούλεται τό· ἐξεναντίας τῶν θλιβόν των με; Εχει τι μυστήριον ἀπόῤῥητον, ι να τις ευ χηται θλίβεσθαι. Ἐπινόει μοι, ω σπερ ἐπὶ τῶν ἀγώνων τῶν μεγάλων α θλους ἐπι κειμένους καθ' ε καστον ἀγώνισμα, ου τως καθ' ἑκάστην θλῖψιν· ἡνίκ' α ν θλῖβον παρῇ, καὶ αἱ θλίβουσαι δυνάμεις, αἱ ἀντικείμεναι, νόει μοι ἡτοιμασμένην τράπεζαν πνευμα τικὴν καὶ νοητὴν, διὰ ταύτην τὴν θλῖψιν. Ὁσάκις γοῦν ἐὰν θλιβῇς, τοσαυτάκις καὶ τράπεζά σοι παρατίθεται πνευματική. Μό νον ε χε ὀφθαλμοὺς τοὺς βλέποντας τραπέ ζας μου, ι ν' εὐχαριστῶν λέγῃς μετὰ τοῦ ἀποστόλου· Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώ μενοι ἐν ταῖς θλίψεσιν. Ἐν ἀρχαῖς δὲ ἐφάσ κομεν τὸν ἐκ προκοπῆς ο ντα κατασκηνοῦν εἰς τόπον χλόης· ἐπεὶ ου ν ὁ προκόπτων κα ν ἐπὶ τὸ τέλος φθάσειεν, οὐκέτι μείνας πρό βατον, ἀλλὰ λογικὸς ἀναδειχθεὶς, τράπεζαν ε χει λογικῶν τροφῶν, ηὐτρεπισμένην ὑπὸ Κυρίου ... Ἐπίστησον δὲ, εἰ καὶ ο σον τις ἐστὶν ἐν τῷ βίῳ τούτῳ, δι' ἐσόπτρου καὶ δι' αἰ νίγματος τὴν ἀλήθειαν βλέπων, πρόβατόν ἐστιν ὑπὸ ποι μένι ἀγόμενον· μεταβὰς δὲ ἐπὶ τὸν μέλλοντα αἰῶνα, πρόσωπον πρὸς πρόσωπον προσβάλ λων τῇ ἀληθείᾳ, πνευματικῇ προσβάλλει τραπέζῃ, κατὰ τό· Κἀγὼ διαθήσομαι ὑμῖν δια θήκην, ἐσθίειν καὶ πίνειν ἐπὶ τῆς τραπέζης τοῦ Πατρὸς ἐν τῇ ἀληθείᾳ. Οθεν καὶ τό· ἡτοίμασας, ει ρηται, ἀπεντεῦθεν γὰρ ἡτοί μασεν ὁ Θεὸς α ὁ ὀφθαλμὸς οὐκ ει δεν κτλ. Καὶ τό· ἐνώπιον δέ μου, δηλοῖ πεφανερῶσθαί μοι καὶ ἐγνῶσθαί μοι τὴν τράπεζαν, ἐξεναν τίας τῶν θλιβόντων με, πολλῶν ἐχθρεύειν μοι βουλομένων. Καὶ διὰ τούτων θλιβόντων με ἀνίστασθαί με ἰσχυρῶς πρὸς αὐτοὺς ὁ Κύ ριος θέλων, ἡτοίμασεν ἐνώπιόν μου τράπε ζαν, ἐν ῃ ἐπίκειται στερεὰ τροφὴ, ι να ταύ της ἀθλητικῶς ἐμφορηθεὶς, ἀντιστῆναι γεν ναίως πρὸς τοὺς θλίβοντας δυνηθῶ. Καὶ γὰρ ο τε ἀγαθῶν τελείων τυγχάνομεν, ἰσχυροὺς καὶ πλείονας ε χομεν τοὺς ἀντικειμένους, ῃ φησιν ὁ ἀπόστολος· Θύρα γάρ μοι ἀνέῳγεν μεγάλη καὶ οἱ ἀντικείμενοι πολλοί. –Ου δὲ ἀπὸ Κυρίου λιπαίνεται ἐν ἐλαίῳ ἡ κε φαλὴ, ἐρεῖ· Ελαιον δὲ ἁμαρτωλοῦ μὴ λι πανάτω τὴν κεφαλήν μου, ὡς ἀπὸ Θεοῦ χριόμενος ἐλαίῳ ἀγαλλιάσεως Χριστός. Οι μαι δὲ ο τι καὶ νηστεύων ου τως ἀλείφεται τὴν κεφαλὴν, καὶ τὸ πρόσωπον νίπτεται. – Καὶ ἐπεὶ μὴ μόνον τράπεζαν κτλ. 22.6 Καὶ τὸ ε λεός σου καταδιώξεταί με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ τὸ κατοικεῖν με ἐν οι κῳ Κυρίου εἰς μακρότητα ἡμερῶν. Τίς ἐστιν ὁ καταδιώκων ε λεος; Χριστὸν Θεοῦ δύναμιν ε μαθον καὶ Θεοῦ σοφίαν ἀπὸ τοῦ ἀποστόλου, καὶ ο τι ἐγεννήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. Αὐτὸς λέγει· Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ζωὴ καὶ ἀλήθεια. Μάθετε ο τι αὐτός ἐστιν καὶ ὁ ε λεος ὁ διώκων· ε μψυχος ε λεος σε διώκει. Τοὺς ε λαττον φεύγοντας κατα λαμβάνει καὶ κρατεῖ, καὶ εἰς τὴν ἐκκλησίαν αὐτοὺς α γει, ι να ἐλεήσῃ καὶ οἰκήσωσιν εἰς τὸν οι κον Κυρίου, εἰς μακρότητα ἡμερῶν, καὶ εἰς τὴν ἐν οὐρανοῖς ἁγίαν ἐκκλησίαν, καὶ μακρήμεροι γένωνται. 23.1 Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοι κοῦντες ἐν αὐτῇ. Ταύτην λέγει τὴν οἰκουμένην, ἐν ῃ ηὐ φραίνετο συντελειωθείς. 23.4 Ἀθῶος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ. Πολλάκις ἐλέγομεν περὶ τῆς ἐπάρσεως τῶν χειρῶν· ἐπῆρεν Μωϋσῆς τὰς χεῖρας, καὶ κατίσχυσεν ὁ Ἰσραὴλ, ο τε δὲ καθῆκεν τὰς χεῖρας κατίσχυσεν ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

᾿Αμαλήκ. Καί·᾿Επαίροντες ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλο γισμοῦ. Καί· Επαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή. Ει ποιμι α ν ου ν ο τι αἱ χεῖρες ἡμῶν αἱ πράξεις ἡμῶν εἰσιν, αἱ κατὰ θεοσέβειαν· ἐὰν θησαυρίζωμεν ἐν οὐρανοῖς, ε χομεν τὰς χεῖρας ἐπηρμένας πρὸς τὸν Θεὸν, καὶ νικῶ μεν τὸν ἐχθρόν. Οταν δὲ ἡμῶν αἱ χεῖρες κάτω γένωνται, ἀνάγκη ἡμᾶς νικᾶσθαι. Οταν ου ν ἐπαίρω τὰς χεῖράς μου πρὸς τὸν Θεὸν, καὶ διὰ τῶν χειρῶν τῆς ψυχῆς ὑψῶμαι πρὸς αὐτὸν, νικᾶται ὑπ' ἐμοῦ ὁ᾿Αμαλὴκ, καὶ οὐδαμοῦ ἐστιν· οὐκοῦν δεῖ ἐπαίρειν χεῖ ρας πρὸς ναὸν α γιον τοῦ Θεοῦ· ὁ ναὸς δὲ τοῦ Θεοῦ δόξα ἐστὶ τοῦ Θεοῦ. ββ. 637. 23.10 Τίς ἐστιν ου τος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος τῶν δυνάμεων. Εἰκότως ἡ Παντοκράτωρ φωνὴ τοῦ Σω τῆρος κατηγορηθείη· εἰ γὰρ πάντα δι' αὐ τοῦ γέγονεν, καὶ αὐτός ἐστιν πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν, κρατεῖ τε προνοητικῶς τῶν δι' αὐτοῦ πάντων γε γενημένων, καὶ πρὸ πάντων ἐστὶν τῶν ἐν αὐτῷ συστάντων, ἀκολούθως Παντοκράτωρ λέγεται· αὐτοῦ γοῦν ἐστιν πρόσωπον λέγον ἐν Ζαχαρίᾳ· Ου τως λέγει Κύριος Παντοκρά τωρ· ᾿Οπίσω δόξης ἀπέστειλέ με, καὶ γνώσῃ ο τι Κύριος Παντοκράτωρ ἀπέσταλκέ με πρὸς σέ. Παντοκράτωρ γὰρ ὑπὸ Παντοκράτορος ἀποστελλόμενος ὁ Υἱός ἐστιν, ὑπὸ Πατρὸς πεμπόμενος. ᾿Αριδηλότατα δὲ ἐν τῇ ᾿Ιωάννου ᾿Αποκαλύψει, Παντοκράτωρ ὁ Σωτὴρ λέγε ται. Τάδε γὰρ λέγει Κύριος, ὁ μάρτυς ὁ πισ τὸς καὶ ἀληθινὸς, ὁ η ν καὶ ὁ ω ν καὶ ὁ ἐρχό μενος Κύριος, ὁ Θεὸς ὁ Παντοκράτωρ.᾿Αναμ φισβητήτως ταῦτα περὶ τοῦ Υἱοῦ ει ρηται. 24.4 Μνήσθητι τῶν οἰκτιρμῶν σου. Οποιος γάρ πότε, ἐὰν ῃ ὁ α νθρωπος, ἐλέου χρήζει τοῦ ἀπὸ Θεοῦ. 24.19 Ιδε τοὺς ἐχθρούς μου, ο τι ἐπλη θύνθησαν, καὶ μῖσος α δικον ἐμίσησάν με. Οἱ τοὺς δικαίους ὡς δικαίους μισοῦντες, μῖσος α δικον μισοῦσιν αὐτούς. 24.21 Ακακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ο τι ὑπέμεινά σε, Κύριε. Λέγοις δ' α ν καὶ α λλους ἀκάκους τοὺς ἐστερημένους κακίας, η τοὺς ἁπλωστέρους· εὐθεῖς δὲ, τοὺς τελείους· η ἀκάκους τοὺς ἐξ ἀνθρώπων, εὐθεῖς δὲ ἀγγέλους ὑπὲρ αὐτῶν. 25.4 Οὐκ ἐκάθισα μετὰ συνεδρίου μα ταιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. Λεκτέον ταῦτα πρὸς τοὺς θεωροῦντας ἱπ ποδρομίας καὶ θέατρα, ε τι δὲ καὶ πρὸς τοὺς γενομένους κοινωνοὺς τῶν αἱρέσεων. 25.8 Κύριε, ἠγάπησα εὐπρέπειαν οι κου σου, καὶ τόπον σκηνώματος δόξης σου. Τόπος Κυρίου, εἰρήνη ψυχῆς· ἐγεννήθη γὰρ, φησὶ, ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ. 25.11 ᾿Εγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην. ῾Ο τὴν τῆς ψυχῆς ἀπάθειαν προθύμως διαφυλάττων, ταῦτα λέγει τὰ ῥήματα. 26.6 ᾿Εκύκλωσα, καὶ ε θυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ. Εἰ ὁ κυκλώσας θύει, θυσία δέ ἐστιν πνεῦ μα συντετριμμένον, ὁ συντρίψας τὴν ἑαυτοῦ ψυχὴν κύκλον αὐτὴν πεποίηκε, σχῆμα γω νίας μὴ ε χουσαν ἐπιδεχόμενον φθορὰν καὶ τὴν ἀφροσύνην αὐτὴν, η , φησὶ Σαλωμὼν, ταῖς γωνίαις παρεδρεύει. Καὶ τὸ κατελθὸν δὲ ἐπὶ τοὺς παῖδας᾿Ιὼβ πῦρ τῶν τεσσάρων η ψατο γωνιῶν τοῦ οι κου. Ορα, μὴ πνεῦμα ει χε καὶ πῦρ κατὰ σφάλμα ε τερον, τὸ κα τελθὸν ἐπὶ τὰ παιδία. 26.12 Καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ. ᾿Εν καιρῷ συκοφαντίας ταῦτα λεκτέον. 26.13 Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυ ρίου ἐν γῇ τῶν ζώντων. Αὐτὸς μὲν ὁ Θεός ἐστιν ἐν τῷ οὐρανῷ· τὰ δὲ ἀγαθὰ αὐτοῦ ἐν τῇ γῇ τῶν ζώντων. 26.14 ῾Υπόμενον τὸν Κύριον, ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου. Αὐτή ἐστιν ἡ ἀνδρεία καὶ κραταιὰ καρ δία, ἡ μὴ ε χουσα λογισμοὺς καὶ δόγματα ψευδῆ. 27.1 Μήποτε παρασιωπήσῃς ἐπ' ἐμοὶ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Τοῦ νοῦ λάκκος ἡ α γνοιά ἐστιν, εἰς η ν ἐμ πίπτει, παρασιωπησάσης αὐτῷ τῆς τοῦ Θεοῦ σοφίας, καὶ μὴ λεγούσης τό·᾿Ιδοὺ πάρειμι. 27.5 Οτι οὐ συνῆκαν εἰς τὰ ε ργα Κυ ρίου καὶ εἰς τὰ ε ργα τῶν χειρῶν αὐτοῦ. Οὐδεὶς γὰρ μὴ νοήσας τὰ ε ργα τοῦ Κυ ρίου, α μεμπτός ἐστιν, περὶ ω ν λέγει Θεός· ᾿Αληθινὰ τὰ ε ργα αὐτοῦ. Καὶ πάλιν· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· ποίησιν δὲ χειρῶν αὐτοῦ ἐναγγέλλει τὸ στερέωμα. Πάνυ γὰρ κατάδηλά ἐστιν, ὡς ἀπ' αὐτῆς τῆς κτί σεως καὶ τῶν δημιουργημάτων ἀναλόγως δύνασθαι τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενεσιουργὸν θεωρεῖν· διὰ τοῦτο ου ν ου τοι κολαζέσθωσαν. 27.6,7 Εὐλογητὸς Κύριος, ο τι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου. Κύριος βοη θός μου καὶ ὑπερασπιστής μου, ἐπ' αὐτῷ η λπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου. Εὐξάμενος κακὰ ἀνθρώποις, εὐλογεῖ τὸν Θεὸν, ο τι εἰσήκουσεν αὐτοῦ· ἀλλὰ τὰ εἰρη μένα νοείσθω, ο τι ευ χεται μετάνοιαν καὶ διόρθωσιν τοῖς ἡμαρτηκόσι. –Καὶ ἀνέθα λεν ἡ σάρξ μου. Ποία σάρξ; περὶ η ς ει ρη ται, ο τι ο ψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ· ἡ γὰρ εἰς αὐτὸν, φησὶν, ἐλπὶς πρό ξενός μοι τῆς προμηθείας ταύτης ἐγένετο, διὸ δὴ τῆς διὰ τὴν φυγὴν κακουχίας ἀπαλ λαγεὶς, ἀνέθαλόν τε καὶ η νθησα, καὶ τὴν ἐκ τῆς εὐθυμίας εὐεξίαν ἀπέλαβον. 28.1 ᾿Ενέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν. Τιμή ἐστιν Θεοῦ σεβάσμιος ἀποδοχὴ μετ' εὐχαριστίας. 28.9 Φωνὴ Κυρίου καταρτιζομένου ἐλά φους, καὶ ἀποκαλύψει δρυμούς. Ανευ φωνῆς Κυρίου οὐκ α ν γένοιτό τις ε λαφος διαφθείρων τοὺς ο φεις· ὁποῖος η ν ὁ Παῦλος, κατὰ ἀνθρώπων θηριομαχῶν ἐν ᾿Εφέσῳ. –Καὶ ἀποκαλύπτων δρυμοὺς, ἐν οι ς· Αἱ ἀλώπεκες ει χον φωλεοὺς, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ε χει ποῦ τὴν κεφα λὴν κλίνῃ. 29.1 Οτι ὑπέλαβές με, καὶ οὐκ ευ φρα νας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ. Τοὺς μὲν πρακτικοὺς ὑπολαμβάνει ὁ Κύ ριος διὰ τῶν ἀρετῶν· τοὺς δὲ ἐπιπλέον προ κεκοφότας διὰ τῆς φυσικῆς θεωρίας· ἐφ' οι ς οὐκ εὐφραίνεσθαι λέγονται οἱ ἐχθροί. Αἱ μὲν γὰρ φεύγουσι τὴν κακίαν· ἡ δὲ τὰ ψευδῆ δόγματα διελέγχει, γνῶσις ου σα Θεοῦ πνευ ματική. Τὸ δέ· ὑπέλαβες, ἀντὶ τοῦ μετεώ ρισας. ᾿Ανθ' ου ᾿Ακύλας ει πεν· ᾿Ανέσωσάς με.29.3 Κύριε, ὁ Θεός μου, ἐκέκραξα πρὸς σὲ, καὶ ἰάσω με. Μακάριος ὁ τὴν ἐν βάθει πληγὴν ἑαυτοῦ γνωρίζων, ὡς δύνασθαι τῷ ἰατρῷ προσιέναι, καὶ λέγειν· Ιασαί με, Κύριε. Καὶ ἐγὼ ει πα· Κύριε, ἐλέησόν με, ι ασαι τὴν ψυχήν μου. Νῦν δὲ τυχὼν τῆς ἰατρείας, εὐχαριστεῖ. Εστι δὲ ὁ Θεὸς τῶν δι' ἀγάπην οἰκειωθέντων αὐτῷ. 29.7 ᾿Εγὼ δὲ ει πα· ᾿Εν τῇ εὐθηνίᾳ μου οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. Πνευματικὴ δὲ εὐθηνία, ο ταν ὁ σπόρος τοῦ ᾿Ιησοῦ ἑκατονταπλάσιος γίνηται, ἐν η τις μένων βεβαίως, ταῦτα δι' ε ργων φησίν. Στιχθείη δὲ καὶ εἰς τό· Ει πα. Τί δὲ ει πα; ο τι εἰ ἐν τοιαύτῃ γίνομαι εὐθηνίᾳ, οὐ μὴ σα λευθῶ. ῾Ο δὲ Σύμμαχος ου τως· ᾿Ηρεμίᾳ μου, φησὶν, τὸ γαληνὸν καὶ ἀτάραχον ἐμφαίνων τῆς καταστάσεως. 29.8 Κύριε, ἐν τῷ θελήματί σου παρέ σχου τῷ κάλλει μου δύναμιν, ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγ μένος. ᾿Ωριγένους, Βασιλείου. Κατὰ μὲν ου ν συμ μετρίαν καὶ ἁρμονίαν τῶν τῆς ψυχῆς θεωρη μάτων, ε νιοι τῶν σοφῶν τὸ κάλλος ἐνόησαν· κατὰ δὲ τὸ ἀποτελεστικὸν τῶν ὑπερβαλλο μένων ἐκ θεωρητικῶν ἀρετῶν, τὴν ἰσχὺν νενοήκασι. Πλὴν ι να καὶ κάλλος ἐπιγένηται τῇ ψυχῇ, καὶ δύναμις τῶν δεόντων ἐπιτελε στικὴ, θείας εἰς τοῦτο χάριτος χρῄζομεν. – ᾿Αποστρέφει δὲ τὸ πρόσωπον ὁ Θεὸς, ἐκδι δοὺς πειρασμοὺς, ἐπὶ τὸ γνωσθῆναι τὴν ἐν αὐτοῖς καρτερίαν· ὑπὸ δὲ τῆς ὑπερεχούσης πάντα νοῦν εἰρήνης φρουρούμενοι, νικῶμεν τὴν ταραχὴν καὶ σύγχυσιν τῶν παθῶν. ᾿Επεὶ ου ν ἀντίκειται, τῷ μὲν θελήματι τοῦ Θεοῦ ἡ ἀποστροφὴ, τῷ δὲ κάλλει καὶ τῇ δυνάμει ἡ ταραχὴ, ει η α ν ἡ ταραχὴ αι σχος καὶ ἀσθένεια ψυχῆς ἐκ τῆς ἀπὸ Θεοῦ ἀλλοτριώ σεως, δεῖ ου ν ε τοιμον ει ναι, καὶ μὴ ταραχ θῆναι· ει ρηται γάρ·῾Ετοιμάσθην, καὶ οὐκ ἐταράχθην. 29.10 Τίς ὠφέλεια ἐν τῷ αι ματί μου, ἐν τῷ καταβῆναί με εἰς διαφθοράν; Η καὶ ου τως· πολλὰ μὲν ὠφέλησεν ὁ Σωτὴρ, λύτρον δοὺς ἀντὶ πολλῶν τὴν ψυ χήν. Ηὐδόκησεν γὰρ ὁ Πατὴρ τῇ ἐκχύσει τοῦ αι ματος τοῦ ἀμνοῦ αὐτοῦ, ἀρθῆναι τὴν ἁμαρτίαν τοῦ κόσμου, ῥυσθέντος ἐκ τῆς ἁ μαρτίας τῆς ἀναστροφῆς πατροπαραδότου. Πρὸς δὲ τοὺς ἐπιμείναντας δυσσεβείᾳ καὶ τῇ κακίᾳ, ἡ τοῦ Σωτῆρος διαφθορὰ, τουτέστι τῆς σαρκὸς ἡ φύσις, η ο ν ὑπέμεινε θάνατος, ἀνόνητος ει ναι δοκεῖ. 30.13 ᾿Επελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρ δίας. Νεκρὸς μὲν ἀπὸ καρδίας ἐστὶν ὁ ἐστερη μένος γνώσεως· νεκρὸς δὲ ἀπὸ ψυχῆς ὁ ἐστερημένος ἀρετῶν. 30.24,25 ᾿Αγαπήσατε τὸν Κύριον, πάν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τες οἱ ο σιοι αὐτοῦ, ο τι ἀληθείας ἐκζητεῖ Κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν. ᾿Ανδρίζεσθε, καὶ κρα ταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπί ζοντες ἐπὶ Κύριον. Εὐσεβίου. ᾿Εξ ω ν αὐτὸς ε τυχεν εὐεργε σιῶν, μὴ μόνος ἀπολαῦσαι τῆς παρὰ τοῦ Θεοῦ σωτηρίας βουλόμενος, μετὰ πολλῶν δὲ σωθῆναι, προτρέπεται, τοῖς πᾶσιν ἐπιφω νῶν, ἀγαπᾶν τὸν Θεὸν, καὶ μηδὲν ε τερον πράττειν η τῇ ἀγάπῃ τοῦ Κυρίου ἑαυτοὺς ἀνατιθέναι, καὶ τοῦτο πράττειν μετὰ ἀλη θείας, γνησίως καὶ καθαρῶς, ἀλλὰ μὴ ἐπι πλάστως, μηδὲ μεθ' ὑποκρίσεως, λέγει ο τι ἀληθείας ἐκζητεῖ Κύριος· πεπεῖσθαι δὲ χρὴ, φησὶν, ὑμᾶς τοὺς τῷ Θεῷ καθωσιωμένους, ὡς ε σται τις καιρὸς τῆς τοῦ Θεοῦ δικαιο κρισίας, ἐν η ἀποδώσει τἀπίχειρα ω ν πράτ τουσιν ἐπὶ τοῦ παρόντος οἱ τὸν Θεὸν μὴ εἰδό τες, οἱ μηδὲ μετρίως, ἀλλ' εἰς ὑπερβολὴν ἀλαζονευόμενοι· ου ς οὐ χρὴ φοβεῖσθαι, εἰς τὸ τέλος αὐτῶν ἀφορῶντας, ἀλλ' ἀνδρίζεσ θαι καὶ κραταιοῦσθαι τοὺς λογισμοὺς, τὴν διάνοιαν ἑδραίαν καὶ στερεὰν κεκτημένους, καὶ τὴν ἐλπίδα ἐπὶ Κύριον τιθεμένους. 31.4 ᾿Εστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναι α κανθαν. Τὰς βιωτικὰς ἀπάτας τε καὶ μερίμνας ἀκάνθας ἐκάλεσεν ὁ σωτήρ. Τοιαύτῃ τις ἀκάνθῃ περιπεσὼν ταλαιπωρεῖ, οἰκτρὸς δέ τις γίνεται, κατὰ τροπὴν καὶ φύσει τοιοῦτος ὑπάρχων. 32.6 Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστε ρεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Στόμα Θεοῦ τὸ Πνεῦμα τὸ α γιον. –Οἱ γὰρ προφῆται δι' αὐτοῦ λαλοῦντες ε λεγον, ο τι τὸ στόμα Κυρίου ἐλάλησε ταῦτα, η γουν τὸ Πνεῦμα τὸ α γιον. –᾿Αγγέλων ου ν τὴν μὲν εἰς τὸ ει ναι πάροδον ὁ δημιουργὸς Λό γος παρέχετο· τὸν ἁγιασμὸν δὲ αὐτοῖς τὸ Πνεῦμα συνεπέφερεν, –Οὐ γὰρ νήπιοι κτισθέντες, τῇ κατ' ὀλίγον μελέτῃ τῆς τοῦ Πνεύματος ὑποδοχῆς γεγόνασιν α ξιοι, ἀλλ' ἐν τῇ πρώτῃ συστάσει καὶ τῷ οἱονεὶ φυρά ματι τῆς οὐσίας αὐτῶν συγκαταβληθεῖσαν ε σχον τὴν ἁγιότητα. Διὸ καὶ δυσμετάθετοι πρὸς κακίαν εἰσὶν εὐθὺς, οἱονεὶ βαφῇ τῷ ἁγιασμῷ στομωθέντες. 33.9 Γεύσασθε, καὶ ι δετε ο τι χρηστὸς ὁ Κύριος. Εἰ γευστός ἐστιν ὁ Κύριος, διὰ τῆς πίσ τεώς ἐστι γευστός· καὶ εἰ χρηστὸς, διὰ τῆς γνώσεώς ἐστι χρηστός. 34.8 ᾿Ελθέτω αὐτοῖς παγὶς η ν οὐ γινώσ κουσι, καὶ ἡ θήρα η ν ε κρυψαν, συλλαβέτω αὐτοὺς, καὶ ἐν τῇ παγίδι πεσοῦνται ἐν αὐτῇ. ᾿Αντεστράφη γὰρ εἰς κεφαλὴν τῶν πονη ρῶν ἡ παγίς. Θηρεύσαντες γὰρ τὸν α νθρω πον εἰς θάνατον, ἀντεζωγρεύθησαν, καὶ τῷ θανάτῳ παραδίδονται. ῾Ο τάφος ὁ δεσποτι κὸς, ἐν ῳ ἐνόμιζον κρύπτειν ὡς νεκρὸν τὸν Σωτῆρα, καὶ ἐν αὐτῷ γὰρ συνελήφθησαν, ὡς ἐν παγίδι. 34.11 ᾿Αναστάντες μάρτυρες α δικοι, α οὐκ ἐγίνωσκον, ἐπηρώτων με. Οἱ ἀναστάντες μάρτυρες α δικοι κατὰ τοῦ Σωτῆρος ε λεγον· Ου τος ει πεν· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Τοῦτο δὲ αὐτό· οὐκ ἐγίνωσκον, πῶς ε λεγεν; δύναται γὰρ τὸ ῥητὸν τοῦτο καὶ ἐπὶ τοῦ Σωτῆρος λαμβάνεσθαι, η τάχα καὶ ο λος ὁ ψαλμός. ᾿Αφ' ἑαυτῶν μὲν οἱ α νθρωποι οὐ γινώσκουσι τὴν κακίαν, ἐρωτώμενοι δὲ ὑπὸ τῶν ἐχθρῶν διὰ τῶν λογισμῶν, εἰς γνῶσιν ε ρχονται τῆς κακίας. Νῦν δὲ τὴν πεῖραν λέγω· λέγεται γὰρ καὶ ἡ πεῖρα γνῶσις· Εγνω, φησὶν, ᾿Αδὰμ τὴν γυναῖκα αὑτοῦ. – Συκοφαντίαν, φησὶν, ὑπέμεινα, α μηδὲ ἐλο γισάμην κατηγορούμενος· ἐπειδὴ γὰρ ὑπὸ τοῦ φθόνου ἠλεγμένος, ο σα Σαοὺλ τυραννή σειεν ὑπώπτευεν, καὶ τούτου χάριν πολεμὸν διετέλει, χώραν λαβὼν ο ἐβάσκαινον τὰς κατ' αὐτοῦ συκοφαντίας ...... τούτους μάρ τυρας ὀνομάζει ψευδεῖς, ἐκ τούτων καὶ οἱ Ζηφαῖοι καὶ ε τεροι πρὸ τούτων πολλοί. Παράτεινον τὸ ε λεός σου τοῖς γι νώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ. Η τάχα οἱ μὲν τὴν γνῶσιν μόνην ε χον τες, τουτέστι τὴν πίστιν, ἐλέῳ δικαιοῦνται καὶ σώζονται· οἱ δὲ καὶ τὸ εὐθὲς ἐν πράξεσι, τὸν τῆς δικαιοσύνης ἀπολαμβάνουσι στέφα νον· πλὴν εἰ παρατείνεται τὸ ε λεος τοῖς γι νώσκουσι τὸν Θεὸν, τοῖς μὴ γινώσκουσιν αὐτὸν πρόσκαιρον ε σται. 35.12 Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλῶν μὴ σαλεύσαι με. Οι δε μέντοι ὁ θεῖος λόγος ταῖς λεγομέναις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεταφοραῖς χρῆσθαι, ω σπερ ἐνταῦθα. Τῆς ὑπερηφανίας, οὐ ζώου ποδωτοῦ, ἀλλ' ε ξεως ου σης, πόδα ὠνόμασεν· ο ου ν ευ χεται, τοῦτό ἐστιν· μὴ γενοίμην ὑπερήφανος, μηδὲ κτη σαίμην χεῖρα καὶ πρᾶξιν ἁμαρτωλοῦ. Ταῦτα γὰρ σαλεύειν ει ωθε, καὶ μετακινεῖν τῆς πα ρὰ τῷ Θεῷ στάσεως τοὺς εἰς τὸ σκότος τὸ ἐξώτερον ἐξωθησομένους. Διὸ ἐπάγει· 35.13 ᾿Εκεῖ ε πεσον πάντες οἱ ἐργασάμε νοι τὴν ἀνομίαν, ἐξώσθησαν, καὶ οὐ μὴ δύ νωνται στῆναι. Ενθα οἱ σαλευθέντες πίπτουσι. – Η ἐκεῖ, τουτέστιν ἐν τῷ μέλλοντι βίῳ, κατὰ τό· ᾿Εκεῖ ε σται ὁ κλαυθμὸς, καὶ τό· Γυμνὸς ἀπελεύσο μαι ἐκεῖ. Επεσον πάντες, τουτέστι πεσοῦν ται οὐκέτι ἐπιτρεπόμενοι ἐνεργεῖν ὡς πρότε ρον. Οὐ δεῖ δὲ ξενίζεσθαι, εἰ τὸ μέλλον ὡς η δη γεγονὸς λέγει· οι ον ἀντὶ τοῦ ἐξωσθήσον ται τὸ ἐξώσθησαν. ῾Ο γὰρ προφητικῶς προο ρῶν τὰ ἐσόμενα, ου τως αὐτὰ βλέπει ὡς πάν τως γενησόμενα· τούτου χάριν, ὡς η δη γενόμενα, αὐτὰ διορίζεται. Δεῖ δὲ α ρα προ σιόντας Θεῷ, τῶν μὲν ἀγαθῶν ποιεῖσθαι τὴν αι τησιν, παραιτεῖσθαι δὲ τὸ ἁλῶναι ψυχι κοῖς ἀῤῥωστήμασι, καὶ τὸ ὑπὸ χεῖρα γενέ σθαι διαβολικὴν, τὴν ἀεὶ σαλεύουσαν καὶ τοὺς ἑστάναι δοκοῦντας, εἰ ῥαθυμοῦντες εὑρίσκοιντο, οὐκ ἐῶσαν στῆναι τοὺς διὰ πλείστην ο σην ἀσέβειαν ἐξωσθέντας παρὰ Θεοῦ· ο δὴ πέπονθε καὶ ὁ κατὰ σάρκα ᾿Ισραὴλ, πεπαρῴνηκε γὰρ ἀφορήτως εἰς Χρι στόν. 36.1,2 Μὴ παραζήλου ἐν πονηρευομέ νοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνο μίαν. – Οτι ὡσεὶ χόρτος, ταχὺ ἀποξηραν θήσονται, καὶ ὡσεὶ λάχανα χλόης, ταχὺ ἀποπεσοῦνται. Οτι ὡσεὶ χόρτος τροφὴ κτηνῶν ἐστὶν, τὸν αὐτὸν τρόπον καὶ οἱ πονηρευόμενοι τῶν κα ταχρωμένων αὐτῶν, τῇ δόξῃ, τῷ πλούτῳ, τῇ εὐτυχίᾳ· οἱονεὶ γὰρ ἐσθίουσιν αὐτοὺς, ω σπερ χόρτον, οἱ κολακεύοντες. Καὶ τὰ λάχανα δὲ τὰ τῆς χλόης ἐπ' ὀλίγον ἀνθεῖ, ει τ' εὐθέως πίπτει· εἰ ου ν πρόσκαιρος ὁ χόρτος καὶ τὸ λάχανον, εἰ δὲ ἁμαρτωλοὶ τούτοις ἀπεικά ζονται, πρόσκαιροι α ν ει εν. Πάλιν εἰ λάχα νον καὶ χόρτος ἐπισυμβαίνει τῇ γῇ, χόρτῳ δὲ καὶ λαχάνῳ ὁμοιοῦται ἡ κακία, ἐπισυμ βατὴ α ρα ἡ κακία. Οὐ δεῖ τοίνυν ταῦτα ζη λοῦν, ω ν τὰ μὲν ἐπ' ἀτιμίᾳ ῥίπτεται, τὰ δὲ πυρὶ παραδίδοται, τῆς ἀκμῆς τῆς προσκαίρου παυσαμένης, ὡς τὰ χλόης λάχανα, α τὴν χρῆσιν ἐν τῷ χλοάζειν ε χουσι. 36.6 Καὶ ἐξοίσει ὡς φῶς δικαιοσύνην σου. Φῶς δικαιοσύνης, γνῶσις· ἐπεὶ δικαιο σύνη κανών ἐστιν ἀρετῶν. 36.11 Οἱ δὲ πρᾳεῖς κληρονομήσουσιν γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης. Τρυφὴ δικαίου, πλῆθος εἰρήνης· πλῆθος δὲ εἰρήνης ἐστὶν ἀπάθεια ψυχῆς μετὰ γνώ σεως τῶν ο ντων ἀληθῶς. 36.18 Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀ μώμων. Τὰς τῆς ψυχῆς ἡμέρας, αι τινες γίνονται ὑπὸ τῷ ἡλίῳ τῆς δικαιοσύνης. 36.19 ᾿Εν ἡμέραις λιμοῦ χορτασθήσονται, ο τι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται. ᾿Εν τῷ αὐτῷ καιρῷ ἁμαρτωλοῖς λιμὸς η ν, ᾿Ηλίαν δὲ α γγελος καὶ κόραξ καὶ χήρα ε θρε ψαν. Ου τως τοῖς ἀκούουσι τῶν λεγομένων καὶ ποιοῦσι τὰ προστασσόμενα, οὐκ ε σται ἀφορία, οὐδὲ λιμὸς τοῦ ἀκοῦσαι λόγον Κυ ρίου, ἀλλ' ἐντελεῖται νεφέλαις τοῦ βρέξαι ἐπ' αὐτοῖς, καὶ ἐν τῷ ἐνεστῶτι πονηρῷ αἰῶνι οὐ καταισχυνθήσονται· καὶ ο ταν ε λθη νὺξ, ο τε οὐδεὶς δύναται ἐργάζεσθαι, ἐξ ω ν συ νέλεξαν ε ργων, τρυφήσονται, διπλοῦν ἐν τῇ ε κτη τὸ μάννα συνάγοντες, καὶ ἐπὶ τοῦ πα ρόντος ἀρκοῦν καὶ εἰς τὸν μέλλοντα αἰῶνα, ο τε οἱ ζητοῦντες τὰς δόξας τὰς κοσμικὰς, οἱ ἑαυτοὺς ὑψοῦντες, ἐκλείψουσι καὶ ταπεινω θήσονται· διὸ ἐπάγει ο τι οἱ ἁμαρτωλοὶ ἀπο λοῦνται. 36.21 Δανείζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ ἀποτίσει· ὁ δὲ δίκαιος οἰκτείρει καὶ διδοῖ. Σαφέστερον δὲ ει πεν· ε καστος ἡμῶν δέ χεται παρὰ Θεοῦ πλείστας ο σας καὶ μεγά λας εὐεργεσίας, αἰσθητάς τε καὶ νοητάς· ἀλλ' ἐάν τις ῃ φιλαμαρτήμων καὶ ἀσχέτως ἀπονενευκὼς εἰς φιληδονίαν, τῇ τύρβῃ τῶν ἐν τῷδε τῷ κόσμῳ πραγμάτων, τὸν ἑαυτοῦ κατακαύσας νοῦν, πολλὰ παρὰ Θεοῦ δανει σάμενος, οὐδὲν ἀποτίσει, τουτέστιν οὐ προ σοίσει τὴν ὑπακοὴν, οὐ καρποφορήσει τὴν ἀρετήν· ἀλλ' οὐδὲ ω σπερ τινὰ τόκον κα ταθήσει τῷ Θεῷ τὴν ἐπιείκειαν, οὐ δογ ματικῆς εὐτεχνίας ἐπιμελήσεται· μένει δὲ σκληρὸς καὶ α καρπος· πλὴν κα ν εἰ ου τω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διατεθείη, φησὶν, ὁ δίκαιος καὶ ἀγαθὸς, δη λονότι Θεὸς, οὐ παύσεται τοῦ κατοικτει ρεῖν αὐτὸν, καὶ διδόναι τὰ παρ' ἑαυτοῦ, ι να λοιπὸν λέγηται πρὸς αὐτόν. Η τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς; καὶ τὰ ἑξῆς. 36.23 Καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει. Ὁδὸς Κυρίου, ψυχὴ καθαρά. 36.25 Καὶ οὐκ ει δον δίκαιον ἐγκαταλε λειμμένον. Οὐκ ει πεν· ἐγκαταλειφθέντα, ἀλλ' ἐγκα ταλελειμμένον, τουτέστιν ε ως η ξω, ο τι γὰρ ἐγκαταλίμπονται οἱ δίκαιοι πρὸς καιρὸν, δοκιμῆς χάριν. Ὁ Κύριος πρὸς τὸν Ἰώβ· Μή με οι ου α λλως σοι κεχρηματικέναι η ι να ἀποφανῇς δίκαιος. Οὐδὲ σπέρμα αὐτοῦ ζητοῦν α ρτους. Εἰ ἡ δικαιοσύνη ἀρετή ἐστι, τὰ σπέρματα τῶν ἀρετῶν καὶ αὐτὰ ἀρεταί. Καλῶς τὸ σπέρμα τῆς ἀρετῆς, ο περ ἐστὶν ἡ ἀρετὴ, οὐ ζητεῖ α ρτους· α ρτον δὲ λέγει τὴν γνῶσιν, η τις οὐχ ὑστερεῖ ἐν τῷ σπέρματι τοῦ δικαίου (σπέρμα δὲ δικαίου τροπικῶς ο λως ει ρηται, τὸ καταβαλλόμενον ἐν ταῖς ψυχαῖς τῶν ἀ κουόντων), σπέρμα γὰρ πλησθήσεται γνώ σεως, σπέρμα δὲ πονηροῦ ἐν ἐνδείᾳ ε σται. 36.26 Ολην τὴν ἡμέραν ἐλεεῖ καὶ δα νείζει. Ομοιον τῷ· Ἐλεῶν πτωχὸν, δανείζει Θεῷ. –Ὁ δανείζων λόγους καθαίροντας ψυχὴν, εὐλογηθήσεται· ὁ δὲ μὴ ἐπιδιδοὺς αὐτοῖς, ἐπικατάρατος ε σται. 36.27 Εκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. Τὸ ἐκκλίναι ἀπὸ κακοῦ ὁ τοῦ Κυρίου φό βος παρέχει· τὸ δὲ ποιῆσαι τὸ ἀγαθὸν ἡ ἀγαπὴ προστάσσει. 36.28 Οτι Κύριος ἀγαπᾷ κρίσιν. Κρίσιν, δικαιοκρισίαν, οὐ τὴν δικαστικὴν, ἀλλὰ τὴν ἐξ ἀπλανοῦς καὶ ὑγιοῦς κριτηρίου. 36.33 Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, ου τε μὴ κατα δικάσαι αὐτὸν, ο ταν κρίνηται αὐτῷ. Μὴ καταδικάσαι, δηλονότι ὁ ἀντίδικος. 36.35 Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ η ν. Ὡς δύσκολον τὸ παρελθεῖν τὸν ἀσεβῆ μη δὲν παθόντα. Η τάχα ἡ θεία τοῦτο λέγει γραφή· αὐτὰ ἐννοεῖν βουλόμενος, θεωρήσω, οὐδὲ τόπον ἐν ῳ ἑστάναι ἐδόκουν, δεδύνημαι εὑρεῖν, ο που γὰρ α ν αὐτὸς παρέλθῃ· καθαι ρεῖ πᾶν υ ψωμα ἐπαιρόμενον κατὰ τῆς γνώ σεως τοῦ Θεοῦ. –Μὴ εἰδῇς αὐτῶν τὴν εὐη μερίαν, ἀλλὰ πρόσμεινον τὸ τέλος, καὶ ο ψει τὸν ο λεθρον. 36.37 Καὶ ι δε εὐθύτητα. Τό· Καὶ ι δε εὐθύτητα, ἀντὶ τοῦ· Οψει εὐθύτητα. 37.1,2 Ψαλμὸς τῷ Δαυὶδ εἰς ἀνάμνησιν περὶ σαββάτου. –Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Παιδεύει ἡμᾶς ὁ Κύριος, εἰς ἀνάμνησιν α γων τῆς ἀρετῆς· ὁ δὲ α γιος οὐ τὸν ε λεγχον η τὴν παιδείαν παραιτεῖται, ἀλλὰ τὴν μετ' ὀργῆς καὶ θυμοῦ. Τοῦτο καὶ τοῦ ΄ ψαλμοῦ προοίμιον ἐποίησε, τὸ παρακαλεῖν ἰατρικῶς, μὴ δικαστικῶς. –Ὁ ἐλέγχῳ τῷ διὰ λόγου μὴ ει κων, θυμῷ τοῦ Θεοῦ ἐλεγχθήσεται, καὶ μὴ ὑπὸ ζυγὸν παιδεύοντος ἐν Θεῷ δι δασκάλου γινόμενος, ὀργῇ Θεοῦ παιδευθήσε ται· παιδεία δὲ ἐλέγχου ἐπιπονώτερος. 37.3 Οτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Οἱ λόγοι τοῦ Κυρίου βέλη εἰσίν· αὐτὸς γοῦν ὁ σωτήρ φησιν· Εθηκέ με ὡς βέλος ἐκ λεκτὸν, καὶ τῇ φαρέτρᾳ αὐτοῦ ε κρυψέ με. Ὁ λέγων ου ν τὸν λόγον τοῦ Κυρίου, βέλος ἀφίη σι. Καὶ ἐπὰν λέγῃ ἐπιστρεπτικὰ, τῷ βέλει τούτῳ τιτρώσκει τὸν συνετὸν ἀκροατήν. Ὁ ου ν δυνάμενος ἐκ τοῦ τετρῶσθαι νενοηκέναι καὶ ἠλπικέναι, θαῤῥεῖ, ο τι οὐκ ε πεσε τὰ βέλη τοῦ Θεοῦ τὰ λογικὰ, οὐδ' ε ξω γέγονεν αὐτοῦ· ἀλλὰ καθίκετο αὐτοῦ, ὡς λέγεσθαι· Ἑώρακας ὡς κατενύγη ὁ δεῖνα! Λέγοι δ' α ν τῷ τύπτοντι διδασκάλῳ η παιδαγωγῷ ὁ τυπ τόμενος, ο τε οὐ παρέργως τύπτεται· Ἐπε στήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Ου τω δ' α ν λέγοι καὶ τῷ Κυρίῳ πέμψαντι βέλη, δι' ω ν τινων πέμπει τὰ λογικὰ, ο τι ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Τῆς γὰρ χειρὸς Κυ ρίου ἐπικειμένης τῷ ἀφιέντι τὰ λογικὰ βέλη, τιτρώσκει τε καὶ ἐμπήγνυται βέλη εἰς τὴν ψυχὴν τοῦ ἀκούοντος. Δηλοῖ δέ ποτε καὶ τὰς κολάσεις τὰ βέλη, καί ποτε δὲ καὶ τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου φησὶ, τὰ πρὸς ἐπιθυμίαν κινήσαντα αὐτὸν τῆς τοῦ Οὐρίου γυναικὸς, ὡς ἐπαχθέντα κατὰ τοῦ Θεοῦ συγχώρησιν. Καὶ οἱ Θεοῦ λόγοι, οἱ περὶ τῆς μελλούσης κρίσεως, βελῶν ὀξύτε ροί εἰσιν, τὴν συνείδησιν πλήττοντες· ὑφ' ω ν νυττόμενος ὁ προφήτης, ἀξιοῖ τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέλλου σαν ἐκφεύγειν δίκην, δεδοικέναι εἰπὼν, διὰ τῶν λόγων καὶ τῶν πυκνῶν συμφορῶν, α ς ἐκάλεσε χεῖρας. 37.4 Οὐκ ε στιν ι ασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου. Διὰ τοῦτο μὴ αὐτῆς τῆς ὀργῆς σου ἐάσῃς με πεῖραν λαβεῖν, ἐπειδήπερ μόνον φανταζό μενος αὐτὴν, καὶ νυνὶ ὁρῶν τὸ πρόσωπον, ἐκ τῶν σῶν θείων λόγων καὶ γραφῶν, πάσχω τὸ σῶμα, καὶ ταράσσομαι τὴν σάρκα καὶ τὰ ὀστᾶ, καὶ παρακαλῶ μὴ ἀπ' αὐτῆς τῆς ὀργῆς παθεῖν. Ορα γὰρ, εἰ μὴ ταῦτα σαφῶς λέγε ται, ἐδύνατο εἰπεῖν ἀπὸ τῆς ὀργῆς σου, καὶ μὴ ἀπὸ προσώπου τῆς ὀργῆς. ᾿Αλλ' οὐκ ε λε γεν· ᾿Απὸ τῆς ὀργῆς σου παιδεύσῃς με, ἐπεὶ ο περ α ν ἐποίησεν αὐτὴ ἡ ὀργή σου ἐλθοῦσα ἐπ' ἐμὲ παιδεύουσα, τοῦτο ἐλπίζω ποιεῖν μόνην τὴν φαντασίαν τοῦ προσώπου τῆς ὀρ γῆς. Καὶ εἰς πρόσωπον γὰρ ὀργῆς ἡ περὶ αὐτῆς φαντασία, η τις ε δρασεν α περ α ν, εἰ παρῆν, ἡ ὀργή. Η ἀπὸ προσώπου ὀργῆς, η τοι τῶν παριστάσεων οὐκ ἀπὸ ὀργῆς ὁ λό γος, ἀλλ' ἀπὸ προσώπου αὐτῆς ἐρχόμενος. – Τό· οὐκ ε στιν ι ασις τῇ σαρκί μου, τοιαῦτά φησιν ὁ ἀπόστολος ἐπὶ τοῦ ἡμαρτηκότος ἐν Κορίνθῳ παραδοῦναι τὸν τοιοῦτον τῷ Σα τανᾷ εἰς ο λεθρον τῆς σαρκὸς, ι να τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου, ὡς οὐ δυναμέ νου τοῦ πνεύματος σωθῆναι, ἐὰν μὴ παρα δοθῇ ἡ σὰρξ εἰς ο λεθρον. Τίς ου ν ὁ ο λεθρος τῆς σαρκὸς ἀκούει η τὸ ὀλεθρευόμενον ἀ ποθνήσκειν; ζῇ δὲ ἡ σὰρξ τοῦ ἁμαρτωλοῦ, ἀπέθανεν ἡ σὰρξ τοῦ δικαίου· διὸ ὁ δίκαιος λέγει· Πάντοτε τὴν νέκρωσιν τοῦ ᾿Ιησοῦ ἐν τῷ σώματι περιφέροντες. Τὸ ου ν παραδίδοσ θαι εἰς ο λεθρον τὴν σάρκα, τοιοῦτόν ἐστιν· ἀποθνήσκει τὸ φρόνημα τῆς σαρκὸς, τὸ πνεῦ μα σώζεται. Εἰ νενόηται τὸ ἀποστολικὸν, ἐλθὲ ἐπὶ τὸ προκείμενον· εἰ ε ρχεται ὁ ο λε θρος, ι να τὸ πνεῦμα σωθῇ, ἡ σὰρξ ἀσθενεῖ· καὶ ο σον ἀσθενεῖ καὶ ὁδεύει ἡ ἀσθένεια ἐπὶ τὸν θάνατον τῆς σαρκὸς, οὐκ ε στιν ι ασις ἐν τῇ σαρκί. Εἰ μέντοιγε νοσεῖ μὲν ἡ σὰρξ, καὶ ἐπανέρχεται ἐπὶ τὴν ὑγίειαν η τὴν κακίαν, γίνεται τὸ ο τι ε στιν ι ασις ἐν τῇ σαρκί μου, ο περ οὐκ ε στιν ἀγαθόν. Ου τος ου ν ει περ πα ραιτεῖται τὸν τῷ θυμῷ τοῦ Θεοῦ ἐσόμενον ε λεγχον, καὶ τὴν τῇ ὀργῇ αὐτοῦ ἐρχομένην παίδευσιν, καὶ παραιτεῖται εὐλόγως, λέγων τὸ ο τι τὰ βέλη σου ἐνεπάγησάν μοι. Οὐκ ε στιν ι ασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, δηλονότι αι τιον η ν αὐτῷ τοῦ μὴ παθεῖν ἀπὸ ὀργῆς καὶ θυμοῦ Θεοῦ, καὶ τοῦ μὴ ει ναι ι ασιν ἐν τῇ σαρκὶ αὐτοῦ. –Οὐκ ε στιν εἰρήνη τοῖς ὀστέοις μου, ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. ᾿Αντὶ τοῦ ἀπὸ τοῦ προ σώπου τῶν ἁμαρτιῶν μου, Σύμμαχος ε φη· Διὰ τὰς ἁμαρτίας μου. –Λεγέτω ὁ ἡμαρ τηκὼς, καὶ μετὰ ταῦτα βλέπων αὐτοῦ τὴν ἁμαρτίαν διαπαντὸς, ὡς καὶ ὁ Δαυὶδ λέγει ἐν τῷ ν´ ψαλμῷ· Καὶ ἡ ἁμαρτία μου ἐναν τίον μού ἐστι διαπαντός. Τοῦτο δὲ γίγνεται ἐπάν τις ἁμαρτήσας δάκνηται ἐπὶ τῇ ἁμαρ τίᾳ· ὁ τοιοῦτος φαίη α ν καὶ τό· Οὐκ ε στιν εἰρήνη τοῖς ὀστέοις μου. Σαλεύεται γὰρ καὶ τετάρακταί μοι τὰ ὀστᾶ ἀπὸ προσώπου μου. Εστιν δὲ πρόσωπον ἁμαρτιῶν ἡ ἐπιφάνεια τῶν ἁμαρτιῶν· οι ον ἐὰν ἐκνοηθῶ οι α κακὰ πεποίηκα, καὶ ἐν οι ς γέγονα παραπτώμασιν, καὶ βαροῦμαι θλιβόμενος ἀπὸ τοῦ ταῦτα ἐν νοεῖν· Οὐκ ε στιν εἰρήνη τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῆς ἁμαρτίας μου. 37.5 Οτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθη σαν ἐπ' ἐμέ. Οἱ γὰρ μὴ βαρυνόμενοι ἐπὶ ταῖς ἰδίαις ἁμαρτίαις, μηδ' ἀλγοῦντες, οὐ λέγουσιν τὰ προκείμενα. Πάλιν οἱ μὴ αἰσθανόμενοι τῆς ἁμαρτίας ο τι ἀναβέβηκεν ὑπεράνω τῆς κε φαλῆς αὐτῶν, ἀλλ' ἀναισθητοῦντες ἐπικει μένης αὐτῆς, οὐ λέγουσιν, ο τι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορ τίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Εἰ δέ τις νομίζει πάντα τὸν ἁμαρτωλὸν δύνασθαι λέ γειν, κατανοησάτω τίνες ἡδόμενοι ἐπὶ τοῖς ἰδίοις ἁμαρτήμασιν· οὐ γὰρ ἐβαρύνθη τὰ ἁμαρτήματα αὐτῶν ἐπ' αὐτοὺς, α τε ἡδέως βαστάζοντας· ἀλλ' ἀνθρώπου ἀλγοῦντός ἐστι καὶ λυπουμένου ἐπὶ τοῖς ἰδίοις ἁμαρτήμασι λέγειν· ῾Ωσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Ου τω δὲ διηγήσῃ τὸ ἀνάλογον τοῖς ἀποδεδομένοις, καὶ τό· 37.6 Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλω πές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μου. Οὐκ ε στιν εἰπεῖν ταῦτα τοὺς μὴ τῶν ἰδίων ἁμαρτημάτων αἰσθανομένους· τινὲς γοῦν καὶ ἐκκαυχῶνται καὶ η δονται τοῖς αὑ τῶν πλημμελήμασιν, ὡς ἡδέως ταῦτα βασ τάζοντες. Καὶ ὡς ε στιν ἀπὸ ποδῶν ε ν τισι κατὰ τὸν ῾Ησαΐαν, ου τω καὶ ὑπεραίρονταί τι νων αἱ ἀνομίαι. Κεφαλὴν δὲ λέγει τὸ ἡγε μονικόν. Φύσει δὲ τῆς κακίας κατωφεροῦς τε ου σης καὶ βαρυτάτης, μόνος ὁ μετανοῶν τοῦ βάρους αὐτῆς ἐπαισθάνεται. Οθεν ὁ Θεὸς τοὺς πεφορτισμένους καὶ κοπιῶντας διὰ μετανοίας η κειν πρὸς αὐτὸν κελεύει. Πάλιν ἐκεῖνος αἰσθάνεται τῆς δυσωδίας τῶν ἰδίων ἁμαρτημάτων, ὁ τὴν χοιρώδη ζωὴν ἀποθέμενος, καὶ θείαν αι σθησιν ἐκ τοῦ λό γου λαβὼν τοῦ Θεοῦ. Περὶ γὰρ τῶν τοιού των ἐῤῥήθη τό· Μὴ βάλε τοὺς μαργαρίτας ε μπροσθεν τῶν χοίρων. –Χοίρους δ' ἐκεῖ ὀνομάζει τοὺς ταῖς δυσωδίαις τῶν ἁμαρτη μάτων χαίροντας. ᾿Εὰν δέ που ἀπόθηται ὁ ἁμαρτωλὸς, ι ν' ου τως οὐ νομίζων τὴν χοί ρων αι σθησιν, ἀναλαμβάνῃ ἐκ τοῦ λόγου τοῦ Θεοῦ αι σθησιν, ὡς αἰσθάνεσθαι τῆς δυσ ωδίας τῶν ἰδίων ἁμαρτημάτων, θέλει ου ν παραστῆναι τὸν μετανοοῦντα λέγοντα· α πε ποίηκε δι' ἀφροσύνην, ταῦτά μοι ἐσάπη· οὐ κέτι γὰρ αὐτὰ ἀνακαινίζω, πάντα μοι ο ζει. –Βαρύτατα τῆς συνειδήσεως εἰς ἀπόγνω σιν ω θησεν μετ' ἐπιτάσεως· διό φησιν· Δεῦτε, πάντες οἱ κοπιῶντες καὶ πεφορτισ μένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. 37.7 ᾿Εταλαιπώρησα, καὶ κατεκάμφθην ε ως τέλους, ο λην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Τάχα τοιοῦτόν τι ἰδὼν ὁ ἀπόστολος μετὰ τὸ ἡμαρτηκέναι λέγει· Ταλαίπωρος ἐγὼ α ν θρωπος τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; Ημαρτε γὰρ, ο τε ἐδίωκε τὴν ἐκκλησίαν τοῦ Θεοῦ. ᾿Εταλαιπώρησα ου ν, καὶ οὐχὶ ε τι ταλαιπωρῶ, ὡς μηκέτι ω ν ἐν ταῖς ἁμαρτίαις· εἰ δ' ε τι εἰμὶ ἐν ταῖς ἁμαρτίαις, ε τι ταλαιπωρῶ. ᾿Εὰν δὲ ι δῃς τὸν ἡμαρτηκότα μὴ δυνάμενον ἀναβλέψαι εἰς οὐρανὸν, μηδὲ ε χοντα παῤῥησίαν ευ ξασθαι τῷ Θεῷ, ἀλλὰ συγκύπτοντα τὸ πρόσωπον ἐπὶ τὴν γῆν, οὐ μόνον τοῦ σώματος, ἀλλὰ καὶ τὸ τῆς ψυχῆς, καὶ ὡς κρίκον τὸν τρά χηλον αὑτοῦ ποιοῦντα, ο ψει τινὰ τρόπον λέγει, κατακαμφθῆναι ε ως τέλους. Εἰ δὲ θέλεις παράδειγμα τοῦ κατακεκαμμένου διὰ τὰς ἰδίας ἁμαρτίας, καὶ τὴν ἐξομολόγησιν τὴν περὶ τὴν ἁμαρτίαν, ι δε μοι τὸν τελώνην, τὸν ἐν τῷ Εὐαγγελίῳ, ὡς ἀπὸ μακρὰν στα θεὶς, οὐκ ε θελεν τοὺς ὀφθαλμοὺς ἐπᾶραι εἰς οὐρανὸν, καὶ τύπτων ἑαυτοῦ τὸ στῆθος, ε λε γεν· ῾Ιλάσθητί μοι τῷ ἁμαρτωλῷ. ᾿Εκείνῳ γὰρ πρέπει εἰπεῖν· Κατεκάμφθην ε ως τέ λους, ο λην τὴν ἡμέραν σκυθρωπάζων ἐπο ρευόμην. –Μήποτε δὲ ου τως ἀναγνωστέον, τουτέστι διὰ βίου κατεκάμφθην, τὰ κάτω φρονῶν καὶ ἐπὶ γῆν βλέπων· τούτου χάριν ἐταλαιπώρησα, ἐλεεινὸς ἐκ τούτου γενόμε νος. Τοῦτο δὲ ὡς α φρων ει πεν ὑπομεμενη κέναι· ἀφροσύνης γὰρ ἡ κακία, καθὼς φρο νήσεως ἡ ἀρετή. Ολην τὴν ἡμέραν σκυθρω πάζων ἐπορευόμην· ἐξ ου η μαρτον, φησὶ, σκυθρωπὸς ἀεὶ η μην. Τοιοῦτόν ἐστι καὶ τὸ ἐν τῷ Εὐαγγελίῳ· Μακάριοι οἱ κλαίοντες. Εἰ νενόηκας τὸν ἐπὶ ταῖς ἁμαρτίαις πεν θοῦντα καὶ κλαίοντα, ει δες τοῦτον μακα ριστόν. Εἰ δὲ τοὐναντίον θεάσῃ τοῦτον γε λῶντα καὶ ἱλαρευόμενον, καὶ μὴ κατανυσ σόμενον ἐπὶ τοῖς ἰδίοις ἁμαρτήμασιν, ι δε εἰ μὴ τούτῳ ἁρμόζει· Οὐαὶ, οἱ γελῶντες νῦν. –᾿Εντεῦθεν τὴν φύσιν τῆς ἁμαρτίας γινώσ κομεν, ὁποία τίς ἐστιν· πλὴν ο τι ἀπὸ ἀφρο σύνης ἡμῖν ἐπισυμβαίνουσιν αἱ ἁμαρτίαι. 37.8 Οτι ἡ ψυχή μου ἐπλήσθη ἐμπαιγ μῶν, καὶ οὐκ ε στιν ι ασις ἐν τῇ σαρκί μου. ᾿Εμπαιζόντων, η τοι τῶν λογισμῶν, η τῶν πονηρῶν πνευμάτων· διὸ καὶ ἐσκυθρώπα ζον, πάσης ἱλαρίας ἀφῃρημένος. ᾿Επειδὴ δὲ φέρονται αἱ μὲν γραφαί· αἱ ψόαι μου, αἱ δέ· λαγόνες μου ἐπλήσθησαν ἐμπαιγ μάτων, ῥητέον ὡς ἐπείπερ περὶ τὰς ψόας καὶ τὰς λαγόνας συνίσταται τὰ σπέρματα, καὶ ἐμπαιγμῶν ἐμπίμπλαται ταῦτα, ἡνίκα πορνικῶς, ἀλλ' οὐκ ἐπὶ παιδοποιΐας κινεῖται· διὰ τοῦτο γάρ φησι, μηδὲ ι ασιν ει ναι ἐν τῇ σαρκί μου, διὰ τὸ ἡττᾶσθαι παρὰ τῶν ἐμ παιγμάτων τὴν ψυχήν· πάνυ γὰρ ἡ σὰρξ ἀσθενεῖ ῥέουσα, καὶ μὴ φρονοῦσα. Οθεν καὶ ὁ πορνεύων εἰς τὸ ι διον σῶμα ἁμαρτάνει. –Τούτῳ παραπλήσιόν ἐστι τὸ ἐν τῷ ᾿Ιὼβ λεγόμενον περὶ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δράκοντος· Ἰδοὺ δὴ, ἡ ἰσχὺς αὐτοῦ ἐν ὀσφύϊ, ἡ δὲ δύναμις αὐτοῦ ἐπ' ὀμφάλου γαστρός. Ἡ γὰρ ἰσχὺς τοῦ δια βόλου ἐξαιρέτως περὶ τὴν ὀσφὺν τοῦ ἀνθρώ που ἐστὶν, ο που τὸ πορνεύειν ἐστὶν καὶ ἀ σελγαίνειν. Καὶ οὐκέτι ἐστὶν ι ασις ἐν τῇ σαρκί μου. Προκοπὴ ἐπὶ τὸν θάνατον τῆς σαρκὸς καὶ ἐπὶ τὸν ο λεθρον αὐτῆς, τὸ η δη δεύτερον λέγεσθαι. 37.9 Ἐκακώθην, καὶ ἐταπεινώθην ε ως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρ δίας μου. Αἱ ἑορταὶ τοῦ Θεοῦ α ρτον κακώσεως λέ γουσι δεῖν ἐσθίειν· καίπερ ἑορταὶ λεγόμεναι, αὐταὶ ταπεινοῦσιν τὰς ψυχὰς ἡμῶν. Τῇ γοῦν δεκάτῃ τῶν ἱλασμῶν, ταπεινώσετε, φησὶ, τὰς ψυχὰς ὑμῶν. Ἐπεὶ ου ν ὁ μετανοῶν ἐφ' οι ς η μαρτεν, ἑαυτὸν κακοῖ καὶ ταπεινοῖ, ὡς ἐκεῖνος ὁ τελώνης, ὁ θαῤῥῶν ἐπὶ τῷ ἑαυτὸν κεκακωκέναι καὶ τεταπεινωκέναι, μετανοῶν φησιν· Ἐκακώθην καὶ ἐταπεινώθην ε ως σφόδρα κτλ. 37.11 Ἡ καρδία μου ἐταράχθη, ἐγκατέ λιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφ θαλμῶν μου οὐκ ε στι μετ' ἐμοῦ. Ημην, φησὶ, ποτὲ ἰσχυρὸς καὶ πολιτευό μενος καλῶς, υ στερον δὲ πέπτωκα, ταραχ θείσης μου τῆς διανοίας, καὶ καταλιπούσης με τῆς ἰσχύος· καὶ τὸ φῶς δὲ τῶν ὀφθαλ μῶν μου, ο περ ει χον, μετὰ τὸ γνῶναί με τὴν ἀλήθειαν, οὐκ ε στιν μετ' ἐμοῦ. Πάλιν εἰς τὸ σκότος ἐνήμεθα, εἰς παραπτώματα πεπτω κότες. –Ει τα διηγεῖται ἀπ' ἀρχῆς ἐκ τοῦ σχολάζειν τῇ μετανοίᾳ, δι' α γαν τὴν εὐγνω μοσύνην καὶ τὴν τῆς ἁμαρτίας ἐξομολόγη σιν. –Ἡ καρδία μου ἐταράχθη· τὸ δια λογιστικὸν καρδίαν φησὶ, καὶ ἐταράχθη, ο τι Κύριος προσέταξεν αὐτὸν καταταράσσεσθαι Δαυίδ. –Τὸ φῶς τῶν ὀφθαλμῶν, ἡ θεωρία, η τις ἐν καιρῷ πειρασμοῦ διαφεύγει τὸν νοῦν. 37.12 Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου η γγισαν καὶ ε στησαν, καὶ οἱ ε γγιστά μου μακρόθεν ε στησαν. Καταφρονήσας γὰρ τῆς παρ' ἀνθρώποις αἰσχύνης, καὶ καταγνωσθεὶς ὑπὸ τῶν ἀκου όντων τῆς ἐξομολογήσεως, τρόπον τινὰ η κουον αὐτῶν λεγόντων· Πόῤῥω ἀπ' ἐμοῦ, μὴ ἐγγίσῃς μοι, ο τι καθαρός εἰμι. Βδελυσ σόμενοι γὰρ ο ν χθὲς ἐθαύμαζον, ἐμάκρυνον ἑαυτοὺς, ταῦτα μονονουχὶ λέγοντες. Ἀλλὰ τούτου μὴ φροντιζέτω ὁ θέλων μετὰ τὸ ἁμαρτῆσαι σωθῆναι, τοῦ καταγινώσκοντος ἀγνωμόνως, τοῦ μὴ λογιζομένου τὰ ἑαυτοῦ, μηδὲ ἀνεγνωκότος· Μὴ ὀνείδιζε α νθρωπον ἐπιστρέφοντα ἀπὸ ἁμαρτίας· μνήσθητι ο τι πάντες ἐσμὲν ἐν ἐπιτιμίοις. 37.13 Καὶ ἐξεβιάσαντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι, ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ο λην τὴν ἡμέραν ἐμελέτησαν. Πολλάκις γὰρ καὶ ἐπιβαίνουσι τοῖς τοιού τοις, καὶ ζητοῦσι κακὰ τῷ δικαίῳ, οὐχ ου τω χαίροντες ἐν τῷ ἀκούειν τὰ κρείττω περὶ αὐτοῦ, ὡς ο ταν ἀκούσωσιν τὰ χείρονα περὶ αὐτοῦ. Καὶ λαλοῦσιν ματαιότητας, κατα γελῶντες ἐκείνου, τοῦ ἑαυτὸν καταγορήσαν τος· οὐ γὰρ ἐξητασμένα λαλεῖ ὁ ζητῶν τινι κακὰ, ἀλλ' ὁ ζητῶν παντὶ ἀγαθά. 37.14 Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ η κουον, καὶ ὡσεὶ α λαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. Λοιδορούμενος η καὶ ἐπὶ τῇ ἐξομολογήσει κακολογούμενος, διαβαλλόμενος μυρία ο σα ἀκούων, προσεποιησάμην τὸν μὴ ἀκούοντα, καὶ ε χων τι ἀποκρίνασθαι πρὸς αὐτοὺς καὶ ἐλέγξαι, οὐκ ἐλέγχω, ἐπεὶ ὁρῶ ο τι ε λεγχος δεῖται ἀπαθείας· ἀπὸ γὰρ θυμοῦ καὶ ὀργῆς ἐλέγχω, καὶ λυπῆσαι βουλόμενος, οὐ θερα πεῦσαι· διὸ ἐγενόμην τούτοις ὡσεὶ κωφός. 37.15 Καὶ ἐγενόμην ὡσεὶ α νθρωπος οὐκ ἀκούων, καὶ οὐκ ε χων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Ἐπὶ τούτοις οὐδὲν ει χον λέγειν, αἰσχύνης πεπληρωμένος· οὐδεὶς γὰρ λόγος μοι πρὸς ἀπολογίαν, οὐδὲ ει χόν τινα τοῖς ἐχθροῖς προσφθέγγεσθαι, α παξ ὑπ' αὐτῶν νενικη μένος. Η ἐγενόμην πρὸς κακοδόξους ὡς οὐκ ἀκούων, οὐδ' ε χων ἐν τῷ στόματί μου ἐλέγ χους. Κίνδυνον γὰρ φέρει πολλάκις τὸ δυσ φήμων λόγων ἀκούειν, καὶ τὸ διαλέγεσθαι περὶ προβλημάτων ὑποκειμένων κολάσει. Η τοῦτό φησιν, ο τι σὺ εἰσακούεις, Κύριε, κα ν ἐγὼ κωφεύω πρὸς τὰς κατ' ἐμοῦ δυσφη μίας. –Διὰ τί δὲ γενόμην τοιοῦτος; 37.16 Οτι ἐπὶ σὲ, η λπισα, Κύριε, σὺ εἰσακούσῃ, Κύριε, ὁ Θεός μου. Τῶν τοσούτων, φησὶ, κακῶν μίαν ε χω σω τηρίας ἐλπίδα, τὴν ἐκ σοῦ γενομένην ἐπι κουρίαν. Η



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦτό φησι· εἰ γὰρ μὴ η λπισα ἐπὶ σὲ, ἐμαυτὸν α ν ἠμυνάμην. Νυνὶ δὲ γι νώσκω τό· Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγα πητοί· ἀλλὰ δότε τόπον τῇ ὀργῇ. Καὶ τό· Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. Ἐγενόμην ὡσεὶ α νθρωπος ἀβοήθητος, καὶ οὐκ ε χων ἐν στόματι αὐτοῦ ἐλέγ χους. Σὺ εἰσακούσῃ Κύριε, ὁ Θεός μου, εἰ καὶ ἐγὼ ὡσεὶ κωφὸς, οὐκ η κουον τῶν κατ' ἐμοῦ δυσφημιῶν, σὺ α κουσον τῶν λεγο μένων. 37.17 Οτι ει πα· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησαν. Οὐκ ε χουσι γὰρ τί ει πωσιν. Ἐπιχαρήσον ται δὲ, εἰ μὴ τύχοιμι τοῦ σου ἐλέους. Ἀλλ' ι να μὴ ἐπιχαρῶσιν οἱ ἐχθροί μου, οἱ η δη καὶ πρότερον ἐν τῷ μόνον σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ μεγαλοῤῥημονήσαντες. Μέγα γὰρ ε δωκεν αὐτοῖς κατ' ἐμοῦ φρονεῖν ἡ ἁμαρτία, σαλεύσασά μου τοὺς πόδας. Ἐγὼ δὲ ἐπὶ σὲ κατέφυγον. Μόνον δὲ οὐ λέγω· Ἐὰν πέσω, ἀλλ' ἐὰν σαλευθῶσιν οἱ πόδες μου, μεγαλοῤῥημονοῦσιν, καὶ λέγουσιν, ο τι ὁρᾷς τὸν δεῖνα; καὶ αὐτὸς τόδε πεποίηκεν, καὶ λέγων τάδε, τὰ ἐναντία τάδε ἐποίει. – Λέγει ου ν ου τως· καὶ ἐν τῷ σαλευθῆναι πό δας μου, ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησαν· α λ λως δὲ μετὰ τοῦτο κρείττων ω ν, ο σον ἐπὶ τῇ προσωποποιΐᾳ τῇ πρὸς ἐκεῖνον συγκρινομένη, φησίν· Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες. Οὐκοῦν ου τοι μὲν ἐσαλεύθησαν οἱ πόδες, ου τοι δὲ μικρὸν ἐσαλεύθησαν· μακά ριον δὲ ἡμᾶς γενέσθαι μὴ σαλευομένους τοὺς πόδας, ἀλλ' ἑστηκότας ἐπὶ τὴν πέτραν τὸν Χριστόν. 37.18 Οτι ἐγὼ εἰς μάστιγας ε τοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου διαπαντός. Πρὸς δὲ τὰς ἐξ αἰσθήσεως μάστιγας εὐ τρεπὴς ει ναί φησιν· η λεγει γὰρ ἐφ' οι ς η μαρ τε μαστιζόμενος. 37.19,20 Οτι τὴν ἀνομίαν μου ἀναγγε λῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμὲ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως. Διδάσκει βάθη ἀνθρώπου πιστοῦ. Πολλά κις γὰρ ἡμεῖς, οἱ ε τι ἁμαρτωλοὶ, ἐὰν ι δωμεν ἐχθρὸν ἡμῶν ζῶντα καὶ εὐθηνοῦντα, σκυ θρωπάζομεν, καὶ κινδυνεύομεν κατ' αὐτῆς προνοίας λέγειν. Ἀλλ' ὁ θέλων σώζεσθαι, οὐ τοιοῦτος· φησὶ γάρ· Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμὲ, καὶ οὐδὲν η ττον μεριμνῶ περὶ τῆς ἁμαρτίας μου. Καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως. Ἀδύ νατόν ἐστιν ἐν βίῳ ο ντα μὴ μισηθῆναι. Ἰη σοῦς Χριστὸς μεμίσηται. Γένοιτο δέ με μι σούμενον συνειδέναι ο τι οὐ δικαίως, ἀλλ' ἀδίκως. 37.21 Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν. Ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον δικαιοσύνην, [καὶ ἀπέῤῥιψάν με τὸν ἀγα πητὸν, ὡσεὶ νεκρὸν ἐβδελυγμένον.] Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν. Ἐγὼ μὲν εὐηργέτουν, ἐκεῖνοι δὲ ἐπιλαθόμε νοι τῶν ω ν εἰς αὐτοὺς ἐποίουν, κακά μοι ἀνταπεδίδοσαν, ἐνδιέβαλλόν με, ἐπεὶ κατε δίωκον ἀγαθωσύνην. Εἰ γὰρ καὶ η μαρτόν τι, ἀλλ' ἀεὶ ἐδίωκον τὴν ἀγαθωσύνην, καὶ ἀ πέῤῥιψάν με τὸν ἀγαπητὸν, ὡς νεκρὸν ἐβδε λυγμένον. 37.22,23 Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου. Ἐν α λλῳ δὲ ψαλμῷ φησι· Καὶ τὸ πνεῦμα τὸ α γιόν σου μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἐν ταῦθα δὲ πρὸς αὐτὸν Θεόν· Μὴ ἀποστῇς ἀπ' ἐμοῦ, κτλ. –Εἰ κἀκεῖνοι ἀπέῤῥιψάν με, ὡς νεκρὸν ἐβδελυγμένον, ἀλλὰ σὺ σκέπε με ὑπὸ τὴν κραταιάν σου χεῖρα. Σοῦ γὰρ παρόντος, ἀνίσχυροι καὶ ἀσθενεῖς οἱ ἐχθροί. Πρόσχες εἰς τὴν βοήθειάν μου, ἐπεὶ ἐχθρῶν περιεστηκότων, ἀνθρώπων τε πονηρῶν καὶ ἀοράτων δυνάμεων, βοηθείας δέομαι. Οὐκ α λλοθεν δὲ βοήθειαν ἀπαιτῶ η παρὰ σοῦ, Κύριε· σὺ γὰρ καὶ Θεὸς τῆς σωτηρίας μου τυγχάνεις· σωτηρίας δὲ Θεὸς ὁ ταύτης αι τιος. –Καλὸν προοίμιον προσευχῆς, τό· Μὴ ἐγκαταλίπῃς με, ὁ Θεός μου. Εχεις γὰρ ἐν αὐτῷ τὴν ἁγίαν Τριάδα. 38.1 Εἰς τὸ τέλος τῷ Ἰδιθοὺν ᾠδὴ τῷ Δαυίδ. Εἰς τὸ τέλος δὲ κατὰ τοὺς Οʹ ἐπιγράφε ται· κατὰ δὲ τὰς α λλας ἑρμηνείας, ἐπινίκιος, καὶ εἰς τὸ νῖκος, καὶ τῷ νικοποιῷ. 38.2-4 Ει πα· Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου· Ἐθέμην τῷ στόματί μου φυλακὴν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου. –



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

᾿Εκωφώθην καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ α λγημά μου ἀνεκαινίσθη. –᾿Εθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ· ἐλάλησα ἐν γλώσσῃ μου. ᾿Εκ τῶν λόγων τοῦ συστάντος κατεναν τίον μου ἁμαρτωλοῦ, ἐθερμάνθη διαπυρω θεῖσα ἡ καρδία μου, καὶ ἡ τοιαύτη θέρμανσις ἐντός μου ἐφυλάχθη. –῾Ο τέλειος, ὡς η δη εὐεξίαν καὶ μακαριότητα ἀναλαβὼν, οὐ κι νεῖται παντελῶς ὑπὸ τῶν λοιδορούντων αὐ τόν· ὁ δὲ προκόπτων, ἀλγεῖ μὲν καὶ τὴν καρδίαν ε χει θερμαινομένην ἐν ἑαυτῷ, βράσ σουσαν καὶ ταρασσομένην, ἀλλ' οὐ μέχρι τοῦ ἐλθεῖν ἀπὸ τῆς καρδίας λόγον ἐπὶ στόμα. – Καὶ μελετῶν, φησὶ, τὰ θεῖα λόγια, ἐκαιόμην· ὡς οἱ περὶ Κλεόπαν λέγοντες· Οὐχὶ ἡ καρ δία ἡμῶν καιομένη η ν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; Τοιοῦτοι η σαν καὶ οἱ λόγοι ῾Ιερε μίου, διὸ γέγραπται εἰρηκέναι τὸν Θεὸν πρὸς αὐτόν· ᾿Ιδοὺ, δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ. Τοιαῦται η σαν αἱ καθε ζόμεναι γλῶτται ἐπὶ τοὺς ἀποστόλους, τοὺς μέλλοντας τὸν λόγον τοῦ εὐαγγελίου κηρύσ σειν. Ωφθησαν γὰρ αὐτοῖς ὡς πῦρ, ι ν' ὁ λό γος αὐτῶν ῃ καυστικὸς, καὶ ἀνάπτῃ τὰς ψυ χὰς τῶν ἀκροωμένων. 38.5,6 Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου, καὶ τὸν α ριθμον τῶν ἡμερῶν μου τίς ἐστιν, ι να γνῶ τί ὑστερῶ ἐγώ. ᾿Ιδοὺ, πα λαιὰς ε θου τὰς ἡμέρας μου, καὶ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου· πλὴν τὰ σύμ παντα ματαιότης, πᾶς α νθρωπος ζῶν. Παλαισταὶ αἱ ἐν τῷ βίῳ ἡμέραι, ἀντὶ τοῦ βραχεῖαι καὶ ἐλάχισταί εἰσιν, οὐ πήχεσι με τρούμεναι. Καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου, ει τα ἑξῆς, ὡς α ν διηγούμενος τὸ εἰρημένον, ἐπιλέγει· Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς α νθρωπος ζῶν. Πάντα τὰ ἐν ἀνθρώποις μάταιά ἐστιν πρὸς τὸν μέλλοντα αἰῶνα, καὶ πρὸς τὰ ἡμῖν ὑποκείμενα, τοῖς ἀξίως βεβιωκόσι. 38.7 Μέντοι γε ἐν εἰκόνι διαπορεύεται α νθρωπος, πλὴν μάτην ταράσσονται. θησαυ ρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. Πᾶς α νθρωπος ζῶν ἐν εἰκόνι διαπορεύε ται, η τοι τοῦ Θεοῦ τηρῶν τὸ κατ' εἰκόνα, καὶ τὸ προκόπτειν εἰς τελειότητα, σύμμορ φος γινόμενος τῆς εἰκόνος τοῦ Θεοῦ. Η α λ λως, τινὸς ζωοῦ, ι ππος θηλομανὴς, η α λλο τι α λογος κατὰ τὸ η θος γινόμενος. –Καὶ φαινόμενος κόσμος εἰκών ἐστι τοῦ νοητοῦ καὶ ἀοράτου· ἐν τῷ μέλλοντι γὰρ ἡ ἀλήθεια. Αὐτεξουσίως ου ν διαπορεύεται ὁ α νθρωπος ἐν τούτῳ τῷ κόσμῳ, ο ς ἐστιν εἰκών. –᾿Επ άγει δὲ καὶ περὶ τῶν κατὰ μέρος ἀνθρώ πων, ὡς μάτην ταραττομένων· Θησαυρίζει κτλ. Τοῦτο λεκτέον πρὸς α παιδας πλουσίους πλεονεκτοῦντας, μηδένα τῶν πτωχῶν ἐλεοῦν τας. –Θησαυρίζων γάρ τις ἐπὶ τῆς γῆς, οὐκ οι δε τίς ε ξει τὸν ὑπὲρ ου τοσοῦτον ἐσ πούδασε πλοῦτον, τοῦ δὲ ἐν οὐρανοῖς θησαυ ρίζοντος, ἀναφαίρετον ε ξοντος τὸν ι διον πλοῦ τον. 38.11,12 ᾿Απόστησον ἀπ' ἐμοῦ τὰς μά στιγάς σου, ἀπὸ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον. –᾿Εν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας α νθρωπον, καὶ ἐξέτηξας ὡς ἀ ράχνην τὴν ψυχὴν αὐτοῦ· πλὴν μάτην τα ράσσεται πᾶς α νθρωπος. Διάψαλμα. Εστι δὲ καὶ ε τερον ει δος μαστίγων, περὶ ω ν φησι· Τίς δώσει ἐπὶ τοῦ διανοήματός μου μάστιγας, καὶ ἐπὶ τῶν χειλέων μου σφρα γῖδας πανούργων, ι να ἐπὶ τοῖς ἀγνοήμασί μου μὴ φείσωνται, καὶ αἱ ἁμαρτίαι μου μὴ ἀπολέσωσί με; Ευ χεται γὰρ ἐπὶ ταῖς ἁμαρ τίαις αὐτοῦ μαστιγωθῆναι τὴν καρδίαν. ᾿Εάν ποτε ι δῃς μετὰ τὸ ἡμαρτηκέναι, σεαυτὸν κολαζόμενον ε νδον ὑπὸ τῶν διαλογισμῶν σου, τῆς συνειδήσεώς σου καταγινωσκούσης σου καὶ κολαζούσης, μακάριζε σεαυτὸν συγκρί σει α λλων ἡμαρτηκότων, καὶ μὴ λυπουμέ νων ἐφ' οι ς η μαρτον. –Μακάριον γὰρ τὸ ἐφ' ἁμαρτίαις ὑπὸ συνειδήσεως νύττεσθαι. – ᾿Αξιοῖ ου ν ἀποστῆναι τὰς μάστιγας· ᾿Απόσ-τησον ἀπ' ἐμοῦ, φησὶ, τὰς μάστιγάς σου, τάς τε ε ξωθεν ἐπικειμένας διὰ τῶν πειρασμῶν, καὶ τὰς ε σωθεν. Μέτρον γὰρ ἐχέτωσαν καὶ αἱ μάστιγες τῆς διανοίας· ἐὰν γὰρ περισσότε ραι, ἀπολούμεθα. Τὸ γὰρ ὑπὲρ μέτρον λυ πεῖσθαι, διαφθορά. Διόπερ ὁ ἀπόστολος εὐ λαβούμενος τὴν πολλὴν μάστιγα τῆς δια νοίας τοῦ ἁμαρτάνοντος, φησί· Μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοιοῦτος ὑπὸ τοῦ Σατανᾶ. Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐ τοῦ. Ἡ ἁμαρτάνουσα δὲ ψυχὴ παχύνεται· τοι αύτη γὰρ ἡ φύσις τῆς ἁμαρτίας· διὸ γέγρα πται· Ἐπαχύνθη ἡ καρδία τοῦ λαοῦ τούτου. Ἡ ἀρετὴ δὲ λεπτύνει τὴν ψυχὴν, καὶ ἐκτήκει αὐτὴν, καὶ ι να βιασάμενος ὀνομάσω, πᾶν τὸ σωματικὸν αὐτῆς ἐξαφανίζει, καὶ καθαρῶς αὐτὴν παρίστησιν ἀσώματον. Οτι δὲ παχύ νεται καὶ σαρκοῦται ἡ ψυχὴ τοῦ ἁμαρτωλοῦ, δῆλον ἐκ τοῦ· Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ ει ναι αὐτοὺς σάρκας. Εργον ου ν ἐστι τῷ Θεῷ ἐκτῆξαι ψυχὴν, καὶ τὸ παχὺ ἀπο βαλεῖν τὸ περιγινόμενον αὐτῇ. Τοιαῦτά τινα εὑρήσεις μυστικῶς εἰρημένα ἐν τῷ Ἰεζεχιὴλ, ἡνίκα εἰς τὸν λέβητα βάλλονται τὰ κρέα καὶ ἑψῶνται, καὶ λέγεται· Ἐξεψήθη, ἐξετάκη τὰ κρέα, ἐξεψήθη ὁ ζωμός. Ταῦτα εἰς πα ράστασιν, ο τι λέβητες ἡμᾶς διαδέξονται καιό μενοι, καὶ βαλλόμεθα ἡμεῖς οἱ σαρκώσαντες ἡμῶν τὰς ψυχὰς, ι να ἐκτακῶμεν. – Η, μήποτε λανθάνῃ με καὶ τὸ παράδειγμα ἐκ τῆς ἀράχνης ληφθὲν, ἐν τῷ Ἡσαΐᾳ ει ρηται, ο τι ἱστὸν ἀράχνης ὑφαίνουσιν. Πόσα ευ σχισ τά ἐστιν καὶ λεπτοϋφῆ, ο σα υ φαναν οἱ πρὸ ἡμῶν οἱ πλοῦτον συναγαγόντες, οἱ ἀξιώματα λαβόντες· ἀλλ' ἐξετάκησαν, ὡς ἀράχναι, αἱ ψυχαὶ αὐτῶν· πλὴν μάτην πᾶς α νθρωπος, ὡς προείρεται, ταράσσεται περὶ τούτου. – Μάστιγας τοὺς πειρασμοὺς λέγει· ἐλέγχων με, φησὶν, ἐπὶ τῇ ἁμαρτίᾳ ἐπαίδευσας. Παι δεύων ἡμᾶς ὁ Κύριος, ὑπὲρ τῶν ἀνομιῶν ἡμᾶς παιδεύει, ὡς καὶ τὸν ἐν εὐαγγελίῳ πα ραλυτικόν. 38.13 Εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεώς μου· ἐνώτισαι τῶν δακρύων μου, μὴ παρασιωπήσῃς. Προτρεπτικὸν εἰς τὸ μετὰ δακρύων προσ εύχεσθαι. 38.14 Ανες μοι, ι να ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι μὴ ὑπάρξω. Οὐχ ὑπάρξω τοιοῦτος οι ος η ν· γενοίμην, γενοίμην, ἐκ τῆς πρὸς σοῦ μοι γενομένης ἀνέσεως! Ανεσις δὲ Θεοῦ ἐστιν ἀπάθεια ψυχῆς, μετὰ γνώσεως τῶν ο ντων ἀληθῶς. Ὡς γὰρ οὐχ ὑπαρχόντων τῶν ἁμαρτω λῶν, λέγεται· Εσονται ὡς οὐκ ο ντες. Καὶ τὰ μὴ ο ντα ἐκάλεσεν ὁ Θεός. Διὰ τοῦτο ὀπί σω τοῦ Κυρίου τοῦ Θεοῦ ἡμῶν πορευσώμεθα, καὶ αὐτῷ κολληθῶμεν, ι να γενώμεθα ὑπάρ χοντες ἐν αὐτῷ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 39.3 Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαι πωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος, καὶ ε στησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου. Οἱ πέρα τῆς λέξεως μηδὲν δηλοῦσθαι ἐν τῇ γραφῇ νομίζοντες, λεγέτωσαν πηλίκου ἀγαθοῦ τυχὼν ὁ ἐπὶ τῆς αἰσθητῆς πέτρας τοὺς πόδας τοῦ σώματος στὰς, εὐχαριστεῖ τῷ τοῦτο δωρησαμένῳ. Ἡμεῖς δέ φαμεν, ο τι ὁ τοῦ προειρημένου λάκκου καὶ πηλοῦ ἀ παλλαγεὶς, ἐπὶ τὴν ἀῤῥαγῆ καὶ ἀκλόνητον κατ' ἀρετὴν τελειότητα ἱδρυνθεὶς, ἀπαγγέλ λει τὰ προκείμενα· τῷ γὰρ ου τω στάντι ἐπὶ πέτραν, ἀκολουθεῖ καὶ τὸ κατευθύνεσθαι τὰ διαβήματα αὐτοῦ, διαβαίνοντος ἀπὸ κακίας εἰς ἀρετήν. Ἀλλὰ τίς ἡ πέτρα; παρὰ τοῦ Παύλου μάθωμεν, λέγοντος· Ἡ δὲ πέτρα η ν ὁ Χριστὸς, τὸ πάντων ε ρεισμα, ὁ ἐκλεκ τὸς λίθος, ὁ εἰς τὰ θεμέλια Σιὼν τεθειμένος παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἐφ' ᾧ πάντες οἰκοδομούμεθα, οι κος πνευματικὸς καὶ ναὸς α γιος εἰς κατοικητήριον Θεοῦ ἐν Πνεύματι. Οὐ μόνον ου ν ἡδράσθημεν ἐν τῇ πέτρᾳ τῆς εἰς Χριστὸν πίστεως, ἀλλὰ καὶ ἐδιδάχθημεν ὀρθὰς ποιεῖσθαι τροχιὰς ἀντὶ τῶν πάλαι διεστραμμένων ὁδῶν. Πρότερον δὲ τοὺς πό δας ἡμῶν ε στησεν ἐπὶ τῆς πέτρας, τουτέστι ἐπὶ τῆς πίστεως, ἀνασπάσας ἐκ τοῦ πηλοῦ, καὶ ἐπὶ καθαρωτάτην ψυχὴν βάσεις στηρίξας· καὶ τότε τὰ διαβήματα ἡμῶν, δηλαδὴ τῆς πράξεως, διὰ τῶν εὐαγγελικῶν παραγγελ μάτων κατηύθυνε, καὶ βαδίζειν εὐκόλως τῶν ἐντολῶν τὰς ὁδοὺς ἐποίησε, δείξας πῶς χρὴ τὴν ζωὴν ὁδεύειν, ω στε τὸ μὲν μὴ μοιχεύειν κατορθοῦν ἐν τῷ μηδ' ο λως ἐπιθυμεῖν, τὸ δὲ μὴ φονεύειν ἐν τῷ μηδὲ τὴν ἀρχὴν ὀργίζεσ θαι, τὸ δὲ μὴ ἁμαρτάνειν εἰς ο ρκους ἐν τῷ μὴ ὀμνύειν μὴ μικρὸν η μέγαν ο ρκον. Ἀντι διέσταλται δὲ ἡ πέτρα τῷ τῆς ἰλύος πηλῷ, τὸν εὐπαγῆ δηλοῦσα τοῦ στεῤῥοῦ λόγου θε μέλιον. 39.4 Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆ σμα καινὸν, υ μνον τῷ Θεῷ ἡμῶν. Υμνος ἐστὶν ε κπληξις μετὰ δοξολογίας ἐπὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῇ θεωρίᾳ τῶν γεγονότων. Αλλο. Πρῶ τον ὁ Θεὸς ἀνάγει τινὰ ἐκ λάκκου ταλαι πωρίας· δεύτερον, ἐπὶ πέτραν ι στησιν τοὺς πόδας αὐτοῦ· τρίτον, κατευθύνει τὰ διαβή ματα· τέταρτον, ᾳ σμα χαρίζεται καινόν· πέμπτον, υ μνον τῷ Θεῷ. Πλὴν σημειωτέον, ο τι ὁ ἐμπεσὼν εἰς τὸν λάκκον, ποτὲ οὐκ η ν [ε ν] τῷ λάκκῳ· ζητήσεις δὲ πότερον αὐτὸς ἐμπέπτωκεν ὑφ' ἑαυτοῦ, η ὑφ' ἑτέρου τινὸς ἐνεβλήθη, η καὶ ὑφ' ἑαυτοῦ καὶ ὑφ' ἑτέρου. 39.5 Μακάριος ἀνὴρ ου ἐστὶ τὸ ο νομα Κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς. ᾿Εφ' ἡμᾶς καὶ ὁ μακαρισμοῦ νοῦς κεκλη μένους χριστιανούς· τοῦτο γάρ ἐστι τὸ κα λὸν ο νομα, τὸ ἐπικληθὲν ἐφ' ἡμᾶς. Λέγεται δὲ ματαιότης καὶ μανία ψευδὴς καὶ ἡ τῶν εἰδώλων λατρεία. Παύσατε, μαντικὴ καὶ α πασα ἑτεροδοξία. Γέγραπται γοῦν· Περιτεί νων ἐστὶ μανίαν ἐν οι κῳ Κυρίου, κατέπηξαν δηλονότι τὴν μαντείαν. Πλεῖστον γὰρ οἱ ἐξ ῾Ιερουσαλὴμ ψευδοπροφῆται γεγόνασι, τὰ ἀπὸ καρδίας λαλοῦντες, καὶ οὐ τὰ ἀπὸ στό ματος Κυρίου. 39.6 Πολλὰ ἐποίησας σὺ, Κύριε, ὁ Θεός μου, τὰ θαυμάσιά σου. Ητοι ὡς μὴ ο ντα τῇ φύσει ἀριθμητὰ, ὡς ὑπερβαίνοντα διὰ τὸ πλῆθος τὴν φύσιν τοῦ ἀριθμοῦ. 39.7 ῾Ολοκαύτωμα καὶ περὶ ἁμαρτίας οὐκ ῃ τησας. ῾Ο δὲ προφητικὸς λόγος ἐκβαλὼν ταῦτα, τὴν λογικὴν θυσίαν ὑπέδειξεν. 39.8 ᾿Εν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ. Οὐκ ἐπὶ τήνδε μὲν ἡμᾶς ἀναπέμπει γρα φὴν, ἐπὶ τήνδε ου , ἀλλ' ἐπὶ πᾶσαν τὴν θεό πνευστον γραφὴν, τὴν ἐπαγγέλλουσαν περὶ αὐτοῦ. Πάντα δέ φησι μίαν κεφαλίδα βιβλίου, τῷ ἀνακεφαλαιοῦσθαι τὸν παρ' ἑαυτοῦ εἰς ἡμᾶς ἐληλυθότα Λόγον εἰς ε ν, τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου. Θέλημα δὲ λέγει τοῦ Πατρὸς, καθ' ο η ρε τὴν ἁμαρτίαν τοῦ κόσμου. Οὐ γὰρ η λθον, φησὶ, ποιῆσαι τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. Καὶ τυθεὶς ὑπὲρ τῆς ἁπάντων ἁμαρτίας, ὡς α ν, ἀφέσεως γενομένης, μηκέτι χρεία ῃ τῆς περὶ ἁμαρτίας θυσίας. Καλῶς ου ν ὁ Σολωμὼν παρεγγυᾷ μὴ κτᾶσθαι βι βλία πολλὰ, τὴν πεπλανημένην αἰνιττόμε νος διὰ τοῦ πλήθους [τῶν βιβλίων], ὡς οι μαι, σοφίαν. 39.11 Κύριε, σὺ ε γνως τὴν δικαιοσύνην μου, οὐκ ε κρυψα ἐν τῇ καρδίᾳ μου τὴν ἀλή θειάν σου, καὶ τὸ σωτήριόν σου ει πα· οὐκ ε κρυψα τὸ ε λεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς. Καὶ τυχοῦσα τῆς σωτηρίας ἡ τοῦ Θεοῦ ἐκκλησία, δεῖται πάλιν τῆς αὐτοῦ προμη θείας, διὰ τὰς παντοδαπὰς τῶν ἀνθρώπων καὶ δαιμόνων ἐπαναστάσεις, ω ν ἐν τοῖς ἑξῆς μνήμην πεποίηται. –᾿Αποκαλύπτει ὁ Χρισ τὸς τοὺς περὶ ἐλέους καὶ ἀληθείας λόγους. Εὑρήσεις ἐν τῇ θεωρίᾳ τοὺς μὲν περὶ ἐλέους καὶ σωτηρίας, τοὺς δὲ περὶ σωτηρίας ἐν τῇ πρακτικῇ. 39.13 Οτι περιέσχον με κακὰ, ω ν οὐκ ε στιν ἀριθμὸς, ... καὶ ἡ καρδία ἐγκατέλι πέ με. Τὰ μετὰ τὴν ἀπιστίαν τὴν ἐν Χριστῷ συμβεβηκότα αὐτοῖς διηγεῖται κακά. –Καρ δίαν νῦν λέγει τὴν ποιὰν τοῦ νοῦ διάθεσιν. 39.17 Καὶ εὐφρανθείησαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, Κύριε. Οὐκ ει πε δὲ, οἱ ζητήσαντες, ἀλλ' οἱ ζη τοῦντες, καὶ γὰρ ᾿Ιούδας ὁ προδότης ἐζή τησε μέν ποτε, οὐ ζητεῖ δὲ νῦν. 40.4 Ολην τὴν κοίτην αὐτοῦ ε στρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ. Αρον τὸν κράββατον, φησὶ, καὶ περιπάτει. Τοῖς μὲν γὰρ ὑγιαίνουσι κατὰ διάνοιαν ε πε ται τὸ σῶμα· οἱ δὲ ἀῤῥωστοῦντες ἀκολου θοῦσιν τῷ σώματι. 41.7 Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐτα ράχθη. Φυσικὴ κίνησις τοῦ θυμοῦ. 41.8 Αβυσσος α βυσσον ἐπικαλεῖται. ᾿Αναγκαῖα ταῦτα ἐν καιρῷ λύπης ἐπα γόμενα ψυχῇ. 41.10,11 ᾿Ερῶ Θεῷ· ᾿Αντιλήπτωρ μου ει · διὰ τί μου ἐπελάθου; καὶ ι να τί σκυθρω πάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχ θρόν; –᾿Εν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, ὠνείδιζόν με οἱ ἐχθροί μου, ἐν τῷ λέγειν αὐ τούς μοι καθ' ἑκάστην ἡμέραν· Ποῦ ἐστιν ὁ Θεός σου. Οὐχ ὁρῶμεν δὲ πάντες πῶς ἐλεεῖ ὁ Θεός. Καὶ πολλάκις πρὸς τὰ κατ' ἐλεημοσύνην αὐτοῦ γινόμενα, τῷ ἐπίπονα ει ναι, οὐχ ἡδέως ε χοντες, οὐδὲ ε λεον ει ναι νομίζομεν. Διὸ λέ γομεν· Διὰ τί μου ἐπελάθου;῾Ο δὲ διειληφὼς ο τι πᾶν ο ἐπάγει ὁ Θεὸς συμφερόντως ἐπά γει, οὐδὲν ἐρεῖ τοιοῦτον, εἰδὼς, ο τι τὴν με τάνοιαν αὐτοῦ καὶ τὸν ε λεον πραγματευό μενος ὁ Θεὸς, τοῦτο ποιεῖ.᾿Αλλ' ο περ ἐλέ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γομεν, ὁ μεταγινώσκων λαὸς πυνθάνεται τοῦ Θεοῦ διὰ τί αὐτὸν ἐγκαταλέλοιπεν ου τως ἐκ θλιβόμενον καὶ σκυθρωπάζοντα. –Πάνυ δὲ λυπεῖ τὸν δίκαιον τὸ Ποῦ, ἐπὶ Θεοῦ λεγόμε νον, ο περ ἐστὶ σημαντικὸν τόπου. Τῆς γὰρ ἐσχάτης ἀνοίας τὸ ἐν τόπῳ νομίζειν ει ναι τὸν Θεόν· ο γκῳ γὰρ συνυφίσταται τόπος· ο γκου δὲ τὸ Θεῖον ἐλεύθερον. 42.2 Οτι σὺ ει , ὁ Θεὸς, κραταίωμά μου, ι να τί ἀπώσω με; καὶ ι να τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου; Σκυθρωπάζων πορεύεται ὁ Σωτὴρ, ο τε παραλαβὼν Πέτρον καὶ τοὺς υἱοὺς Ζεβε δαίου, ε λεγε· Περίλυπός ἐστιν ἡ ψυχή μου ε ως θανάτου. 43.1 Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ, εἰς σύνεσιν ψαλμός. ῾Υπόθεσις. ᾿Εκ προσώπου τῶν ἐθνῶν ἐστιν ὁ ψαλμὸς, η ἐκ προσώπου τῶν ἐν τῇ δια σπορᾷ, η ἐκ προσώπου τῶν Μακκαβαίων. 43.9 ᾿Εν τῷ Θεῷ ἐπαινεθησόμεθα ο λην τὴν ἡμέραν. Ολην τὴν ἡμέραν τὴν ἐν τῷ Θεῷ ει πε ζωὴν, η τις συνέστηκεν ἀπὸ ἀπαθείας καὶ γνώσεως Θεοῦ. Ταῦτα μὲν ἐν τοῖς α λλοις χρόνοις γεγένηνται παρὰ σοῦ· ἐπὶ δὲ τοῦ παρόντος ε ρημοι τῆς σῆς ἀπεφάνθημεν προ μηθείας. 43.11 ᾿Απέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν, καὶ οἱ μισοῦντες διήρπαζον ἑαυτοῖς. Διὰ τῆς κακίας καὶ ἀγνωσίας ἁρπάζουσιν ἡμᾶς. – ᾿Ενταῦθα ἐπισημαίνει, ο τι ε μπροσ θεν μὲν ἡμῶν λέγονται αἱ ἀρεταὶ, ο πισθεν δὲ αἱ κακίαι· διὸ προστασσόμεθα φεύγειν μὲν τὴν πορνείαν, διώκειν δὲ τὴν σωφρο σύνην καὶ τὴν φιλοξενίαν. Πλὴν οὐ πᾶς ὁ εἰς τὰ ὀπίσω ἀποστρεφόμενος, ψεκτῶς τοῦτο ὑφίσταται· ἀλλ' ει τις φυγὼν τὰ κακὰ, πρὸς αὐτὰ πάλιν ὑποστρέφειν ἐθέλοι, ὡς ὁ ἀπὸ τῆς Σιὼν, τουτέστι τῆς ἀρετῆς πρὸς τὴν κακίαν, Βαβυλῶνα καλουμένην, ἀποστρεφό μενος. 43.16 Ολην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστι, καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με. Μακρὰ, φησὶν, καὶ διηνεκὴς ἡ καθ' ἡμᾶς γέγονε αἰσχυνή. 44.2 ᾿Εξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν· λέγω ἐγὼ τὰ ε ργα μου τῷ βασιλεῖ· ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυ γράφου. ᾿Ωριγένους, περὶ τῆς ἁγίας Τριάδος. – Ον ει ρηκεν Λόγον, τοῦτον καὶ γλῶσσαν· κάλαμος γὰρ ὠνόμασται, διὰ τὸ λέγειν τι, καὶ εὐθέως γίνεσθαι, ὡς τό· Θέλω, καθα ρίσθητι, καὶ εὐθέως ἐκαθαρίσθη. Καί· Σοὶ λέγω, ἐγέρθητι, καὶ ἀνέστη. Οὐ μὴν ἀλλὰ καὶ τό· Λόγον συντετμημένον ποιήσει Κύ ριος ἐν τῇ οἰκουμένῃ. 44.3 ᾿Εξεχύθη χάρις ἐν χείλεσί σου· διὰ τοῦτο ε χρισέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. Γλυκύφωνος γὰρ ὁ Κύριος ἡμῶν, λέγων· ᾿Εγὼ η λθον, ι να ζωὴν ε χωσι, καὶ περισσὸν ε χωσι. Καί· ᾿Εγώ εἰμι ὁ α ρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ διδοὺς ζωὴν τῷ κόσ μῳ. Μωσῆς γὰρ, καὶ ει τις α λλος δίκαιος, ευ ρεν χάριν ἐνώπιον τοῦ Θεοῦ· ἐπὶ δὲ τὸν Υἱὸν ἡ πατρικὴ πᾶσα χάρις ἐκενώθη. Ην γὰρ ὁ Πατὴρ λαλῶν ἐν τῷ Υἱῷ. Οθεν καὶ ἡ διακονισαμένη τῇ ἐν ἀνθρώποις αὐτοῦ παρόδῳ λέλεκται κεχαριτωμένη. ᾿Εν αὐτῷ γὰρ ηὐδόκησεν πᾶν τὸ πλήρωμα, καὶ τὰ ἑξῆς. – Η πᾶσα δύναμις τῶν οὐρανῶν τῇ τῶν γεγονότων κέχρισται θεωρίᾳ. ῾Ο δὲ Χρισ τὸς παρὰ πάντας κέχρισται καὶ μετόχους αὐτοῦ, δηλονότι τῇ τῆς μονάδος κέχρισται γνώσει. Διὸ καὶ μόνος λέγεται ἐν δεξιᾷ κα θέζεσθαι τοῦ Πατρὸς Χριστός. Χριστὸν δέ φημι, τὸν μετὰ Θεοῦ Λόγον, ἐπιδημήσαντα Κύριον. 44.9,10 Σμύρνα καὶ στακτὴ καὶ κασσία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βαρέων ἐλεφαν τίνων. –Ηυ φρανάν σε θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβε βλημένη, πεποικιλμένη. ῾Ιμάτια Χριστοῦ νοητέον τοὺς, οι ον εἰπεῖν, ἐν Χριστῷ καὶ περὶ αὐτὸν διὰ πίστεως καὶ ἁγιασμοῦ καὶ οἰκειότητος πνευματικῆς. Βά ρεις μὲν ἐλεφαντίνας τὰς ἐκκλησίας ἐν τού τῳ φησίν. ῾Η βᾶρις γὰρ καλεῖται πύργος α πας πεπυργωμένος· καί φαμεν τὰ ἐν κλεινῇ δυνάμει καὶ χάριτι τεθεμελιωμένα· τεθεμε λίωνται γὰρ ἐπὶ τὴν Πέτραν· [ἐλεφαντίνας], ἀντὶ τοῦ λαμπρὰς ει ναι καὶ τιμίας. Αυ ται δὲ ὡς ἐξ ἐλέφαντος βάρεις καὶ βασίλειαί εἰσιν θυγατέρες· υἱοὶ γὰρ ο ντες τῆς βασιλείας οἱ μαθηταὶ, εἰκότως α ν καὶ βασιλεῖς ὀνομά ζοιντο. ᾿Εγέννησε δὲ τὰς ἐκκλησίας, λέγον τος καὶ Παύλου· Διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Ταῖς ου ν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

νοηταῖς εὐοσμίαις αἱ τῶν βασιλέων ηυφρανάν σε θυγατέρες, τουτέστιν ἐν τῷ καιρῷ, καθ' ο ν ε δει τιμηθῆναί σε παρ' αὐτῶν. Οτε γὰρ κέκληνται, τότε καὶ τε τιμήκασιν.᾿Απὸ τούτων δὲ τῶν ἀρωμάτων καὶ τὸ νομικὸν συνεχεῖτο ε λαιον, ἀφ' ου ἱερεῖς ἐχρίοντο, καὶ ἡ σκηνὴ καὶ σκεύη λει τουργικά. –Οἱ α γιοι μαθηταὶ ......... τοῦ Θεοῦ. Καὶ α λλως δὲ ἡ σμύρνα τῆς τα φῆς ἐστι σύμβολον, ὡς ὁ εὐαγγελιστὴς ἐδί δαξε, εἰπὼν ὑπὸ᾿Ιωσὴφ τοῦ᾿Αριμαθαίου ἐντεταφίασθαι τὸν᾿Ιησοῦν μετὰ τῆς σμύρ νης καὶ ἀλόης. –῾Η δὲ στακτὴ καὶ αὐτῆς σμύρνης ἐστὶ τὸ λεπτότερον· ἐκθλιβέντος γὰρ τοῦ ἀρώματος, ο σον μὲν αὐτόῤῥυτον εἰς τὴν στακτὴν ἀπομερίζεται· τὸ δὲ παχύτε ρον ἀπομένον, σμύρνα προσαγορεύεται. Ων τὸ μὲν πάθος δηλοῖ, τὸ δὲ τὴν εἰς ᾳ δου κατάβασιν, ἐπειδὴ πᾶσα σταγὼν ἐπὶ τὰ κάτω καταφέρεται. Κατῆλθε γὰρ, ι να πλη ρώσῃ ἑαυτοῦ τὰ σύμπαντα. –῾Η δὲ κασσία φλοιός τίς ἐστι λεπτότατος καὶ εὐώδης, ἐν ξυλώδει κάρφει περιτεινόμενος. Παρηνίξατο διὰ τὴν τῆς σαρκὸς περὶ τοῦ ξύλου οἰκο νομίαν.᾿Εκ δὲ ταύτης τῆς αἰτίας καὶ εὐ γενεῖς καὶ βασιλικαὶ ψυχαὶ, διὰ τὴν εἰς ἡμᾶς συγκατάβασιν εὐγνώμονες ου σαι, τὸν Χριστὸν ηυφρανον πλουσίως, προσέτι τοῖς ἱματίοις τοῦ Χριστοῦ ἀπὸ πλουσίων οἰκοδο μημάτων φερόμεναι. Βάρεις γὰρ οἱ μέγιστοι τῶν οι κων λέγονται καὶ τούτων ἐλεφαντί νων, διὰ τὸ πλουσίαν ει ναι τὴν τοῦ Χριστοῦ περὶ τὸν κόσμον ἀγάπην. ῾Η δὲ βασίλισσα, ἡ μήτηρ τῶν θυγατέρων, παρέστη ἐκ δεξιῶν, ἡ καθολικὴ ἐκκλησία. Κυριώτερον δὲ ει ποις ἐπουράνιον, η τις ἐστι μήτηρ τῶν ἐπὶ γῆς ἁγίων, Παύλου λέγον τος· ῾Η α νω ῾Ιερουσαλὴμ ἐλευθέρα ἐστὶν, η τις ἐστὶ μήτηρ ἡμῶν. Καλεῖ δ' αὐτὴν πόλιν Θεοῦ ζῶντος καὶ τὰ ἑξῆς. Αυ τη μὲν ου ν ἡ τελεία Χριστοῦ νύμφη, η ς οὐκ α ν ἁμάρτοις, θυγατέραν λέγων τὴν ἐπὶ γῆς ἐκκλησίαν. Βασίλισσα δὲ ἐκείνη, ὡς συμβασιλεύουσα τῷ ἑαυτῆς νυμφίῳ, καὶ τὸ βασιλικὸν καὶ φωτοειδὲς τῆς ἀφθαρσίας ε νδυμα φέρουσα. –Δεξιὰν δὲ χώραν τοῦ Χριστοῦ λαμβάνει, διακρίνοντος ἀπὸ τῶν φαυλῶν καὶ τῶν ἀγα θῶν, ὡς ὁ ποιμὴν ἀπὸ τῶν ἐρίφων τοῦ προ βάτου. Παρίσταται ου ν ἐν ἱματισμοῖς δια χρύσοις, ἐν δόγμασι νοεροῖς καθυφασμένη, καὶ περιπεποικιλμένη ταῖς διαφοραῖς τῶν ἀρετῶν. –Τὸ δὲ βεβλημένη, πεποικιλ μένη ου τε ἐν τῷ ἑβραϊκῷ, ου τε παρὰ τῶν α λλων φέρεται. 44.11-14 Ακουσον, Θυγάτερ, καὶ ι δε, καὶ κλῖνον τὸ ου ς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οι κου τοῦ πατρός σου· ο τι ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου, ο τι αὐτός ἐστιν ὁ Κύριός σου. Καὶ προσκυνή σουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις· τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ τῆς γῆς. Πᾶσα ἡ δόξα αὐτῆς θυ γατρὸς βασιλέως ᾿Εσεβὼν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη. ῾Ο μὲν ᾿Ακύλας προσεκύνησεν ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος προσκυνήσεις, καὶ μὴ προ τροπῇ τῆς πρὸς αὐτὴν προσκυνήσεως. –Μυσταγωγοῦσι τὴν βασιλίδα, ὡς α ν ει η τῷ νυμφίῳ κεχρισμένη. Εστι δὲ τὸ ἀκοῦσαι πρῶτον, ει τα δὲ γνῶναι. Θυγατέρα δὲ κα λοῦσιν τὴν ἐκκλησίαν, α τε δὴ αὐτὴν προ κοσμιθεῖσαν τῷ οὐρανίῳ νυμφίῳ. Θεοῦ γὰρ γεγόνασιν συνεργοὶ Θεοῦ διάκονοι, καταλ λάσσοντες αὐτῷ διὰ τῆς πίστεως τὴν ὑπ' οὐ ρανῶν, τὴν ἐξ ἐθνῶν, φησὶν, ἐκκλησίαν· οὐ γὰρ ἀνῃρήθη ἡ ἐξ᾿Ισραήλ.῾Ημεῖς ου ν η μεν ποτὲ ἀνόητοι, καὶ τέκνα ὀργῆς, καὶ η σαν ἡμῖν οἱ εἰδωλολάτραι λαός. Ου τω ποτὲ καὶ τῷ ᾿Αβραὰμ ἐλέγετο· Εξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας, καὶ ἐκ τοῦ οι κου τοῦ πατρός σου. Μέχρι νῦν οἱ προσιόντες τῷ θείῳ φωτίσματι, πρὸς δυσμὰς τραφέντες· ᾿Αποτασσόμεθά σοι, φασὶν, Σατανᾶ! Τίς δὲ τούτου μισθός; Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· οὐ τὸ φυσικὸν αὐτῆς λέ γει, ἀλλὰ τὸ κατ' εἰκόνα καθάρσεως, μόνον δεόμενον δειχθῆναι. Οὐκ α ν γάρ τις καθα ρῶς τῇ διὰ Χριστοῦ προσέρχεται πίστει, μὴ παντελῆ λήθην τῶν προτέρων κακῶν ποιησάμενος. Λαὸς δὲ τῆς ἐκκλησίας πάλαι οἱ εἰδωλολάτραι· οι κος δὲ πατρὸς, οἱ σοφοὶ τοῦ αἰῶνος, ἐν οι ς κατῴκει ω σπερ ε νοικος ὁ Σατανᾶς. –Μητρόπολις Χαναναίων ἡ Τύρος, προκειμένων α γαν εἰδώλοις. Προ τρεπόμενος ου ν εἰς ὑπακοὴν τὴν ἐκκλησίαν ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγος, καὶ θυγάτηρ, φησὶ, Τύρου η ξει μετὰ δώρων, καὶ τὸ σὸν πρόσωπον δὲ πλου σίοι τοῦ λαοῦ λιτανεύσουσιν ἐν δώροις, οὐ γὰρ αὐτὴν προσκυνοῦσιν, ἀλλὰ τὴν κεφαλὴν αὐτῆς, ο ς ἐστιν ὁ Χριστὸς ο ν νῦν καταση μαίνει. Τοὺς Τυραίους δὲ ὠνόμασεν διὰ τὸ μάλιστα αὐτοὺς ἐχθροὺς ει ναι τοῦ εὐσεβοῦς πολιτεύματος. –Πᾶσα ἡ δόξα αὐτῆς θυ γατρὸς τοῦ βασιλέως ε σωθεν. Τοῦτό φησιν, εὐαγγελιζόμενος καὶ αὐτοὺς βασιλεῖς καὶ τοὺς ἐν ὑπεροχῇ ο ντας προσκυνήσειν τῇ ἐκκλησίᾳ, η τοι τὸν ἐν αὐτῇ Κύριον. Τὸ ε σωθεν Θεὸν ε σω σημαίνει. Νοητὸς γὰρ ὁ κόσμος τῆς ἐκκλησίας. Κροσσὸς καὶ τὰς πολυειδεῖς ἀρετὰς σημαίνει Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ε σωθεν ἐν κροσ σωτοῖς περιβεβλημένη, πεποικιλμένη, ει τουν πράξεσι, ει τε καὶ θεωρήμασι· καὶ εἰ ὑπόζυγόν ἐστί τι Χριστῷ, καὶ εἰ παρθένος ο λη Χριστοῦ, ἡ μὲν ἐν τῷ παντελῶς ἐνδεσ μεῖσθαι τῷ Λόγῳ, ἡ δὲ μηδ' ο λως γενέσθω τοῦ κόσμου· οὐ γάρ ἐστιν ὑπόζυγον μέρος, τοῦτο παντελὲς τῷ παρθένῳ. 45.2 ῾Ο Θεὸς ἡμῶν καταφυγὴ καὶ δύνα μις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Φεύγοντες τὴν πορνείαν, τῇ σωφροσύνῃ προσφεύγωμεν· καὶ μαχόμενοι αὐτῇ τῇ δικαιοσύνῃ μαχόμεθα. Πάλιν φεύγοντες τὴν ἀδικίαν, τῇ δικαιοσύνῃ προσφεύγωμεν· εἰ μὲν δὲ προσφεύγομεν αὐτῇ, καταφυγὴ ὀνο μάζεται. Εἰ δὲ μετ' αὐτῇ πολεμοῦμεν, δύνα μιν λέγει. 45.5 Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραί νουσι τὴν πόλιν τοῦ Θεοῦ. Χαρίσματα τοῦ ἁγίου Πνεύματος· Ποτα μοὶ γὰρ, φησὶν, ἐκ τῆς καρδίας αὐτοῦ ῥέουσιν υ δατος ζῶντος. Ελεγε δὲ περὶ τοῦ Πνεύ ματος. 45.8 Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν. Καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς ἀποστόλοις ὑπέσχετο· ᾿Ιδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμί. Καί· Οπου δύο η τρεῖς εἰσὶ συνηγμένοι εἰς τὸ ἐμὸν ο νομα, ἐγώ εἰμι μέσῳ σὺν αὐτοῖς. Πάλιν Κύριος ὁ Θεὸς τῶν δυνάμεων μεθ' ἡμῶν, ὡς οὐδὲν πέσωμεν παρ' αὐτοῦ. Εἰ γὰρ Θεὸς ὑφ' ἡμῶν, τίς καθ' ἡμῶν; αὐτὸς πολεμήσει ὑφ' ἡμῶν, ἡμεῖς δὲ ἡσυχάσομεν. 46.5 ᾿Εξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ, τὴν καλλονὴν ᾿Ιακὼβ, η ν ἠγάπησεν. Ην ἠγάπησεν καλλονὴν ᾿Ιακὼβ, ἡ γνῶσίς ἐστι τοῦ Θεοῦ. 46.7,8 Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε. Ψάλατε τῷ βασιλεῖ ἡμῶν .... ψάλατε συ νετῶς. ῾Ο μὲν δίκαιος εὐλογεῖ τὸν Κύριον ἐν παντὶ καιρῷ· ὁ δὲ ἁμαρτωλὸς τὸ τηνικαῦτα ἐξομολογούμενος εὐλογεῖ τὸν Θεὸν, ὁπηνίκα α ν ἀγαθόν τι αὐτῷ ἐκ Θεοῦ πρόκειται. 47.3 Εὐρίζων ἀγαλλιάματι πάσης τῆς γῆς· ο ρη Σιὼν τὰ πλευρὰ τοῦ βοῤῥᾶ. ῾Ο Χριστὸς, εὐρίζων ἀγαλλιάματι πάσης τῆς γῆς. ῾Ρίζα δὲ αὐτοῦ ὁ Θεὸς Λόγος, ὁ ἐν αὐτῷ. –Πρότερον μὲν η ν ὁ Παῦλος πλευρὰ τοῦ βοῤῥᾶ, ἀφ' ου ἐξεκαύθη πάντα τὰ κακὰ ἐπὶ τῆς γῆς· νυνὶ δὲ γέγονεν ο ρος Σιὼν, ε χον ἐν ἑαυτῷ λαλοῦντα τὸν Χριστὸν, τὸν ἐλθόντα ἐκ Σιὼν, καὶ ἀποστρέψαντα ἀπὸ ἀσεβείας, ἀπὸ ᾿Ιακώβ. –῾Η μὲν ῾Ιερουσαλὴμ ἐν τῷ νότῳ κεῖται, τὰ δὲ ε θνη ἐν τῷ βοῤῥᾷ· ἐπειδὴ καὶ μέγα ἐφρόνουν οἱ ᾿Ιου δαῖοι, ὡς μόνοι τὴν Σιὼν οἰκοῦντες, δείκνυ σιν ὁ λόγος ὡς τὰ ο ρη ταύτης ἐστιν ἑδραίω μα τῆς Σιών· τὸ κλῆμά ἐστι τοῦ βοῤῥᾶ, ο περ κλῆμα διὰ τῶν πλευρῶν δηλοῦται· ἀντὶ γὰρ τοῦ εἰπεῖν τὸ κλῆμα τοῦ βοῤῥᾶ, τὴν πλευρὰν ει ρηκεν· δείκνυσι, τουτέστιν Σιών ἐστι τὰ ε θνη, τὰ παραδεξόμενα τὸ εὐαγγέ λιον. 47.8 ᾿Εν πνεύματι βιαίῳ συντρίψεις πλοῖα 47.8 Θάρσις. Πλοίοις Θάρσις, οἱονεὶ πολυστήμοις, πο λυφόρους τοὺς βασιλεῖς παρεικάζει· πλοῖς δὲ συντρίβει βιαίῳ πνεύματι δι' ου συνέτρι ψεν νοητάς τινας δυνάμεις, δι' ου τοὺς ἐχ θροὺς ἀποτρέπει. 48.1 Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ ψαλ μός. Δύναται δὲ καὶ εἰς τὴν ἑκάστου νίκην τῶν ἐν τῷ ἀγωνίζεσθαι νικώντων ἀναφέ ρεσθαι ἡ ἐπιγραφή. 48.2,3 ᾿Ακούσατε αὐτὰ, πάντα τὰ ε θνη· ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην· οι τε γηγενεῖς, καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης. Τρεῖς γὰρ εἰσὶν αἱ συζυγίαι τῶν κεκλη μένων, ἐν αι ς α παν τὸ τῶν ἀνθρώπων πε ριέχεται γένος· ε θνη καὶ οἱ κατοικοῦντες τὴν οἰκουμένην, γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀν θρώπων, πλούσιοι καὶ πένητες. –῾Η πρώ τη, ε θνη, ο σα εἰσὶν οἱ κατοικοῦντες τὴν οἰ κουμένην, οἱ ἀλλότριοι τῆς πίστεως διὰ τῶν ἐθνῶν. Ει τα μετὰ τούτους, γηγενεῖς, οἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φρο νοῦντες τὰ γήϊνα, καὶ τῶν θελημάτων τῆς σαρκὸς ἀντεχόμενοι. Ει τα οἱ υἱοὶ ἀνθρώπων, οἱ ἐπιμέλειάν τινα καὶ α σκησιν τοῦ λόγου ποιούμενοι· ι διον γὰρ τοῦ ἀνθρώπου τὸ λο γικόν· λοιπὸν, πλούσιοι καὶ πένητες· αὐτό θεν ε χουσι γνωριζομένην τὴν ἰδιότητα, οἱ μὲν ὑπερβαίνοντες τὴν κτῆσιν τῶν ἀναγ καίων, οἱ δ' ἐν ἐνδείᾳ τούτων καθεστηκότες. Ἐπειδὴ δὲ ὁ ἰατρὸς τῶν ψυχῶν οὐκ η λθε καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς με τάνοιαν, πρῶτον ε ταξεν ἐν τῇ κλήσει ἐν ἑκάστῃ συζυγίᾳ τὸ κατεγνωσμένον μέρος. Χείρονα γὰρ τὰ ε θνη τῶν κατοικούντων τὴν οἰκουμένην· ἀλλ' ο μως προτετίμηνται εἰς τὴν κλῆσιν, ι να οἱ κακῶς ε χοντες πρότερον μεταλάβωσιν τῆς ἐκ τοῦ ἰατροῦ ὠφελείας. Πάλιν, οἱ γηγενεῖς πρὸ τῶν υἱῶν τῶν ἀνθρώ πων, καὶ πλούσιοι πρὸ τῶν πενήτων· τὸ ἀπεγ νωσμένον τάγμα καὶ δύσκολον πρότερον κέκληται τῶν πτωχῶν πρὸς τὴν σωτηρίαν. Τοιαύτη γὰρ ἐκ τοῦ ἰατροῦ φιλανθρωπία τοῖς ἀσθενεστέροις μεταδίδωσιν τῆς ὠφε λείας. Ὁμοῦ δὲ καὶ εἰρήνης ἐστὶ συναγωγὸς ἡ κοινωνία τῆς κλήσεως, ω στε τοὺς ε χοντας τέως ἐκ τῶν ἐπιτηδευμάτων πρὸς ἀλλήλους ὑπεναντίως, τούτους διὰ τῆς ἐκκλησίας προστεθῆναι ἀλλήλοις εἰς τὴν ἀγάπην, μη δενὸς τῶν προτέρων ἀποτρεπομένου καὶ φεύ γοντος, καὶ μάλιστα τῶν πλουσίων, ο περ ἀπεγνωσμένον τάγμα πρὸς σωτηρίαν καὶ δύσκολον. Μήτε ου ν ὁ πλούσιος τὸν πένητα ὑπερηφανείτω, μήτε ὁ πένης τὴν δυναστείαν τῶν εὐπορούντων ὑποπτησάτω· μήτε οἱ υἱοὶ τῶν ἀνθρώπων τοὺς γηγενεῖς ἐξουθενείτω σαν, μήτε οἱ γηγενεῖς τούτων πάλιν ἀπαλ λοτριούσθωσαν· καὶ τὰ ε θνη ἐθιζέσθω πρὸς τοὺς κατοικοῦντας τὴν οἰκουμένην, καὶ οἱ τὴν οἰκουμένην οἰκοῦντες τοὺς ξένους τῶν διαθηκῶν διὰ τῆς ἀγάπης προσλαμβανέσ θωσαν. – Η καὶ ου τως ἐδήλωσε τῶν ἐθνῶν τά τε α γρια καὶ ἐν ἐρήμοις σκηνοποιού μενα καὶ ε θνη καλεῖ· καὶ ο σα τὸν πολιτικὸν μετέρχεται βίον, τὰς γεωργουμένας οἰκοῦν τα χώρας· ου ς πάλιν διῇλεν εἰς ἐλευθέρους καὶ τὸ οἰκετικὸν, η γουν εἰς τοὺς ἀγροικο τέρους καὶ τοὺς α λλους ευ γεγονότας, τοὺς ἐλευθερίως τραφέντας, ου ς υἱοὺς ἀνθρώπων ει πεν. –Ὁ δὲ Ἀκύλας τὴν οἰκουμένην κατάδυσιν ἐξέδωκε, τὰς οἰκήσεις ου τως εἰ πών· ἀντὶ δὲ τοῦ γηγενεῖς καὶ υἱοὶ τῶν ἀν θρώπων, ὁ Σύμμαχος ει πεν· η τε ἀνθρω πότης καὶ προσέτι καὶ υἱοὶ ἑκάστου ἀνδρὸς, ι ν' ᾐ τὸ μὲν καθολικὸν, τὸ δὲ μερικόν. – Ἀκοὴν δὲ τὴν συνετῶς δεχομένην οὐ τὴν κοινὴν, πρὸς τὰ α λογα, κατὰ τό· Ὁ ε χων ω τα ἀκούειν, ἀκουέτω. 48.4 Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. Κατὰ γὰρ τὸν ἀπόστολον· Καρδία πισ τεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολο γεῖται εἰς σωτηρίαν. Δεῖ γὰρ προαποκεῖσθαι τὸ ἀγαθὸν ἐν τῷ θησαυρῷ, ει τα προφέρεσ θαι διὰ στόματος, ι να μὴ λεχθῇ· Σοφία κεκρυμμένη καὶ θησαυρὸς ἀφανὴς, τίς ὠφέ λεια ἐν ἀμφοτέροις; χρὴ γὰρ διὰ μὲν τῶν α λλων ὠφέλειαν λαλεῖν· δι' ἡμᾶς δὲ αὐ τοὺς μελετᾶν τῇ καρδίᾳ. 48.5 Κλινῶ εἰς παραβολὴν τὸ ου ς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. Ταῦτα δὲ καὶ ἀπὸ τῶν ἀποστόλων δύνα σθαι λέγεσθαι. Παραβολὰς δὲ καλεῖ τοὺς αἰνιγματώδεις λόγους. Καὶ γὰρ ὁ Κύριος πα ραβολικῶς τοῖς ο χλοις διαλεγόμενος, τοῖς ἀποστόλοις κατ' οι κον τούτων τὰς ἑρμηνείας προσέφερε. Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ε λεγε· Τὸ στόμα μου λαλήσει σοφίαν. Τοῦτον γὰρ θεολογοῦντες πᾶσιν ἀν θρώποις ἐκήρυττον, ἠκονημένοι δὲ τὸν νοῦν ὡς συνιέναι πάσας τοῦ Χριστοῦ τὰς παρα βολὰς καὶ πρὸ τῆς αὐτοῦ ἑρμηνείας. Διὸ μετὰ ταύτας ὁ μὲν σωτὴρ ε λεγε· Συνήσατε ταῦτα πάντα; οἱ δὲ λέγουσιν αὐτῷ· Ναί. Ἡ καρδία τοίνυν αὐτῶν ἐμελέτα συνήσεις, α ς ᾐ νοιγον τοῖς μὴ παρακολουθεῖν δυναμένοις διὰ τοῦ σωματικοῦ ὀργάνου, τῇ ἐνοικούσῃ πρὸς τοῦτο διακονοῦντος ψυχῇ. Τοῦτο γὰρ ἀντὶ ψαλτηρίου παρέλαβε πρὸς τὴν διὰ τού των θείων υ μνων ἀνάκρουσιν, ἑκάστου μέ ρους ἐπιστημονικῶς ἐν αὐτῷ κινουμένου. 48.6 Ινα τί φοβοῦμαι ἐν ἡμέρᾳ φοβηρᾷ; ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με. Ἀλλ' ἐκεῖ μὴ τοιοῦτοι η σαν οἱ α γιοι ἀ πόστολοι, η γουν ὁ προφήτης ταῦτα λέγων ω στε λεχθῆναι περὶ αὐτῶν· ἁμαρτίαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐκ ἐποίησαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτῶν· εἰκὸς αὐτοὺς ἡμαρτηκέναι τὰ τελευ ταῖα καὶ τὰ ε σχατα καὶ τὰ βραχύτατα, α περ ει ρηται· Ἡ ἀνομία πτέρνης αὐτῶν κυ κλώσει αὐτούς. – Η ὡς Σύμμαχος ἀνο μίαν ἰχνέων αὐτοῦ ἐξέδωκεν. Οἱονεὶ γὰρ ι χνη ἀδρανῆ καὶ ἀμαυρὰ ἀνομίας η ν αὐτοῖς μόνα. Διόπερ φησιν· Ινα τί φοβοῦμαι ἐν ἡμέ ρᾳ φοβερᾷ τῆς τοῦ Θεοῦ κρίσεως; –Εἰ δὲ ἐν προσώπῳ τοῦ Κυρίου, τὸ λέγον πτέρναν αὐ τοῦ, ευ ρεις τὸν ε σχατον τοῦ σώματος καὶ τῇ γῇ πλησιάζοντα Ἰούδαν. Σῶμα γὰρ Χριστοῦ οἱ ἀπόστολοι. Οὐ φοβοῦμεν ου ν τὴν ἀνομίαν τῆς πτέρνης, τουτέστιν τὴν προδοσίαν τοῦ Ἰούδα, ἐν τῷ καιρῷ τοῦ σταυροῦ. 48.17,18 Μὴ φοβοῦ, ο ταν πλουτήσῃ α νθρωπος ..., καὶ ο ταν πληθυνθῇ ἡ δόξα τοῦ οι κου αὐτοῦ, ο τι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐ τὸν, λήψεται τὰ πάντα. Οὐδὲν γὰρ, φησὶν ὁ Παῦλος, εἰσενέγκα μεν εἰς κόσμον, δηλονότι οὐδὲ ἐξενέγκαι τι δυνάμεθα. Καὶ ὁ μὲν Παῦλος καὶ οἱ κατ' αὐτοῦ ου τως· οἱ δὲ ἁμαρτωλοὶ οὐχὶ οὐδὲν, ἀλλ' οὐ πάντα· τὰ μὲν γὰρ χρήματα ἐν ταῦθα καταλιμπάνουσι· τὰς δὲ ἐξ αὐτῶν ἁμαρτίας προσγενομένας μεθ' ἑαυτῶν ἐκ φέρουσιν. 49.3 Ὁ Θεὸς ἐμφανῶς η ξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται πῦρ ἐναντίον αὐτοῦ, καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα. Εἰ ὁ Θεὸς ἡμῶν ἐμφανῶς η ξει, ὁ δέ ἐστι Χριστὸς, ἀλλ' ὁ Χριστὸς ἐλήλυθεν ἐν σαρκὶ, τὸ ἐμφανῶς α ρα νῦν σάρκα δηλοῖ· αἰσθητὴ γὰρ η ν ἡ σὰρξ τοῦ Χριστοῦ, ι να τοῖς ἀξίοις διὰ τὴν εὐσέβειαν ἑαυτὸν παραδῷ σφόδρα. Πάντα καὶ ὁ μακάριος ἐθεάσατο Δανιήλ· Ποταμὸς γὰρ προσεῖλκε ε μπροσθεν αὐτοῦ, καὶ ὁ θρόνος αὐτοῦ φλὸξ πυρὸς, καὶ τρο χὸς αὐτοῦ πῦρ φλέγον. Πῦρ δὲ η λθε βάλλειν ἐπὶ τὴν γῆν. Πῦρ δὲ ἐνταῦθα διδασκαλίαν τοῦ Θεοῦ Λόγου σημαίνει· ο περ πῦρ καίει μὲν τὰς μοχθηρὰς ε ξεις, δοκιμάζει δὲ τοὺς καθαρούς· διὰ γὰρ τοῦτο κύκλῳ αὐτοῦ κα ταιγὶς σφόδρα. Οσοι γὰρ θέλουσιν ζῇν εὐ σεβῶς ἐν Χριστῷ, διωχθήσονται. Ἀλλὰ καί· Θλῖψιν, φησὶν, ε ξετε ἐν τῷ κόσμῳ. 49.4 Προσκαλέσεται τὸν οὐρανὸν α νω καὶ τὴν γῆν, διακρῖναι τὸν λαὸν αὐτοῦ. Ζώντων γὰρ καὶ νεκρῶν ἐστι κριτὴς, διότι πᾶσαν τὴν κρίσιν ε δωκεν ὁ Πατὴρ τῷ Υἱῷ. 49.14 Θῦσον τῷ Θεῷ κτλ. 49.15 Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλί ψεως, καὶ ἐξελοῦμαί σε. Ὁ αὐτός ἐστι Θεός τε καὶ υ ψιστος καὶ ῥυόμενος ἀπὸ θλίψεως. Αἰνέσεως δὲ λέγει θυσίαν τοῖς δικαίοις πρέπον τὸ ὑμνεῖν, εὐ χὰς δὲ τὰς ὑποσχέσεις· ου τω γὰρ καὶ ἀλ λαχοῦ· Καὶ εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω. 49.16 Τῷ δὲ ἁμαρτωλῷ ει πεν ὁ Θεός· ι να τί σὺ διηγῇ τὰ δικαιώματά μου; Οὐ γὰρ ὡραῖος αι νος ἐν στόματι ἁμαρτω λοῦ. Εἰ γὰρ πάσας α μα παραβαίνει τὰς ἐντο λὰς, καὶ πᾶσαν ἐπιτηδεύει κακίαν, τί καὶ τὰς θείας ἐπὶ στόματος ἐκφέρει γραφὰς ὁ ἁμαρτωλός; διὰ στόματος ἀναλαμβάνει τὴν διαθήκην τοῦ Θεοῦ; μισεῖ γοῦν παιδείαν καὶ ἁμαρτάνει. Η ἐπεὶ ὁ λαὸς ου τος τοῖς χεί λεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτοῦ ἀπέχει ἀπ' ἐμοῦ. 50.6 Καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Νικᾷ Θεὸς, πάντα τὰ συντελοῦντα ποιή σας πρὸς σωτηρίαν. 50.9 Ῥαντιεῖς με ὑσσώπῳ καὶ καταρισ θήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευ κανθήσομαι. Ὁ υ σσωπος σύμβολόν ἐστιν ἀπαθείας, καὶ ἡ πλύσις γνῶσιν σημαίνει. Καὶ διὰ μὲν ἀπαθείας καθαριζόμεθα, διὰ δὲ τῆς γνώ σεως γλυκαινόμεθα. 50.10 Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐ φροσύνην, ἀγαλλιάσονται ὀστᾶ τεταπεινω μένα. Ἀκουστὴν, φημὶ, γενέσθαι μοι παρασκευή σεις πάλιν, τὴν διὰ τοῦ ἁγίου Πνεύματος, ἐν ἐσχάτοις καιροῖς ἐσομένην ἀγαλλίασιν. Τίς δ' α ν ει η αὐτὴ, η ἐκείνη ἡ γνῶσις, ἡ περὶ τῆς ἀναστάσεως; η ν καὶ ἐδίδαξεν εἰ πών· Ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα ποτε, η κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν, καθ' ο ν τὰ ὀστᾶ ἡμῶν ὡς βοτάνη ἀνατε λεῖ. – Ἐγὼ μέντοι συγγνώμης οὐδεμίας α ξιον ἑαυτὸν νομίζων, μετὰ τοσαύτας δω ρεὰς γενόμενος, ὡς καὶ τοὺς α λλους διδάξαι τὴν τοῦ Μονογενοῦς ἐνανθρώπησιν καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν, καὶ τῶν ἁμαρτη μάτων τὴν α φεσιν, τὰ μεγαλοπρεπῆ τοῦ βαπτίσματος, δῶρα ταῦτα πάντα προδιδαχ θεὶς, ἱκετεύω μετασχεῖν ἐκείνης τῆς χάριτος. –Ἀγαλλίασίς ἐστι χαρὰ ἐπὶ καλοῖς. 50.13 Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

που σοῦ, καὶ τὸ Πνεῦμα τὸ α γιόν σου μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ευ χεται μὴ πόῤῥω στερεισθῆναι τῆς θεί ας κηδεμονίας (ταύτην γὰρ ἐνταῦθα ἐκά λεσε πρόσωπον), μηδὲ γυμνωθῆναι τῆς τοῦ παναγίου Πνεύματος χάριτος, ο καὶ αι τιον πάντως τοῦ λαβεῖν τὸ προφητικὸν πνεῦμα καὶ χάρισμα. 50.14 Καὶ πνεύματι ἡγεμονικῷ στήρι ξόν με. Πολλοὶ δὲ ἐνταῦθα πνεῦμα ἡγεμονικὸν ἐκάλεσαν τὸν αὐτοκράτορα λογισμόν. 50.20 Καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱε ρουσαλήμ. Τὰ τείχη Ἱερουσαλὴμ τὴν ἀπάθειαν ση μαίνει τῆς ψυχῆς, η ντινα διαφθείραντες οἱ δαίμονες, τὰ τῆς μοιχείας πάθη εἰσένεγκαν· διὸ καὶ ευ χεται οἰκοδομηθῆναι ταῦτα τὰ τείχη. Καὶ ὁ Σολομὼν δέ φησιν· Οἱ δὲ ἀ γαπῶντες τὸν νόμον, παραβαλοῦσιν ἑαυτοῖς τείχη, τουτέστιν γένονται καθαροὶ καὶ ἀπα θεῖς. 51.3 Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατὸς ἀ νομίαν; Οὐκ ει πεν ο νομα μέσον, ἐμφαῖνον τὸ φαῦ λον· οὐ γὰρ ει πεν· Τί καυχᾷ; ἀλλά· Τί ἐγ καυχᾷ; οὐδέποτε γὰρ ἐπ' ἀγαθῷ λέγεται ἐγκαυχᾶσθαι ὁ σοφός. Μὴ καυχάσθω καὶ ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, ἀλλ' η ἐν τού τῳ καυχάσθω ὁ καυχώμενος συνιεῖν καὶ γι νώσκειν ο τι ἐγώ εἰμι Κύριος, ὁ ποιῶν ε λεος. Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενος ἐν ταῖς θλίψεσιν· οὐκ ε νι δὲ ἐγκαυχᾶσθαι καλῶς, ἀλλ' ει τις ἁμαρτάνει, ἐγκαυχᾶται. Δύναται δὲ καὶ πρὸς τὸν Σαοὺλ ὁ λόγος εἰῤῥῆσθαι. 51.4 Ολην τὴν ἡμέραν ἀδικίαν ἐλογίσα το ἡ γλῶσσά σου, ὡσεὶ ξυρὸν ἐξηκονημένον ἐποίησας δόλον. Τί ου ν φησιν; ἀλλὰ μήτε λανθάνῃ ἡμᾶς ἐν τῷ τόπῳ μυστήριον. Εστι τὸ ῥητὸν ου τως ε χον· ἐν στόματι μωρῶν ἡ καρδία αὐ τῶν.᾿Επιπόλαιός ἐστιν, οὐκ ε στιν ἐν τῷ βάθει, ἀλλ' ἐξεπήδησεν ἡ καρδία ἐπὶ τῶν χειλέων αὐτῶν. Καρδία δὲ σοφῶν οὐ στόμα αὐτῶν. ᾿Επεὶ τοίνυν μωρός ἐστι καὶ ου τος διάβολος, ω ν ει τε Δωὴκ ει τε Σαοὺλ ἁμαρ τήσας, διὰ τοῦτό φησιν· ᾿Αδικίαν ἐλογίσατο ἡ γλῶσσά σου. Καὶ ἀλλαχοῦ λέγεται περὶ τῶν α δικα λεγόντων·᾿Ηκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ο φεως.᾿Αλλ' ἐκεῖ μὲν, ι να πα ραστήσῃ πῶς ὀξεῖά ἐστιν ἡ διαβολή. 51.5 ᾿Ηγάπησας κακίαν ὑπὲρ ἀγαθωσύ νην. Οὐ τοῦτο λέγει, ο τι ἀγαθωσύνην μὲν ἐμί σησας, κακίαν δὲ ἠγάπησας· ταύτας δὲ ου τως ἠγάπησας, ὡς κακίαν μᾶλλον ἠγάπησας ἀγαθωσύνης· τοιοῦτόν ἐστι καὶ τὸ ἐν τοῖς εὐαγγελίοις κείμενον, τό·᾿Ηγάπησαν οἱ α ν θρωποι τὸ σκότος μᾶλλον η τὸ φῶς. Οἱ ἐσθίοντες τὸν λαόν μου βρώσει α ρτου. ᾿Εν τῷ ἐγγίζειν ἐπ' ἐμοὶ κακοῦντες τὰς σάρκας μου. 52.6 Οτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀν θρωπαρέσκων, κατησχύνθησαν, ο τι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς. Διχοτομήσει τὸ μέρος τῶν ὑποκριτῶν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· ο ταν ἀπὸ Θεοῦ ῥι ψῶσιν οἱ ἁμαρτωλοὶ, τότε λαμβάνουσιν τὴν αἰσχύνην τὴν αἰωνίαν, ω σπερ οἱ᾿Ιουδαῖοι. Τότε ἐρεῖ γὰρ αὐτοῖς· Οὐκ οι δα ὑμᾶς. 53.3 ῾Ο Θεὸς, ἐν τῷ ὀνόματί σου σῶσόν με. Εἰ ἡ σωτηρία τῆς λογικῆς φύσεως ἡ γνῶσίς ἐστιν ἡ τοῦ Θεοῦ, ὁ δὲ Δαυὶδ ἐν τῷ ὀνόματι τοῦ Θεοῦ θέλει σωθῆναι, τὸ ο νομα τοῦ Θεοῦ ου ν τὴν γνῶσιν σημαίνει, τὴν τοῦ Θεοῦ. 53.7 ᾿Εν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς. ῾Ο Χριστός φησιν.᾿Εγώ εἰμι ἀλήθεια. 53.9 Οτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με. ῾Ως μὴ ἐκ πάσης θλίψεως ῥυομένου ἀπὸ τοῦ Θεοῦ, τεθεῖται τοῦτο ἐκ πάσης κτλ. 54.3,4 Πρόσχες μοι, καὶ εἰσάκουσόν μου· ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταρά χθην ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. ᾿Αδολεσχία ἐνταῦθα σημαίνει τὴν εὐχὴν, ὡς καὶ ἐν τῇ πρώτῃ τῶν βασιλειῶν, τῆς Αν νης λεγούσης· ᾿Εκ πλήθους ἀδολεσχίας μου ἐκτέτακα ε ως νῦν· περὶ γὰρ τῆς προσευχῆς αὐτῆς τοῦτο λέγει. –Πάντα ο σα πράττο μεν παρὰ τὸν ὀρθὸν λόγον η τὸν νόμον, ἀ δολεσχία ἐστι, καὶ ο σα εἰκῆ λαλοῦμεν. Λέ γει ου ν ου τως, ω σπερ καταγνοὺς ἑαυτοῦ πρῶτον ἐπὶ τῷ τεταράχθαι, καὶ τὴν εἰρήνην μὴ κατεσχηκέναι, ἀλλ' ἀπολέσαι τὴν γαλή νην τῆς ψυχῆς, ἐπὶ τῇ φωνῇ τοῦ ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. Αγων πολύς μοί ἐστιν καὶ οὐκ οι δα τί ποιήσω. –Λογίσαι, φησὶ, τίς ου τος ὁ εὐχόμενος; ὁ Υἱὸς τοῦ Πα τρὸς, ὁ ὁμοούσιος βασιλεὺς, ἀλλὰ δούλου μορφὴν φέρων, ι να σώσω τὸ πλάσμα τὸ ἠλεώτερον, καὶ εἰσάκουσόν μου. Κοινῆς γὰρ δόξης τὸ σπουδαζόμενον ευ χεται. 54.4 Οτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. Ἐξομολογεῖται ἐνταῦθα, διδάσκων ἡμᾶς ἐξομολογεῖσθαι, ὡς τὸ πρόσωπον ἡμῶν ἀ ναλαβών. – Ανομοι ο ντες, ω στε ἁμαρτω λὸς καὶ ἐχθρὸς, ἐκκλίνουσιν ἐπ' ἐμὲ, ι να ἐμὲ α νομον ποιήσωσιν· ἁμαρτία γὰρ ἁμαρτίαν ἐρετίζει. Ἐπειδὴ κακῇ τετέχνηνται συμφω νίᾳ, διάλυσον αὐτῶν, δέσποτα, τὴν ὁμόνοιαν. 54.6 Φόβος καὶ τρόμος η λθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος. Τὴν α γνοιαν νῦν σκότος ὀνομάζει· οὐκ ε γνωσαν γὰρ, φησὶν, οὐδὲ συνῆκαν, ἐν σκό τει διαπορεύονται. 54.7 Καὶ ει πα· Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς; Καὶ ει πα· Τίς καταξιώσῃ με τῆς χάριτος τοῦ Πνεύματος; 54.14 Σὺ δὲ, α νθρωπε ἰσόψυχε! Σημειωτέον ο τι χαλεπωτέρους τῶν ἐχ θρῶν ἡγούμεθα τοὺς φίλους ἐπιβουλεύοντας. 54.18 Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι, καὶ ἀπαγγελῶ, καὶ εἰσακούσε ται τῆς φωνῆς μου. 54.19 Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου, ἀπὸ τῶν ἐγγιζόντων μοι, ο τι ἐν πολλοῖς η σαν σὺν ἐμοί. 54.20 Εἰσακούσεται ὁ Θεὸς, καὶ ταπει νώσει αὐτοὺς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων· οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, καὶ οὐκ ἐφοβήθησαν τὸν Θεόν. 54.21 Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀ ποδιδόναι· ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ. Ἐν μέσῳ τοῦ πρωῒ καὶ τῆς ἑσπέρας ἡ μεσημβρία· καὶ ὁ μὲν Ἰακὼβ ο ρθρῳ ἐπάλαιε μετὰ τοῦ ἀγγέλου· Ἀβραὰμ δὲ ἐν τῇ με σημβρίᾳ ἑώρακε τοὺς ἀγγέλους· Λὼτ δὲ ἑσπέρας. Τὴν ἐν δὲ λέχει μου, φησὶν ὁ Δα υἱδ, θεώμενος προσευχὴν, τὴν νύκτωρ καὶ τὴν ἡμέραν παρ' ἐμοῦ περιφερομένην, ἀ παλλάξομαι τῶν πολεμούντων, καὶ χαριεῖ ται εἰρήνη. –Τὸ δὲ ἐν πολλοῖς η σαν σὺν ἐμοὶ, ἀντὶ τοῦ πολλοστοὶ ἐγένοντο πρὸς ἐμέ. Τοῦτο δὲ οἱ γ΄ ου τως ἡρμήνευσαν· Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ εἰς τοὺς εἰρηνεύοντας πρὸς αὐτόν· οὐ γὰρ πολέμιον ὁ Σαοὺλ ἐδίωκεν, ἀλλ' εὐεργέτην καὶ συνήθη καὶ γνώριμον· οὐδὲ ἐχθρὸν Ἰούδας προδέδωκεν, ἀλλὰ Σω τῆρα καὶ τῶν ἀγαθῶν χορηγόν. Τὸ τοίνυν· Ἐξέτεινε τὴν χεῖρα εἰς τοὺς εἰρηνεύοντας αὐτοῦ, τοῦτο δηλοῖ ο τι ε κτεινε τὰς χεῖρας, ω στε τὰς ἀντιδόσεις ἐκτίσεται· ἀγαθὸν μὲν ου ν οὐδὲν προσενήνοχε, πάντα δὲ πονηρίας μεστά· καὶ τοῦτο δηλοῖ τὰ ἐπαγόμενα· Λυτρώσεται ... διαθήκην αὐτοῦ. Τοῦτο εἰς τό· Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι. Ταπεινωθήσονται, φησὶν, ἐπειδὴ μὴ ε χουσι τῆς ψυχῆς αὐτῶν ἀντάλ λαγμα· α παξ γὰρ ἀρνησάμενοι τὸ τίμιον αι μα Χριστοῦ, τὸ δεδομένον ἀντάλλαγμα ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, οὐκέτι εὐποροῦσι λύ τρον. Δεξάμενος δέ μου τὴν δέησιν, οι α Θεὸς, ἀσθενείᾳ περιβάλλει τοὺς ἐπιβουλεύοντας. Πάντα δι' αὐτοῦ ἐγένετο. Καλῶς ὑπάρχειν ει πε πρὸ τῶν αἰώνων· καὶ ἐντεῦθεν γινώσ κομεν, ο τι οἱ αἰῶνες ἀπὸ τοῦ μὴ ο ντος εἰς τὸ ει ναι γεγόνασιν. Ου τως ὁ Σύμμαχος· Οὐ γὰρ ἀλλάσσονται, οὐδὲ φοβοῦνται τὸν Θεόν. Ὁρῶν, φησὶν, αὐ τῶν τὸν ἀμεταμέλητον τρόπον, ταῖς προει ρημέναις συμφοραῖς περιβάλλει. Ἐσηρ· ἐν ἀλιφωθ λαμου. Ἀκύλας. Οι ς οὐκ εἰσὶν ἀλλαγαὶ αὐτοῖς. Ἑβραῖος. Οὐ γάρ ἐστιν ἀντάλλαγμα αὐ τοῖς. Σύμμαχος. Οτι οὐδ' ο λως ἀντάλλαγμα αὐτοῖς. Ἀκύλας· Ἀπέστειλε τὴν χεῖρα αὐτοῦ ἐν εἰρηνικοῖς αὐτοῦ. ὨΡΙΓΕΝ. ἈΘΑΝΑΣ. Αὐτὸς μὲν τὴν παρεκτικὴν χεῖρα τῶν ἀγαθῶν εἰς τὸ μετα λαβεῖν τῆς εὐλογίας ἐξέτεινεν. Οἱ δὲ οὐ μό νον οὐκ ἐδέξαντο, ἀλλὰ καὶ τὴν διαθήκην ἐβεβήλωσαν, δῆλόν ἐστι τὴν εὐαγγελικήν. ὨΡΙΓ. ἘΥΣΕΒ. Τοιοῦτο δὲ τοῦ βίου τὸ τέλος ἐδείξατο· τῇ γὰρ ἀγχόνῃ τὴν δέῤῥαν προσδήσας, σύντομον ἐπέμεινε θάνατον. Τοι αύταις καὶ Ἰουδαῖοι μετὰ τὸν σταυρὸν πε ριέπεσον συμφοραῖς, τῷ ῥωμαϊκῷ παραδο θέντες στρατῷ· οὐ γὰρ τῷ νόμῳ τῆς φύσεως ὑπεξῆλθον τὸν βίον, ἀλλ' ο πλοις πολεμικοῖς κατακοντιζόμενοι. 54.22 Ἡπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ε λαιον, καὶ αὐτοί εἰσι βολίδες. Ὁ Σύμμαχος· Λειότερα βουτύρου τὰ στό ματα αὐτῶν, πολεμεῖ δὲ ἡ καρδία ἑκάστου αὐτῶν. Τούτῳ δὲ καὶ τὸ ἐπαγόμενον συμ φωνεῖ· Λόγος κερκόπων, μαλαχαί· ου τοι δὲ τύπτουσι τάμεια κοιλίας. 54.23 Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέρι μνάν σου. Μνημονευτέον τούτου ἐν καιρῷ μερίμνης· ε χε κυβερνήτην, φησὶ, τὸν Θεὸν καὶ ἡνίοχον. Καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ο μοιον τό· Μὴ μεριμνήσητε τί φάγεσθαι η τί πίεσθαι. Τὰ κατὰ σαυτὸν τῆς προνοίας ἐκείνης ἐξάρτησον· ου τω γὰρ ἀσάλευτος διαμενεῖς καὶ ἀκλόνητος. 54.24 Σὺ δὲ, ὁ Θεὸς, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς· α νδρες αἱμάτων καὶ δο λιότητος οὐ μὴ ἡμεσεύσωσι τὰς ἡμέρας αὐ τῶν. Ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σὲ, Κύριε. Φρέαρ διαφθορᾶς, ἡ κόλασις. –Ἄτε λεῖς εἰσιν ἐν τῇ γενέσει οἱ ἁμαρτωλοί· διὸ Δαυὶδ ευ χεται, λέγων. Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου. Ἀβραὰμ γὰρ ἐκοιμήθη πληρὴς ἡμερῶν. –Ἀποκτείνει τούτους Κύ ριος, οι ς συγχωρεῖ ἐπιπολὺ ἁμαρτάνειν· ἐκ γὰρ τούτου συμβαίνει λήθην γενέσθαι Θεοῦ. 55.5 Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου. Ἐπαινέσω, ἀντὶ τοῦ ἐπαινετοὺς ποιήσω. 55.6 Κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν. Οὐ πάντες μὲν τοὺς λογισμοὺς ἐμβάλλου σιν πονηρούς· πάντες δὲ ου τοι λογισμοὶ φέ ρουσιν εἰς κακόν. Τῇ γὰρ Ευ ᾳ φησὶν ὁ ο φις· Εσεσθε ὡς θεοὶ, γινώσκοντες καλὸν καὶ πονηρόν. 55.10 Ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω. Εἰ θέλεις ἀποστρέφειν τοὺς ἐχθροὺς εἰς τὰ ὀπίσω, προσεύχου ἀδιαλείπτως. 56.4 Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ε λεος αὐ τοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ. Ὁ Χριστὸς ἐν τοῖς εὐαγγελίοις φησιν· Ἐγώ εἰμι ἀλήθεια. 56.9 Ἐξεγέρθητι, ἡ δόξα μου· ἐξεγέρθη τι, ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ο ρ θρου. Αλλος. Ἑαυτῷ λοιπὸν ἐγκελεύεται τὸν θεῖον ἐξυφαίνειν υ μνον, δόξαν μὲν οἰκείαν τὴν προφητικὴν χάριν καλῶν, ἑαυτὸν δὲ ψαλτήριον καὶ κιθάραν, ὡς γεγεννημένος τοῦ Πνεύματος ο ργανον (τὴν μὲν γὰρ ψυ χὴν διὰ τοῦ ψαλτηρίου, τὸ δὲ σῶμα διὰ τῆς κιθάρας αἰνίττεται). Η καὶ αὐτὰ τὰ συνήθη ο ργανα ἀναλαμβάνει, ἐπὶ τῷ ἀνακρούσασ θαι συνήθως τὰ ὑπὸ τοῦ Πνεύματος ὑπο βαλλόμενα· οι ς προστίθεται τό· Ἐξεγερθή σομαι ο ρθρου, ἀντὶ τοῦ φωτισθεὶς διὰ τοῦ Πνεύματος τῆς προφητείας, οὐ νῦν μόνον ὑμνήσω, ἀλλὰ τοῦ ἡλίου ἀνατείλαντος, καὶ τῆς προσδοκωμένης ἡμέρας τὸν ο ρθρον ὑπο δείξαντος, τῶν ἐθνῶν ἁπάντων καὶ τῶν πισ τευόντων λαῶν χοροδιδάσκαλος ε σομαι. 57.2 Εἰ ἀληθῶς α ρα δικαιοσύνην λαλεῖ τε, εὐθεῖα κρίνετε, οἱ υἱοὶ τῶν ἀνθρώπων. Πρὸς πάντας τοὺς ἀνωτέρω λαοὺς ὠνο μασμένους καὶ πρὸς πάντα τὰ ε θνη ταῦτά φησιν, καθὼς καὶ ει ρηται ἡμῖν ἀνωτέρω, τὴν προσφώνησιν ποιεῖται ὁ παρὼν ψαλμός. Εἰ γὰρ ἀληθῶς τις δικαιοσύνην ἐπαγγέλλοιτο, οὐδαμόθεν οὐ δειχθήσεται ἡ ἀπὸ τοῦ κρί νειν εὐθεῖα. Κρίνει δὲ εὐθεῖα ὁ κρίνας παρ' ἑαυτῷ ζῆν κατὰ τοῦ ὀρθοῦ λόγου, καὶ μη δὲν σκολιὸν πράττειν. 57.5 Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ο φεως, ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ω τα αὐτῆς. Θυμοῦ μὲν ἐπικρατήσαντος, ἀποθηριοῦ ται ψυχή· τοῦ δὲ ἐπιθυμητικοῦ ἐπικρατή σαντος, ι ππος η ἡμίονος γίνεται· τοῦ νοῦ δὲ, α γγελος η καὶ Θεός. –Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ἐν παραδείσῳ ο φεως, ο ς ὑποκρινάμενος ῥήματα φιλίας, τὸν θά νατον ἐπήγαγεν· ἐπεὶ τοίνυν καὶ ου τοι πα ραπλησίως Ῥαββὶ καὶ Διδάσκαλε λέγοντες, ἐβουλεύοντο παραδοῦναι σταυρῷ· τούτου χάριν τῇ ὁμοιώσει τοῦ ο φεως παρεβλήθησαν. 57.9 Ὡσεὶ κηρὸς ὁ τακεὶς ἀνταναιρεθή σονται, ε πεσε πῦρ, καὶ οὐκ ει δον τὸν η λιον. Σαφηνίζει διὰ τούτου τοῦ ῥητοῦ τὴν ε ν νοιαν ε τερος τῶν ἑρμηνευτῶν, τὴν παρὰ λιμοῦ γενομένην ἀπὸ τῆς μήτρας ὀλίσθησιν τοῦ ἀμβλώματος ἑρμηνεύσας, τούτοις τοῖς ῥήμασιν· ε κτρωμα γυναικὸς οὐχ ὁραματι σθήσεται η λιον. 58.4 Οτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου. Θηρεύουσι τὴν ψυχὴν διὰ τῶν πονηρῶν λογισμῶν, ο ταν αὐτῇ καλὰ ὑποβάλλουσι τὰ μὴ ο ντα καλὰ, ω σπερ ο ταν δέλεαρ τῷ χαλ κῷ οἱ ἁλιεῖς περιβάλλουσι. 58.7 Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λι μώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν. Λιμώξουσι μὲν, διὰ τὸ μὴ δέξασθαι αὐ τοὺς τὸν α ρτον τὸν ζωοποιόν· κύνας δὲ αὐ τοὺς διὰ τὸ ἀναιδὲς κατονομάζει τῆς ψυχῆς. Τὸ δέ· Κυκλώσουσι, ο τι ἐκπεσόντες τῆς πα τρίδος, νόμοις τε βασιλικοῖς εἰργόμενοι αὐ τῆς ε ξωθεν, κύκλῳ περιέρχονται, μόλις μα κρόθεν αὐτήν ποτε θεώμενοι. Ἐναλλαγὴ γὰρ πραγμάτων ἐγίνετο· οἱ πάλαι υἱοὶ, διὰ τὴν οἰκείαν πονηρίαν, τῶν κυνῶν ε λαχον τάξιν, τὰ δὲ ε θνη τὰ πάλαι κυσὶν ἐοικότα τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν υἱῶν ἠξιώθη τιμῆς. Τίνες δὲ ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύνες, καὶ κυκλώσουσι πόλιν, ἀλλ' η α ν οἱ α νδρες τῶν αἱμάτων καὶ οἱ ἐρ γαζόμενοι τὴν ἀνομίαν; διὰ τί δὲ εἰς ἑσ πέραν; ἐπειδὴ ἐπὶ συντελείᾳ τοῦ αἰῶνος ε μελλε ταῦτα γίνεσθαι. –᾿Αντὶ δὲ τοῦ, λιμώ ξουσι ὡς κύνες, ὁ μὲν ᾿Ακύλας· Καὶ ὀχλω σάτωσαν ὡς κύων, ὁ δὲ Σύμμαχος· Καὶ συνηχήσουσιν ὡς κύνες, ἡρμήνευσαν. Καὶ ὁ Θεοδοτίων· ᾿Ηχήσουσιν ὡς κύων. –᾿Αντι κρὺς διὰ τούτων ὀψέ ποτε κατὰ τοὺς χρό νους τῆς τοῦ σωτῆρος ἡμῶν ἀφίξεως, ὁμοί ως τῷ τότε Σαοὺλ, τὸν ἀναίτιον διώξαντι, μέλλονται καὶ αὐτοὺς τὸν Χριστὸν πολεμεῖν, κύνας ὠνόμασεν· ἐπεὶ καὶ διὰ τοῦ προφήτου ῾Ησαΐου τὸ αὐτὸ α γιον Πνεῦμα περὶ τῶν αὐ τῶν ἐδίδαξε· Πάντες κύνες ἐνεοὶ, οὐκ εἰδό τες ὑλακτεῖν. Καὶ ἐν τῷ κα΄ ψαλμῷ τὰ πάθη τοῦ σωτῆρος διαγράφοντι, μετὰ τῶν α λλων, ἐξ αὐτοῦ προσώπου λέλεκται τοῦ σωτῆρος· Περιεκύκλωσάν με κύνες πολλοί. –Ου τοι δὴ ου ν λιμώξουσι, τοῦ τῆς ζωῆς α ρτον στερη θέντες, ἐπεὶ μὴ παρεδέξαντο τὸν οὐράνιον α ρτον καὶ τροφὴν τὴν σωτήριον. Ει τα δὲ καὶ τῆς αὐτῶν πόλεως, η ν κακῶς ῳ κησαν, ἀπελαθήσονται, ὡς μηκέτι ταύτης ἐπιβαί νειν τολμᾶν, ἐπειδήπερ οἱ οἰκοῦντες αὐτὴν αἱμάτων αὐτὴν ἐπλήρουν. Διὸ καὶ μέχρι τῆς σήμερον ὁρῶντες τοὺς ο ρους καὶ κύκλῳ πε ριϊόντες, πόῤῥωθεν ι στανται· ε ξωθεν δὲ κυκ λοῦντες, πίστιν ἐπάγουσι τῇ μετὰ χεῖρας λε γούσῃ γραφῇ· ᾿Επιστρέψουσι καὶ λιμώξου σιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν. 58.9,12 Καὶ σὺ, Κύριε, ἐκγελάσῃ αὐ τοὺς, ἐξουδενώσεις πάντα τὰ ε θνη. ῾Ο Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου. Μὴ ἀ ποκτείνῃς αὐτοὺς, μήποτε ἐπιλάθωνται τοῦ νόμου σου. Διασκόρπισον αὐτοὺς ἐν τῇ δυ νάμει σου, καὶ κατάγαγε αὐτοὺς, ὁ ὑπερα σπιστής μου, Κύριε. ᾿Αλλὰ γὰρ καὶ ταῦτα τὸ πνεῦμα τὸ προ φητικὸν ἐκ προσώπου τοῦ Σωτῆρος ἀναφω νεῖ περὶ τῶν ἐπαναστάντων αὐτῷ, περὶ ω ν ἐλέγετο· Καὶ λαοὶ ἐμελέτησαν κενὰ, καὶ τὰ ἑξῆς. Τούτους ου ν, τοὺς εἰς κενὸν τὰς περὶ αὐτοῦ προφητείας μελετήσαντας, τούς τε α ρχοντας αὐτῶν καὶ καθηγουμένους μὴ ἀποκτείνῃς, φησὶν, ἀλλὰ διεσκόρπισον. Ευ χεται δὲ αὐτοὺς καὶ καθαιρεθῆναι τοῦ ἀξιώ ματος, ο δὲ καὶ γέγονεν· οὐκέτι νῦν βασι λεὺς, οὐδὲ ἀρχιερεὺς, οὐδὲ προφήτης, ἀλλ' οὐδὲ γραμματεῖς καὶ Φαρισαῖοι καὶ Σαδδου καῖοι παρ' αὐτοῖς εἰσίν. Οὐ μὴν καὶ ἀπο κτανθῆναί φησιν· διὸ συνέστηκεν αὐτῶν τὸ γένος, καὶ τῶν παιδῶν ἡ διαδοχὴ πληθύνει. Οὐ γὰρ ἀπεκτάνθησαν, οὐδ' ἐξ ἀνθρώπων ἀπέσβησαν, ἀλλ' εἰσὶ μὲν καὶ ὑφεστήκασιν, ου τως δὲ ὡς καταβεβλημένοι καὶ κατενηνε γμένοι η ς πάλαι ἠξιῶντο παρὰ Θεῷ τιμῆς. ᾿Αλλὰ καὶ διασκόρπισον αὐτοὺς, φησὶν, ἐν τῇ δυνάμει σου· ο δὴ καὶ γέγονεν. Εἰς πᾶ σαν αὐτοὺς σκέδασον τὴν οἰκουμένην, καὶ ποίησον σποράδας καὶ μετανάστας, ἐπειδὴ κατὰ σοῦ κέχρηνται συμφωνίᾳ. Τί δὲ αὐτὴ διδάσκει; ῾Ετέρα δὲ γραφὴ, ἀντὶ τοῦ· μή ποτε ἐπι λάθωνται τοῦ νόμου σου, τοῦ λαοῦ σου πε ριέχει· εἰ γὰρ η σαν ἐξ ἀνθρώπων ἀφανισ θέντες, μηδαμοῦ μηδαμῶς ἐν ζωῇ ο ντες, οὐκ α ν ει δον, φησὶ, τὸν ἐμὸν λαὸν, οὐδ' α ν ε γ νωσαν ἀνθοῦσαν τὴν ἐμὴν ἐκκλησίαν. Δια σκόρπισον τοίνυν αὐτοὺς ἁπανταχῆ γῆς, ε ν θα μέλλει καὶ ἡ ἐκκλησία συνίστασθαι, ο πως βλέποντες τὴν ὑπ' ἐμοῦ θεμελιωθεῖσαν ἐκκλησίαν, εἰς ζῆλον ε ρχοιντο θεοσεβείας. Οὐκοῦν καὶ ταῦτα ὁ σωτὴρ ὑπὲρ αὐτῶν ηυ χετο. 58.13,14 ῾Αμαρτίαν στόματος αὐτῶν, λόγον χειλέων αὐτῶν· καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν. Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται συντέλειαι, ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσι. Αλλος· ῾Αμαρτίαν στόματος αὐτῶν λόγον χειλέων αὐτῶν· καταληφθήσονται ἐν ὑπε ρηφανίᾳ, καὶ ἐξ ἀρᾶς καὶ ἐξ ἀρνήσεως διη γήσονται· τέλεσον, ἐν χόλῳ τέλεσον, καὶ οὐχ ὑπάρχουσιν. Σύμμαχος· Τῇ ἁμαρτίᾳ τοῦ στόματος αὐτῶν, ἀρὰν καὶ ψεῦδος λα λοῦντες. Συντέλεσον ἐν θυμῷ, συντέλεσον, καὶ οὐκ εἰσίν. Πάλιν κἀνταῦθα τὴν αἰτίαν παρίστησι. Διὰ τί γὰρ ταῦτα παθεῖν αὐτοὺς ἠξίου ἀναγ καίως, διδάσκει λέγων· δι' ἁμαρτίαν στό ματος αὐτῶν καὶ διὰ λόγον χειλέων αὐτῶν. Καὶ ε στι θαυμάσαι τὸ ἀκριβὲς τῆς τοῦ ἁ γίου Πνεύματος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προῤῥήσεως, ἐπειδὴ γὰρ οὐκ αὐτοὶ Ἰουδαῖοι κατὰ τὸν τοῦ πάθους τοῦ Σωτῆρος καιρὸν θάνατον αὐτῷ εἰργάσαντο, ῥωμαϊκῇ δὲ χειρὶ τοῦτο ἐπράκτετο· δικάζον τος μὲν Πιλάτου, καὶ διαλαβόντων στρατιω τῶν καὶ ἀπαγόντων αὐτὸν, Ἰουδαίων δὲ μηδ' ὁτιοῦν τούτων πεποιηκότων, εἰκότως οὐκ αὐτὸ τὸ ε ργον τοῦ θανάτου τούτοις ἀνατίθησιν, ἀλλὰ τὴν αἰτίαν, τῆς τῶν ἀρ χιερέων συσκευῆς καὶ τῆς τῶν συκοφάν των ψευδομαρτυρίας μνημονεύων, τῆς τε φω νῆς τοῦ πλήθους ἐπιβοήσαντος κατ' αὐτοῦ. Διό φησιν· ἁμαρτίαν στόματος αὐτῶν, ὡσεὶ ε λεγε σαφέστερον· δι' ἁμαρτίαν στόματος αὐτῶν καὶ διὰ λόγον χειλέων αὐτῶν, καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν· η κατὰ Σύμμαχον, μετὰ τῆς ὑπερηφανίας αὐτῶν. Ὑπερήφανοι γὰρ ο ντως καὶ ἀλαζό νες, οὐκ ε φερον τοῦ Σωτῆρος ἡμῶν τὴν παῤῥησίαν· διὸ καὶ ε λεγον αὐτῷ· Τίς σοι ε δωκε τὴν ἐξουσίαν ταύτην; καὶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; 58.15,16 Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν. Αὐτοὶ διασκορπιθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσιν, καὶ γογγύσουσιν. Ηδη μὲν ταῦτα προλαβόντες εἰρήκαμεν καθ' ε να τρόπον· δευτερεύσαντος δὲ τοῦ προ φήτου, δῆλον ὡς ταῖς αὐταῖς λέξεσιν ε τερα πάλιν τὸ Πνεῦμα ἐμήνυσεν. Ἐπιστρέψουσι τοίνυν εἰς ἑσπέραν οἱ τῶν Ἰουδαίων παῖδες, οὐκ ἐν φωτὶ τὸν Θεὸν, ἀλλ' ἐν σκότει ζητοῦν τες. Καὶ διὰ τοῦτο λιμώξουσιν ὡς κύων, τὴν ο ντως τροφὴν μὴ εὑρίσκοντες, καὶ κυκλώ σουσι τὴν Ἱερουσαλὴμ τὴν πεπορθημένην, πενθοῦντες ἐπ' αὐτὴν, καὶ κοπτόμενοι. Αὐ τοὶ διασκορπισθήσονται· εἰς πᾶσαν γὰρ τὴν γῆν διεσπαρμένοι τυγχάνουσι, δουλεύοντες πανταχοῦ, καὶ ἐλαχίστους καὶ δουλοπρεπεῖς τέχνας πάσας τε τὰς ἀπρεπεῖς μεθόδους ε νε κα τοῦ πεινᾶν μετερχόμενοι· γαστρίμαργοι δὲ ο ντες, οὐ χορτάζονται, καὶ κατὰ Θεοῦ διὰ τοῦτο γογγύζουσι· τουτέστιν οὐκ εὐχα ριστοῦσι, τοῦτο γὰρ αὐτῶν ὡς ἀγνωμόνων ι διον. 58.17,18 Ἐγὼ δὲ ᾀ σομαι τῇ δυνάμει σου, καὶ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ε λεός σου, ο τι ἐγενήθης ἀντιλήπτωρ μου καὶ καταφυγή μου, ἐν ἡμέρᾳ θλίψεώς μου. Βοηθός μου, σοὶ ψαλῶ, ὁ Θεός μου, ἀντιλήπτωρ μου ει , ὁ Θεός μου, τὸ ε λεός μου. Ἐκεῖνοι μὲν ου ν τοιαῦτα πείσονται, τοι αῦτα τολμήσαντες. Ἐγὼ δὲ σὸν ε λεον ἀ νυμνήσω, καὶ τοῦ νοεροῦ φωτὸς ἀνατείλαν τος, καὶ τῇ οἰκουμένῃ δεδωκότος τὸν ο ρθρον, τὸν ἀμέτρητόν σου οι κτον ἐν ἁπάσαις ταῖς ἐκκλησίαις δοξάσω. Ἀπήλαυσα γὰρ τῆς σῆς ἐπικουρίας, καὶ διὰ τῆς σῆς προνοίας τὰς προσπεσούσας διέφυγον συμφοράς. Ου δὴ χάριν, σὲ μόνον οι δα Θεὸν, καὶ σὲ πηγὴν ἐλέους καὶ φιλανθρωπίας καλῶ. Ταῦτα Δαυὶδ προφητικοῖς ἰδὼν ὀφθαλ μοῖς, καὶ τὰς Ἰουδαίων προείρηκε συμφορὰς, καὶ αὐτὸς ὑμνήσειν ἀεὶ δεσπότην ὑπέσχετο, διὰ τῶν εὐσεβῶν ὑμνῳδίαν προσφέρων. 59.4 Συνέσεισας τὴν γῆν, καὶ συνετάρα ξας αὐτήν· ι ασαι τὰ συντρίμματα αὐτῆς, ο τι ἐσαλεύθη. Τῶν σεισμῶν οἱ μέν εἰσι χασματίαι· οἱ δὲ, βρασματίαι· οἱ δὲ, ἐπίκλινται· οἱ δὲ, βρα σματίαι· οἱ δὲ, ἐπίκλινται· οἱ δὲ, μυκημα τίαι. Ἐνταῦθα δὲ τὴν μεταβολὴν τὴν ἐπὶ τῆς γῆς πραγμάτων συσσείσεις ὠνόμασεν. 60.2 Εἰσάκουσον, ὁ Θεὸς, τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου. Δέησίς ἐστιν ἐλλείποντός τινος μεθ' ἱκεσίας περὶ τοῦ ἐκείνου τυχεῖν ἀναπεμπομένη εὐ χή. –Προσευχὴ δέ ἐστιν ἡ μετὰ δοξο λογίας περὶ μειζόνων μεγαλοφυέστερον ἀνα πεμπομένη ὑπ' αὐτοῦ. 60.3 Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ 60.3 ἐκέκραξα ... ἐν πέτρᾳ υ ψωσάς με. Γῆν λέγει τὴν κακίαν, η ς ὁ ἐξελθὼν κρά ζει πρὸς Θεόν. –Πῶς ἐν τῇ Ἰουδαίᾳ ω ν ὁ Δαυὶδ, λέγει· Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα; η τάχα ἐξελθὼν τῆς κα κίας, νῦν τροπικῶς γῆν ὀνομαζομένης, ταῦτά φησιν· ἡ δὲ πέτρα η ν ὁ Χριστός. 60.7,8 Ἡμέρας ἐφ' ἡμέρας βασιλέως προθήσεις. Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ. Ελεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει αὐτῶν; Εως αἰῶνος τὰ ε τη τοῦ Χριστοῦ ὡς βα σιλέως οὐκ ἐκλείψουσι. –Ὁ Υἱὸς ἐνώπιον τοῦ Πατρὸς, ὡς ἀνελλιπὴς μὲν ὁ Υἱὸς καὶ Θεὸς τοῦ ἐλέους καὶ τῆς ἀληθείας. –Τίς γὰρ, φησὶ, τὸν περὶ προνοίας καὶ κτίσεως λόγον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξιχνιάσει; 60.9 Ου τως ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας. ῾Ο ὑπισχνούμενος καὶ μὴ ἀποδιδοὺς τὰς εὐχὰς τῷ Θεῷ, οὐκ ἐστὶν ἐν ἡμέρᾳ τῇ ου σῃ ἐξ ἡμέρας· πρώτη γὰρ ἡμέρα ἐστὶ τὸ ἐκκλῖ ναι ἀπὸ κακοῦ, δευτέρα τὸ ποιῆσαι τὸ ἀγα θόν. 61.6 Οτι παρ' αὐτοῦ ἡ ὑπομονή μου. Οτι σὺ ει ἡ ὑπομονὴ, Κύριε. 61.10 Ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς, τοῦ ἀδικῆσαι αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό. ῾Ο δὲ Θεοδοτίων ου τως· Πλὴν ἀτμὶς υἱοὶ τοῦ ἀνθρώπου· ψευδεῖς υἱοὶ ἀνδρὸς, ὡς ῥοπὴ ζυγοῦ· εὐδιάλυτα γὰρ, φησὶ, τὰ ἀνθρώπινα, καὶ α νω κάτω ζυγοῦ δίκην μεταχωροῦντα. Κατὰ δὲ τοὺς Ο΄· ῾Ως μονίμοις θαῤῥοῦσι τοῖς ῥέουσιν, ἰσότητος ἀμελοῦντες καὶ μὴ τη ροῦντες καθάπερ ι σῳ ζυγῷ τὴν καρδίαν, καὶ ο μως κέρδος ἐντεῦθεν οὐδέν. Διὸ Σύμ μαχος ει πεν· Αὐτοὶ ματαιοῦνται ὁμοῦ. Εἰ οἱ α γιοι οὐ μάταιοι, οὐχὶ υἱοὶ τῶν ἀνθρώπων οἱ α γιοι· κατηργήθη γὰρ ἡ κατ' α νθρωπον γένεσις· μάταιοί εἰσιν οἱ τοῖς ματαίοις καὶ φθαρτοῖς τοῦ αἰῶνος τούτου προκαθεζόμενοι πράγμασι. –Οἱ ψευδόμενοι περὶ τὴν δικαι οσύνην (αὐτὴ γὰρ ζυγός ἐστι τῶν ἀρετῶν) ψευδεῖς εἰσιν υἱοὶ ἐκ τοῦ πατρὸς τοῦ διαβόλου γεγεννημένοι. 61.11 Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. Τοῦτο λεκτέον πρὸς τοὺς πλεονεκτοῦντας. 61.13 Οτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ε ργα αὐτοῦ. Τὸν περὶ προνοίας καὶ κρίσεως ε χων λό γον· τοῦτο γὰρ δηλοῦται ἐκ τῶν ἐπιφερο μένων ῥητῶν. 62.2 ῾Ο Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρ θρίζω· ἐδίψησέ σοι ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ. Καλὸν δὲ καὶ κατὰ τὸ ῥητὸν ὀρθρίζειν πρὸς τὸν Θεὸν, καὶ πάσης πράξεως ἀπαρ χὴν ποιεῖσθαι προσευχὴν καὶ εὐποιΐαν πρὸς τὸν πλησίον, ει τε ἐν ἐπισκέψει, ει τε ἐν με ταδόσει. –Πρέπει δὲ τῷ ἐν τῇ ἐρήμῳ τῆς ᾿Ιουδαίας διὰ τοῦ διώκεσθαι διατρίβοντι, καὶ μισουμένῳ δωρεὰν, καὶ μηδαμῶς ἐγ καλοῦντι, λέγειν τό. ῾Ο Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. –῾Η κοιλία γοῦν, τῶν περὶ τρυφὴν ἐχόντων ου σα θεὸς, ἁπλῶς οὐ λέγεται θεὸς, ἀλλ' οὐδὲ οἱ δαίμονες κυ ρίως θεοὶ, τῶν ἐθνῶν λεγόμενοι θεοί.῾Ο ου ν ἀληθῶς σοφὸς ἐρεῖ τῷ φύσει καὶ ἀληθῶς Θεῷ.῾Ο Θεὸς, ὁ Θεός μου. –Οὐ μόνον δὲ ἡ ψυχή μου ἐδίψησέ σε, ἀλλὰ καὶ ἡ σάρξ μου, καθάπερ μαθοῦσα τὴν ἐν τῇ ἀναστά σει ἐλπίδα ἑαυτῆς παρὰ σοὶ, η πολυπλα σίασθαι τὸ πρὸς σὲ δίψος ἑαυτῆς· διὸ καὶ κατασκηνῶν ἐπ' ἐλπίδι, οὐκ ε χω λέγειν ὁπόσα πλησίως καὶ ποσαχῶς παρὰ τὴν δί ψαν τῆς ψυχῆς μου ἐδίψησά σε. 62.3 Ου τως ἐν τῷ ἁγίῳ ω φθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. Ου τως, πῶς; η δίψης καὶ ἐπὶ πόθου περὶ τὸν α γιον συγχθείς; τίς δὲ α ν ει η, η ὁ Μο νογένης, καὶ εἰ μὲν ει η ὁ Πάτηρ, πρὸς ο ν διψῶν δύναμιν καὶ δόξαν αὐτοῦ ὁ Μονογέ νης· Χριστὸς γὰρ Θεοῦ δύναμις αὐτὸς ω ν καὶ ἡ δόξα, περὶ η ς ει ρηται· ᾿Οφθήσεται ἡ δόξα Κυρίου. Παρίσταμαι δὲ σοὶ, τὴν α ῥῥη τον ὁ φανταζόμενος δύναμιν. 62.4 Τὰ χείλη μου ἐπαινέσουσί σε. Οὐ μόνοις δὲ χείλεσιν, ἀλλὰ πρὸς τῇ καρ δίᾳ τὸν Θεὸν ὑμνητέον, κατὰ γὰρ Παῦλον· Καρδίᾳ πιστεύεται εἰς δικαιοσύνην, χείλεσι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. 62.5 ᾿Εν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου. Αι ρει δὲ τὰς χεῖρας ὁ δίκαιος ἐν ὀνόματι Κυρίου, ο τε ἀπὸ ὑγιῶν δογμάτων περὶ Θεοῦ καὶ τῆς εἰς αὐτὸν εὐσεβείας ἐπαίρει ἀπὸ τῶν γηΐνων τὸ πρακτικὸν ἑαυτοῦ, ἐν ὀνόμα τι τοῦ Θεοῦ αι ρει τὰς χεῖρας ἑαυτοῦ· ει τε δὲ ἀφ' η στινοσοῦν ἑτέρας διδασκαλίας, ει τε παρ' ε λλησι φιλοσοφουμένης, ει τε καὶ ἐν ῃ τινιοῦν αἱρέσει, τάχα αι ρει μὲν τὰς χεῖ ρας ἑαυτοῦ, οὐ μὴν ἐν ὀνόματι τοῦ Θεοῦ. 62.6 ῾Ωσεὶ στέατος καὶ πιότητος ἐμπλη σθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ ο νομά σου. Ωσπερ δὴ τῶν σωματικῶν βρωμάτων τὰ πίονα καὶ ευ τροφα τῶν ζώων ἡδύτερα, ου τω καὶ τῶν πνευματικῶν ει η α ν τινα ἀνά λογα τοῖς κατὰ σάρκα πίοσι. Διόπερ τοῦτο εἰδὼς παρὰ τὴν τῆς ψυχῆς τροφὴν ὑποδέ χουσαν τοῦ σώματος, ὁ προφήτης ευ χεται λέγων περὶ αὐτῆς τό· ὡσεὶ στέατος καὶ πιό τητος ἐμπλησθείη ἡ ψυχή μου. Τοιαῦτά γε η ν καὶ τὰ κατὰ τὴν παραβολὴν τοῦ μόσχου τοῦ σιτευτοῦ. –Τὸ ἐν Θεῷ δὲ ἀγαλλιᾶν καὶ εὐφημεῖν νομίζω μὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δύνασθαι κατορ θοῦσθαι ἡμῖν χωρὶς τῆς ἀπὸ τῶν καλου μένων πτερύγων τοῦ Θεοῦ σκεπῆς, τουτέστι τῶν ἀρετῶν αὐτοῦ· ταύταις γὰρ ὑψοῦται, καὶ μετεωρίζεται, καὶ μεγαλύνεται ὁ Θεὸς, ὑφ' α ς γενόμενοι, α τε δὴ ἁπλούμενοι διέμειναν ἡμῖν, δεκτικοὶ αὐτῷ γενόμεθα. 62.9 Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου. [Τὰ] ὀπίσω τοῦ Θεοῦ ἐστὶ τὰ μετὰ τὸν Θεὸν, α τινα ἐπαγγέλλεται καὶ Μωϋσῇ δει ξείη. 62.10 Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτα τα τῆς γῆς. Τούτους ευ χεται προφητικῶς ἀπὸ τῆς ἐπι φανείας ὠθουμένους τῆς γῆς εἰς τὰ ταύτης παχύτερα κατελθεῖν· ο που μὴ δύνανται κατὰ τῶν ἀγωνιζομένων ἐν ἀνθρωπίνῳ σώματι ἐ νεργεῖν, εἰ καὶ μόνον εἰρῆσθαι περὶ τῶν ζη τούντων τὴν ψυχὴν τοῦ εὐχομένου δοκεῖ. Κατώτατα δὲ τῆς γῆς ἡ α βυσσος, ε νθα χω ρήσουσιν. Διόπερ ἐν εὐαγγελίῳ τῷ Σωτῆρί φασιν· Ηλθες ἡμᾶς πρὸ καιροῦ βασανίσαι, μὴ πεμφθῆναι εἰς τὴν α βυσσον η δη δεόμε νοι, εἰς δὲ χοίρους εἰσελθεῖν ἐπιτρέψαι. 62.11 Παραδοθήσονται εἰς χεῖρας ῥομ φαίας, μερίδες ἀλωπέκων ε σονται. Ἀναιρεθήσονται, φησὶν, οὐχ ὑπὸ δυνατῶν πολεμίων, ἀλλ' ὑπὸ τῶν προσοικούντων· οἱ καθάπερ τεθήκασίν τε καὶ ἀπελαύνονται· αἰνίττεται δὲ τὸ πρόχειρον νόημα, τοῦ μηδὲ ταφῆς ἀξιωθῆναι τοὺς πλείους, ἀλλὰ προ κεῖσθαι θηρίοις βοράν. 63.4 Οι τινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν. Αὐτὴ ἡ ῥομφαία λόγος ἐστι δαιμονιώδης, χωρίζων ψυχὴν τῆς σοφίας καὶ γνώσεως Θεοῦ. 63.11 Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυ ρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτὸν, καὶ ἐπαινεθήσον ται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Αφρων ἐλπίζει εἰς α νθρωπον· ὁ δὲ φρό νιμος ἐπὶ τῷ Κυρίῳ πέποιθεν. –Καὶ τὴν παρ' ἀνθρώπων δὲ καρπώσονται ευ κλειαν οἱ τὸν λογισμὸν πρὸς Θεὸν διευθύνοντες, καὶ τῆς ὁδοῦ τὰς εὐθείας ε ξω βαδίζειν οὐκ ἐνεχόμενοι. Ἐν περινοίᾳ γὰρ τῆς τοῦ Θεοῦ κηδεμονίας γενόμενοι, τὸ θεῖον κριτήριον ε δεισαν· διαφερόντως δὲ τῶν νόμων τῶν θείων ἐπιμελόμενοι, θυμηδῶς ἐμφορηθέντες, τὴν εἰς τὸν Θεὸν ἐλπίδα βέβαιαν ἐργάζον ται. Εὐφραίνει α δικον πλοῦτος φθαρτὸς, τὸν δὲ δίκαιον γνῶσις Θεοῦ. 64.2 Σοὶ πρέπει υ μνος, ὁ Θεὸς, ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχή. Νόει μὲν Σιὼν καὶ τὴν ἀρετὴν, καὶ πύ λας τὰς εἰς αὐτὴν, ω σπερ εἰσαγωγὰς, εἰσό δους· μόνῳ δὲ τῷ ἐν Σιὼν, τουτέστιν ἐν τῷ σκοπευτηρίῳ καὶ τῇ ἀρετῇ, πρέπει ὁ υ μνος τῷ Θεῷ, ὡς ὑψωθέντι ἐκ τῶν πυλῶν τοῦ θα νάτου καὶ τῆς κακίας, καὶ διὰ τοῦτο δυναμέ νῳ ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις τοῦ Θεοῦ ἐν ταῖς ἐκκλησιαστικαῖς πύλαις τῆς θυγατρὸς Σιὼν, ἐκκλησίας. Οὐ γὰρ ὡραῖος υ μνος ἐν τῷ στόματι ἁμαρτωλοῦ, ο τι οὐ παρὰ Κυρίου ἐξαποστάλη. –Καὶ πάλιν ἐὰν θέλωσιν οἱ ε ξω τῆς ἐκκλησίας θεολογεῖν, η καὶ ὑμνεῖν τὸν Θεὸν, οὐ δυνήσονται· ὁ γὰρ πρέπων υ μ νος, υ μνος Θεοῦ, ἐν μόνῃ Σιὼν, τῇ ἐκκλη σίᾳ. Νόει δὲ Σιὼν καὶ τὴν ἐπουράνιον πόλιν. Ἐκεῖ γὰρ οἱ τέλειοι καὶ ἀληθῶς υ μνοι ἀπο δίδονται τῷ Θεῷ· ὡς γὰρ ἐν τῇ κάτω Σιὼν καὶ ἡ κάτω Ἱερουσαλὴμ, ου τως καὶ ἐν τόπῳ, τῷ ὑπὲρ πάντα τόπον σωματικόν. Ἐν τῷ πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεις τῷ Θεῷ, ε νθα αἱ ἀληθιναὶ ἀποδίδονται εὐχαί. 64.3 Εἰσάκουσον προσευχῆς μου· πρὸς σὲ πᾶσα σὰρξ η ξει. Σὰρξ, ἀντὶ τοῦ πᾶς α νθρωπος. – Ηξει δὲ πρὸς αὐτὸν πᾶσα σὰρξ διὰ μετανοίας, καὶ καθάρσεως, μηκέτι μένουσα σὰρξ, η κα τὰ σάρκα πολιτευομένη. 64.5,6 Μακάριος ο ν ἐξελέξω καὶ προσε λάβου· κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου. Πληθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οι κου σου. Αγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. Ἡ Ἀκύλα ε κδοσις ἐμφαίνει ἐκ τοῦ ἐφ' ἡμῖν τὸ τὸν ἐλεχθέντα ὑπὸ Θεοῦ ἐγγίζειν αὐ τῷ. Μακάριος γὰρ, φησὶν, ο ν ἐξελέξω, καὶ ἐγγίζει, οὐ μόνον ο ν ἐξελέξω. Θεοδοτίωνος· Ἁγιασμοῦ γὰρ πληρὴς ὁ σὸς ναὸς, καὶ τὴν σὴν δικαιοσύνην, διὰ τῶν σῶν λογίων, τοὺς προσιόντας διδάσκει. – Οι κον Θεοῦ τὴν ἐκκλησίαν ἐπιστέλλων ὁ Παῦλος Τιμοθέῳ καλεῖ. Ἐὰν δὲ βραδύνῃς, ι να ι δῃς πῶς δεῖ ἐν οι κῳ Θεοῦ ἀναστρέφεσ θαι, η τις ἐστιν ἐκκλησία Θεοῦ ζῶντος, τού του τοῦ οι κου ἀγαθὰ τὰ τοῦ Πνεύματος χα ρίσματα, τά τε περὶ τῆς Τριάδος καὶ τὰ λοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πὰ δόγματα, οι τε παραδοθέντες ὑπὸ τῶν ἀποστόλων θεσμοὶ καὶ κανόνες.᾿Εν δὲ τού τῳ θαυμαστὸς ἡ ἀρετὴ ἐπιτελεῖται, καλου μένη δικαιοσύνη, η γουν ο τι ὁ πιστεύων καὶ ε ργων ἀγαθῶν πληρωθεὶς ε χει τὸν Κύριον ἐν ἑαυτῷ. Ει ρηται γὰρ διὰ τῆς πίστεως κα τοικεῖν τὸν Χριστὸν, τὸν ε σω α νθρωπον, πρὸς τὸν τηροῦντα τὸν λόγον αὐτοῦ μετὰ τοῦ Πατρὸς ἐρχόμενος, μονὴν ποιεῖται καὶ γίνεται ναὸς, κατὰ τό· Οὐκ οι δατε ο τι ναὸς Θεοῦ ε στε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν. Καὶ μεθ' ε τερα· ῾Ο γὰρ ναὸς τοῦ Θεοῦ α γιός ἐστιν, οι τινές ἐστε ὑμεῖς, ο ς καὶ δικαιοσύνην θαυμαστῶς κατορθεῖ, τὴν διὰ πίστεως συνισταμένην. 64.10 ῾Ο ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων. Ω βάθος πλούτου καὶ σοφίας Θεοῦ! Καὶ πάλιν·᾿Εν παντὶ γὰρ, ὁ Παῦλός φησι, ἐπλου τίσθητε ἐν πάσῃ γνώσει.῾Η γνῶσις τοῦ Θεοῦ ἐπληρώθη φύσεων λογικῶν, ει περ ποταμοὶ ῥέουσιν υ δατος ἐκ τῆς κοιλίας πιστεύσαντος Χριστῷ· υ δατα δὲ ε θος λέγειν τῇ γραφῇ τὰς φύσεις τὰς λογικὰς, καὶ γὰρ ὁ Δαυὶδ λέγει αἰνεῖν τὰ υ δατα τὰ ὑπεράνω τῶν οὐρανῶν τὸν Κύριον. 64.13 Καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώ σονται. Νῦν φύσεις λογικὰς τροπικῶς βουνοὺς ὀνο μάζει. 64.14 ᾿Ενεδύσαντο οἱ κριοὶ τῶν προβά των. ᾿Ενεδύσαντο Χριστὸν καὶ σπλάγχνα οἰκ τιρμῶν. 65.3 Ει πατε τῷ Θεῷ· ῾Ως φοβερὰ τὰ ε ρ γα σου, ἐν τῷ πλήθει τῆς δυνάμεώς σου! ψεύ σονταί σε οἱ ἐχθροί σου. Τῆς ᾿Ιουδαίων ἀποπληξίας ἐνταῦθα κατη γορεῖ, ὡς μηδὲ τῶν θαυμάτων τῆς ὑπερβο λῆς παρενεγκούσης αὐτοὺς εἰς τὸ πείθεσθαι. Σημεῖα Κυρίου γεννῶσι πίστιν· δυνάμεις δὲ αὐτοῦ ἐπιστρέφουσι ψυχήν. 65.4 Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλλάτωσάν σοι. Ψαλλάτωσαν δὲ τῷ ὀ νόματί σου, Υψιστε. ᾿Επειδὴ ᾿Ιουδαῖοι, φησὶ, καίτοι ὑπερβο λὰς ὁρῶντες πίστει πραττομένων σημείων, ἐψεύσαντό σε, ἀλλ' ου ν ἀντ' ἐκείνων προσ κυνήσει σε πάντων τῶν ἐθνῶν ἡ πληθύς. Τοῦτο σαφέστερον ὁ Σύμμαχος ει ρηκεν· Πάντες ᾳ σουσι τὸ ο νομά σου. Πρόῤῥησις δὲ ταῦτα τοῦ παρόντος καιροῦ, καθ' ο ν ἐν α πασι τοῖς ε θνεσι ὁ τῶν ο λων ὑμνεῖται Θεὸς, ὁ δεσπότης Χριστὸς υ ψιστος παρὰ πάντων καλεῖται. 65.6 ῾Ο μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν. Ου τος γάρ ἐστι, φησὶν, ὁ Θεὸς ὁ καὶ ἡμῖν τὴν πρὸς αὐτὸν α νοδον καὶ τὴν σωτηρίαν δω ρούμενος, ὁ πατάξας θάλασσαν, καὶ ποτα μὸν διαστήσας, καὶ τοὺς ἡμετέρους προγό νους ἀκινδύνους διαβιβάσας. 65.12 Διήλθομεν διὰ πυρὸς καὶ υ δατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Οὐκοῦν οἱ γενναίως διενεγκόντες τοὺς ὑπὸ τῆς εὐσεβείας ἀγῶνας, καὶ εὐδοκιμεῖν εἰωθότες διὰ πειρασμῶν, ει τα νενικηκότες καὶ εἰς τὸ τῆς ἐλπίδος καταστάντες τέλος, λέ γουσι· Διήλθομεν διὰ πυρὸς καὶ υ δατος. – Καὶ τῶν δαιμονιζομένων τὸ πνεῦμα τὸ ἀκά θαρτον ἐν τοῖς εὐαγγελίοις, ποτὲ μὲν ε ῤῥι ψαν εἰς τὸ πῦρ, ποτὲ δὲ εἰς τὸ υ δωρ. Υδωρ δὲ καὶ πῦρ ἐναντία ἐστὶν ἀλλήλοις. Πάσχου σι δὲ καὶ τοῦτο μέχρι νῦν οἱ ἀκάθαρτοι α ν θρωποι, δειλιῶντες καὶ θρασυνόμενοι, πολύ θεοι ο ντες καὶ α θεοι, ἐρῶντες αἰσχρῶς καὶ πάλιν μισοῦντες. 65.13 Εἰσελεύσομαι εἰς τὸν οι κόν σου, ἐν ὁλοκαυτώμασιν. [Οι κον], τὸν ἐπουράνιον δηλονότι· ὁλο καυτώμασι δὲ, καὶ οὐκ αἰσθητοῖς, νοητοῖς δὲ δηλονότι· ο λως γὰρ ἑαυτοὺς ἀνέθηκαν τῷ Θεῷ ἐν τάξει ὁλοκαυτωμάτων. 65.15 ῾Ολοκαυτώματα μεμυαλωμένα ἀ νοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν, ποιή σω σοι βόας μετὰ χιμάρων. Βόες εἰσιν αἱ ἐντολαὶ ἐξηγμέναι, βοῶν δίκην. Χιμάρους λέγει τὰς ἀρετὰς, αι τινες χιμάρων δίκην νέμονται τὰ δόγματα τῶν γραφῶν. Εἰσὶ δὲ οἱ κριοὶ κινήσεις καὶ ὁρμαὶ ἀπὸ τοῦ θυμικοῦ τῆς ψυχῆς τὴν ἀρχὴν ε χουσαι, σὺν τοῖς βαλλομένοις ὁλοκαυτώμασι καὶ τοῦ θυμιάματος καὶ τῶν κριῶν. 66.1 Εἰς τὸ τέλος, ἐν υ μνοις ψαλμὸς τῷ Δαυίδ. ῾Υπόθεσις τοῦ ᾿Αθανασίου. Πάλιν κἀν ταῦθα τῶν ἀποστόλων εἰσάγει τὸ πρόσωπον, διδασκαλίαν ποιούμενος τῶν ἐθνῶν, ῥυσθῆ ναί τε εὐχόμενος ἀντιλεγόντων τῇ διδασκαλίᾳ αὐτοῦ. Ου τος ὁ ψαλμὸς σαφῆ τὴν διάνοιαν ε χει, καὶ πολλῶν λόγων οὐ δεῖται. Προκη ρύττει γὰρ τοῦ Θεοῦ Λόγου τὴν ἐνανθρώ πησιν, καὶ τὴν σωτήριον ἐπιφάνειαν, καὶ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐθνῶν ἁπάντων τὴν σωτηρίαν. Θεασάμενος ὁ προφήτης τοῖς τοῦ πνεύματος ὀφθαλμοῖς τὴν ἐσομένην πᾶσιν ἀνθρώποις σωτηρίαν διὰ τῆς θείας ἐπιφανείας, ἱκετεύει ταύτην ο τι τάχιστα παρασχεθῆναι, ι να τὴν ἐκ ταύτης φυομένην εὐλογίαν τρυγήσωμεν α παντες· ει τα διὰ τὸν ἐπαγόμενον ταύτην ἡμᾶς δι δάσκει σαφέστερον. Ἐπιφανεῖται δὲ τὸ πρό σωπον τοῦ πάντων δημιουργοῦ, τὸ πληροῦν ἡμᾶς εὐλογίας καὶ οἰκτιρμῶν, ἐπιφανέντος ἡμῖν τοῦ χαρακτῆρος τῆς ὑποστάσεως αὐ τοῦ καὶ ἐμφανίσαντος ἑαυτὸν τοῖς ἀξίοις, ἐπεὶ γὰρ εἰκών ἐστι τοῦ Θεοῦ τοῦ ἀοράτου ο ν ὁ καθορῶν, ὁρᾷ τὸν Πατέρα. Ὁ ἐμὲ γὰρ, φησὶν, ἑωρακὼς, καὶ τὸν Πατέρα μου ἑώρα κεν. Τότε τοὺς εὐεργετημένους εὐλογεῖ καὶ οἰκτείρει, πᾶσιν εὐλογίαν πνευματικὴν ἐν τοῖς ἐπουρανίοις ε χων Ἰησοῦς. 67.3 Ὡς ἐκλείπει καπνὸς, ἐκλιπέτωσαν ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, ου τως ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. Ωσπερ καπνὸς παρακολούθημά ἐστι πυ ρὸς καὶ φωτὸς, ου τω τῶν δικαίων οἱ ἁμαρ τωλοὶ, οὐ κατὰ προηγούμενον λόγον τοιοῦ τοι γενόμενοι. Ὁ γὰρ προηγούμενος λόγος η θελε καὶ αὐτοὺς ει ναι φῶς, κατὰ τό· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· καὶ ἐβούλετο αὐτοὺς ει ναι πῦρ, κατὰ τό· Ὁ ποιῶν τοὺς λειτουρ γοὺς αὐτοῦ, πυρὸς φλόγα. Ἐπεὶ δὲ πεφεύ γασι τὸ ει ναι φῶς, καὶ οὐκ ἐθέλησαν γενέσ θαι πῦρ, διὰ τοῦτο γεγόνασι καπνός. Τάχα δὲ καὶ οἱ α γγελοι, ο ταν μὲν κολάζωσι, πῦρ εἰσίν· ο ταν δὲ διακονῶσι τὰ τῆς ἡμῶν σωτηρίας, φῶς. Καὶ ὁ Θεὸς τοῖς μὲν ἁμαρτωλοῖς πῦρ ε στι, καταναλίσκον πᾶσαν κακίαν· τοῖς δὲ δικαίοις, φῶς. Ὁ γὰρ Θεὸς φῶς ε στι, καὶ σκότος ἐν αὐτῷ οὐκ ε στι. Πάλιν προηγούμενον ε ργον τῶν μελισσῶν τὸ μέλι· παρακολούθημα δὲ τοῦ μέλιτος ὁ κηρός· κα ν ε λθης ἐπὶ τὴν Χριστοῦ παρου σίαν, μέλι μὲν ο ψῃ τὴν ἐκκλησίαν· παρακο λούθημα δὲ, τοὺς ἑτεροδόξους, οι ς ἐρεῖ· Οὐ δέποτε ε γνων ὑμᾶς· οὐ γὰρ γινώσκει τὸ ἐπισυμβάν. Ει εν δ' α ν καὶ οἱ δαίμονες ἐχθροὶ ἀπολ λύμενοι, οὐ πῦρ ο ντες, ὡς α γγελοι· οὐ φῶς, ὡς δίκαιοι· ἀλλὰ καπνὸς σκεδαννύμενος, ὁ τοῖς ο μμασι βλαβερός. Πρότερον γὰρ μετεσ χηματίζοντο εἰς ἀγγέλους φωτὸς, μαντείας καὶ θεραπείας ἐπαγγελλόμενοι, ὡς τοὺς ἀν θρώπους ἀπατωμένους θύειν αὐτοῖς καὶ τὰ φίλτατα· νῦν δὲ φροῦδα πάντα, καὶ ο ντως καπνὸς, ἀποσβεσθέντος αὐτῶν τοῦ πυρὸς, ὀργισθέντος αὐτοῖς τοῦ Θεοῦ, κατὰ τό· Ἀ νέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, δῆλον ὡς σβέ σαντος αὐτῶν τὸ πῦρ, ο τοὺς ἀνθρώπους κα τέφλεγε· καὶ ὁ καπνὸς δὲ αὐτὸς, ὡς μὴ ε χων περὶ ο τι ὑποσταγῇ, ἐξέλιπε· καθάπερ γὰρ τὸν μὲν καπνὸν σκεδάννυσι τῶν ἀνέμων ἡ προβολὴ, ὁ δὲ κηρὸς λύεται τῷ πυρὶ προσ πελάζων, ου τως τῇ τοῦ Χριστοῦ παρουσίᾳ, φροῦδοι γεγόνασι τῶν ἀνθρώπων οἱ δυσμε νεῖς παντελῶς, καὶ μέντοι ὡς ἀπόλλυται νό σος ὑπὸ ἰατροῦ, καὶ σκότος ὑπὸ ἡλίου, ου τως ἡ ἁμαρτία ὑπὸ τοῦ ἀγαθοῦ Θεοῦ. Οταν ου ν ἐκτακῶσιν ὡς κηρὸς, καὶ ἐκλίπωσιν ὡς καπνὸς οἱ ἁμαρτωλοὶ, καθὸ εἰσὶν ἁμαρτω λοὶ, τότε οὐ μόνον ἐφ' ἑαυτοῖς εὐφραίνονται οἱ δίκαιοι, ἀλλὰ καὶ ἐπὶ τῷ ἐκλείποντι κα πνῷ, καὶ ἐπὶ τῷ ἐκτακέντι κηρῷ· ὁρῶσι γὰρ ἀγαθὸν γενόμενον τὸ ἐκλιπεῖν τὸν καπνὸν, τὸ ἐκτακῆναι τὸν κηρόν. Τάχα δὲ τοιοῦτόν τι βλέπων ὁ Σωτὴρ γινόμενον ἀπὸ τοῦ πυ ρὸς, ο τι μέλλει ἐκτήκεσθαι κηρὸν, ι να μόνον μέλι καταλειφθῇ, ει πε τό· Πῦρ η λθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ η θελον εἰ η δη ἐκαίη. Οὐχ ἁπλῶς δὲ ει πεν ἀπόλλυσθαι τοὺς ἁμαρτω λοὺς, ἀλλ' ἀπὸ προσώπου τοῦ Θεοῦ. Καὶ ου τω πῶς ὁ κηρὸς ὑπὸ πυρὸς, οὐ τῆς οὐσίας τῆς ψυχικῆς φθειρομένης, ἀλλὰ τῆς ε ξεως καθ' η ν τίς ἐστιν ἁμαρτωλός· οὐδὲ γὰρ ὁ τηκόμενος κηρὸς εἰς τὸ μὴ ο ν καταστρέφει, εἰς δὲ τὴν τοῦ πυρὸς ἀναδίδοται οὐσίαν, ἀ πολλυμένης αὐτοῦ τῆς ποιότητος. 67.4 Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ· τερφθήτωσαν ἐν εὐφροσύνῃ. Προσθεὶς ο τι ἀγαλλιάσθωσαν, ε δειξεν ὡς οὐ κατ' ἀνθρώπων τὴν ἱκετηρίαν ταύτην προ σήνεγκεν, ἀλλὰ κατὰ δαιμόνων, ω ν σκεδαν νυμένων καὶ φρούδων γινομένων, ἀγάλλεται ε θνη, καὶ τὸν σεσωκότα Θεὸν ἀνυμνεῖ· οὐ καλὸν καὶ τὸ ἀγαλλιάσθωσαν μόνον, α ν μὴ λάβῃ τὴν προσθήκην, ἀναγκαῖον ου σαν, τὸ ἐνώπιον τοῦ Θεοῦ, ω στε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀξίαν ει ναι τὴν ἀ γαλλίασιν τῶν ὀφθαλμῶν τοῦ Θεοῦ, οὐ κοσ μικὴν ου σαν, ἀλλὰ καρπὸν τοῦ Πνεύματος. 67.5 Ασατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὁδοποιήσατε τῷ ἐπιβηκότι ἐπὶ δυσ μῶν. Κύριος ο νομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ. Ωσπερ ἐὰν ᾳ δειν μοι προκῆται βασιλεῖ, δεήσει με εἰδέναι ποῖα μέλη ἀποδέχεται ὁ βασιλεὺς, ι να ᾳ δων ἀρέσω αὐτῷ· ου τως εἰ μέλλω ᾳ δειν τῷ Κυρίῳ, δεήσει με εἰδέναι τὰ μέλη τὰ εὐφραίνοντα τὸν Κύριον, ι ν' ἐπ' αὐτοῦ ἀκροατοῦ ᾳ σω τῷ Κυρίῳ.᾿Επεὶ καὶ τὰ αἰσθητὰ ἐπίβαθρα γίνεται πρὸς τὸ νοῆσαι τὰ κρείττονα, ἰστέον ὡς ὁ μὲν ᾳ δων ψιλῇ χρῆται φωνῇ, ὁ δὲ ψάλλων καὶ τῷ ὀργάνῳ· ι δε ου ν σεαυτὸν χωρὶς σώματος, καὶ ἐννόη σον τὸ ᾳ δειν. Νόησόν σου καὶ τὸ σῶμα, καὶ ο ρα τὸ ψάλλειν. Αδει γὰρ τῷ Θεῷ ὁ διὰ ὑ γιῶν δογμάτων τὴν ψυχὴν παιδευόμενος, ὁ τὰς πρεπούσας αὐτῷ θεολογίας ἐκ διανοίας κεκαθαρμένης ἀναπέμπων. Ψάλλει δὲ τῷ ὀνόματι αὐτοῦ, ὁ διὰ τῶν τοῦ σώματος κι νήσεων, διὰ τῆς τῶν αἰσθητηρίων χρήσεως, τοιαῦτα πράττων ὡς δοξάζεσθαι παρὰ τοῖς ὁρῶσι τὸ ο νομα αὐτοῦ τοῦ Θεοῦ. Καὶ ω σπερ ὁ τεχνίτης, ἐν ῳ ψάλλει, οὐ συγκεχυμένως κρούει τὰς χορδὰς, ἀλλ' οι δε τοὺς καιροὺς καὶ τοὺς τόπους, καί ποτε μὲν τήνδε, ποτε δὲ τήνδε κρούσει· ου τως ὁ εἰδὼς ψάλλειν τῷ τοῦ σώματος ὀργάνῳ, ῥυθμίζει αὐτὸ τῷ λό γῳ τοῦ Θεοῦ, καὶ οι δε πότε κινήσει τὴν χορ δὴν, τὴν χεῖρα η τὸν πόδα, ι να περιπάτῃ ὡς δέον, ι να πράττῃ τὸ πρέπον· τὸν ὀφθαλ μὸν, ι να μὴ ἐκμελὲς ι δῃ καὶ πρὸς τὸ ἐπι θυμῆσαι· τὸ ου ς, ι να μὴ παραδέξηται ἀκοὴν ματαίαν· τὸ στόμα, ι να μὴ λαλῇ ἀργὸν ῥῆ μα. Εστι καὶ τῇ χορδῇ τῆς κοιλίας χρή σασθαι ἐμμελῶς, ο τε εἰς δόξαν Θεοῦ ἐσθίο μεν καὶ πίνομεν. ᾿Επὶ δυσμῶν. –Δυσμαί εἰσι φύσεις λο γικαὶ ἐκπεσοῦσαι τοῦ τῆς δικαιοσύνης ἡ λίου. –῾Οδοποιήσατε. Ζητεῖ καὶ ἐν σοὶ περιπατῆσαι ὁ Κύριος, καὶ βλέπων ἀκάν θας, ἡδονὰς καὶ μερίμνας ἐν σοὶ, α λλους ζη τεῖ περιπάτους καθαρωτάτους, καὶ σὲ κατα λείπει· ἐπιβήσεται δὲ σοὶ, ο ταν δύῃ ὁ ἐναν τίος τῷ ἡλίῳ τῆς δικαιοσύνης, η λιος ὁ Σα τανᾶς, ὁ μετασχηματιζόμενος εἰς α γγελον φωτός· εἰσὶ γοῦν τινες ἐν τῷ νόμῳ, ε ως μὲν ἀνατέλλει ἑαυτοῖς ὁ τῆς ἀδικίας η λιος, ἀκά θαρτοι· ἐὰν δὲ δύῃ, καθαροί· δυέτω σοι πάν τα σοι φωτίζειν νομιζόμενα, καὶ δεδοξασ μένα ὑπό σου καὶ θαυμαζόμενα· δυέτω φι λαργυρία, δυέτω ἀλλοτρία διδασκαλία, δυέ τω πορνεία, η ν ἐνόμιζες διὰ τὴν ἡδονὴν ει ναί τι ἀγαθὸν, ι να ἐπεβῇ ὁ Κύριος ποιή σαντί σοι δυσμὰς τῶν ἐναντίων. ῾Οδοποιήσατε. –Εὐτρεπεῖς γενέσθαι φη σὶν εἰς τὸ τῆς ὁδοῦ ἐκείνης πορεύεσθαι, τοῦ ἐπ' ε σχατα Χριστὸν ὀφθῆναι ἐν σαρκὶ τοῖς ἐπὶ γῆς η τοῖς ἐπιβεβηκόσιν ἐπὶ δυσμῶν, τῶν μέχρι ᾳ δου πεποιημένων τὴν κάθοδον. 67.6 Ταραχθήσονται ἀπὸ προσώπου αὐ τοῦ, πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν. Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, ἐκ τοῦ διαβό λου γίνεται· ου τος ου ν ὁ πατήρ σου, ἐὰν ἁ μαρτάνῃς, ἀποθανέτω.᾿Εάν σοι ἀποθάνῃ, σοὶ οὐ ζῇ, κα ν α λλοις δοκῇ ζῆν. Γενοῦ ὀρ φανὸς, καὶ οὐκέτι χρήσῃ τοιούτῳ πατρὶ, ἀλλ' ἐκείνῳ ο ς σε ὡς ὀρφανὸν α λλον ἀναλή ψεται. Πάλιν μνηστεύσεται τὴν ἀνθρωπί νην ψυχὴν ὁ Χριστός· παρανόμως δὲ ὁ διά βολος βούλεται αὐτῆς νυμφίος γίνεσθαι, ι να ποιήσῃ αὐτὴν ἐφθαρμένην· ἡ ψυχὴ ου ν σου χήρα γενέσθω ἐκείνου, ι να σοι κρίνῃ τὰ δίκαια ὁ Θεὸς καταλίποντι τὸν ἀνόμως συνῳκηκό τα καὶ τὸν κατὰ κακίαν γεννήσαντα. – ᾿Ορφανός ἐστιν ὁ στερηθεὶς διὰ κακίαν τοῦ ἐπουρανίου Πατρὸς, η ν αὐτὸς ἑκὼν ἐπάσ πατο. Τῇ κτίσει παρὰ τὸν κτίσαντα λελατρευ κότες ὀρφανοί τινες η σαν· κατὰ τὸν δὲ κόσμον ἀνεπικούρητοι παντελῶς καὶ πρὸς πᾶσαν πλεονεξίαν ε τοιμοι.᾿Επειδὴ δὲ πε πιστεύκασι, πεπλουτήκασι Πατέρα τὸν Θεὸν, διὸ γὰρ τῆς τῶν χηρῶν κηδεμονίας καὶ τῆς τῶν ὀρφανῶν ἐπιμελείας τὸ δίκαιον αὐτοῦ τῆς προνοίας ἐδήλωσεν, τῶν ψυχῶν τῶν ὀρ φανῶν καὶ τῶν ἀβοηθήτων θύσων. –[Νόει] ὀρφανοὺς τὰ ε θνη, ὡς μὴ ε χοντα τὸν Θεὸν πατέρα, χήραν δὲ τὴν ἐκκλησίαν, ὡς μὴ λαβοῦσαν α νδρα τὸν Χριστὸν, τούτων γὰρ ε νεκεν καὶ ἀπόθανεν. 67.7 ῾Ο Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.῾Ο Θεὸς κατοικίζει μονοτρόπους ἐν οι κῳ, ἐξά γων πεπεδημένους ἐν ἀνδρείᾳ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις. Τόπος Θεοῦ, ψυχὴ καθαρά· διὸ ἐπιφέρει, ὁ Θεὸς κατοικίζειν μονοτρόπους, τοὺς αὐτῷ καὶ μόνῳ ἀναθέντας τὴν οἰκείαν ζωὴν, πά σης διψυχίας καὶ κοσμικῆς αὐτῆς ἐπιθυμίας ἀλλοτριάσαντες, ου ς καὶ ἐν τῇ οὐρανίῳ πό λει κατοικίζει. – Ωσπερ τοὺς πεπεδημέ νους ἐξάγει ἐν ἀνδρείᾳ, ου τως καὶ τοὺς ἀδί κους ἐξάγει ἐν δικαιοσύνῃ, καὶ τοὺς α φρο νας ἐν φρονήσει. –̓ Ομοίως τῷ εἰρημένῳ τοῖς ἐν δεσμοῖς·̓ Εξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει· ̓Ανακαλύφθητε. Δεσμοὺς δὲ καὶ σκό τος τὴν τῶν δαιμόνων λατρείαν λέγει. 67.8 ̔Ο Θεὸς, ἐν τῷ ἐκπορεύεσθαί σε ἐ νώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε τὸν ε ρημον. Διάψαλμα. Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ε σταξαν ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινά. ̔Ωσαύτως, ὁ Θεὸς, προερχομένου σου πρὸ τοῦ λαοῦ σου, βαίνοντος διὰ ἀδικήτου, γῆ ἐσείσθη, οὐρανὸς δὲ ε σταξεν, μέλλων, φησὶ, διαβαίνειν εἰς τὴν ε ρημον ἐκείνην, καὶ ἀοί κητον, καὶ μηδέπω δεξαμένην τοῦ φωτὸς τὴν ἀκτῖνα, ἐκλόνησα γῆν μὲν καὶ συνέσει σεν· οὐρανόθεν δὲ τὰς τῆς χάριτος ψεκάδας ὑπέσταξεν· γέγονε δὲ τὸ μὲν ἐπὶ τοῦ σταυ ροῦ, τότε γὰρ ἡ γῆ ἐσείσθη, τό τε δὲ μετὰ τὴν εἰς τὸν οὐρανὸν ἐπάνοδον· τηνικαῦτα γὰρ ἐπεφοίτησεν ἡ τοῦ πνεύματος χάρις, οι όν τινας δρόσου ψεκάδας μιμούμενος, τοῖς ἀποστόλοις· ει τα σαφέστερον ̓Ιουδαίους δι δάσκων τὸν πάντα ταῦτα δρῶντα, ἐπήγαγεν ἀπὸ προσώπου τοῦ Θεοῦ, τοῦ ἐν τῷ Σινᾷ φανέντος. 67.10 Βροχὴν ἑκούσιον ἀφορεῖς, ὁ Θεὸς, τῇ κληρονομίᾳ σου. Τὸ εὐαγγελικὸν κήρυγμά φησι βροχήν· καταβήτω ὡς ὑετὸς ἐπὶ πόκον· ἑκούσιον δὲ πρὸς ἀντιδιαστολὴν τῆς νομικῆς λατρείας· ἐκεῖνος γὰρ οὐκ η ν αὐτοῖς ἑκούσιος, κατὰ τό· Τίς ἐκζήτησε ταῦτα ἐκ τῶν χειρῶν μου; 67.18 Τὸ α ρμα τοῦ Θεοῦ μυριοπλάσιον. Αρμα τοῦ Θεοῦ, ψυχαὶ καθαραὶ, αι ς ἐ πέβη ὁ καθαρὸς Θεὸς, ῳ ὑποζεύγνονται τῶν εὐθυνόντων αἱ χιλιάδες. 67.19 ̓Αναβὰς εἰς υ ψος, ᾐχμαλώτευσας αἰ χμαλωσίαν· ε λαβες δόματα ἐν ἀνθρώπῳ, καὶ γὰρ ἀπειθοῦντες τοῦ κατασκηνῶσαι. Αἰχμαλωσία ἐστι Χριστοῦ φύσεως λογι κῆς ἀπὸ κακίας καὶ ἀγνωσίας ἐπ' ἀρετὴν καὶ γνῶσιν ἐπάνοδος. Καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι οὐκ ἀπέβλεψα, φησὶν, εἰς τὴν δευτέραν αὐτῶν ἀπείθειαν, ἀλλὰ καὶ ἀντιλέγοντας ὁρῶν ἐπέμεινα ε ως αὐτοὺς οἰ κητήριον, ο τι οἰκεῖον, ἀπέφηνα. 67.22 Πλὴν ὁ Θεὸς συνθλάσσει κεφα λὰς ἐχθρῶν αὐτοῦ. ̓Εχθρῶν κεφαλαὶ τὰ πρώτως ἐκ τῶν δαι μόνων συμβαίνοντα τὰ νοήματα τῇ ψυχῇ. 67.24 Οπως α ν βαφῇ ὁ ποῦς σου ἐν αι ματι, ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ. Ποῦς Χριστοῦ, ὁ ἐκ Μαρίας α νθρωπος, ο στις διὰ τοῦ πάθους ἐβάφη τῷ αι ματι· ο περ αι μα κωλύουσιν ἡμᾶς οἱ ἐχθροὶ πίνειν, κύ νας ἡμᾶς ἀεὶ βουλόμενοι ει ναι, καὶ μηδέ ποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Οι δασιν γὰρ ο τι οἱ τρώγοντες τοῦ Χριστοῦ τὰς σάρ κας καὶ πίνοντες αὐτοῦ τὸ αι μα ἐν αὐτῷ μένουσιν, καὶ αὐτὸς ἐν αὐτοῖς. 67.28 ̓Εκεῖ Βενϊαμὶν νεώτερος ἐν ἐκσ τάσει. Περὶ Παύλου τοῦτό φασι προφητεύεσθαι. 67.33 Αἱ βασιλεῖαι τῆς γῆς, ᾀ σατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ. Διάψαλμα. Αἱ βασιλεῖαι, α ς ε δειξεν ὁ διάβολος τῷ Κυρίῳ, α ς λαμβάνει, οὐκ ἀπὸ τοῦ εἰπόντος· Πάντα σοι δώσω, ἐὰν πεσὼν προσκύνῃς μοι, ἀλλ' ἀπὸ αἰτήσασθαι τὸν Πατέρα ε θνη κληρονομίαν ἑαυτῷ. Τὸ διάψαλμα κεῖται διὰ τό· ̓Ιδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως. 67.34-36 Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρα νὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς, ... καὶ ἡ δύναμις αὐτοῦ ἐν νεφέλαις. Οι μαι δὲ αὐτὸν νεφέλας λέγειν τοὺς ἀγ γέλους, αὐτοὶ γάρ εἰσιν οἱ διδάσκοντες ἡ μᾶς· δύναμις δὲ τοῦ Θεοῦ ὁ Χριστός ἐστιν. –̓Εν ταῖς νεφέλαις, αι ς ἐντελεῖται τοῦ μὴ βρέχειν ὑετὸν ἐν οι ς τέθεικε τόξον αὐτοῦ, ἐν ταύταις δὲ ἀπαργησόμεθα εἰς ἀπάντησιν τοῦ Κυρίου. 68.2,3 Σῶσόν με, ὁ Θεὸς, ο τι εἰσέλθω σαν υ δατα ε ως ψυχῆς μου, ἐνεπάγην εἰς υ λην βυθοῦ, καὶ οὐκ ε στιν ὑπόστασις· η λθον εἰς τὰ βάθη τῆς θαλάσσης. Υδατα λέγει τοὺς λογισμοὺς καὶ τοὺς πειρασμοὺς τοὺς εἰσερχομένους εἰς τὴν ψυ χήν. Ταῦτα γὰρ ἡ ἀνθρωπεία ἐπεπόνθει φύ σις, κατενεχθεῖσα διὰ τῆς ἁμαρτίας εἰς τὸν θάνατον, καὶ εἰς αὐτὸν τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ᾳ δου τὸν χῶρον, ο ν καὶ υ λην βυθοῦ καὶ βάθος θαλάσσης ἐν τοῖς παροῦσιν ὀνομάζει. 68.13 Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμε νοι ἐν πύλῃ. ᾿Αεὶ γὰρ καθεζόμενοι ἐν ταῖς πύλαις τοῦ ἱεροῦ, ᾿Ιουδαῖοι ε λεγον· Τίς α ν ει η ὁ α νθρω πος τοῦτος; 68.14,15 ᾿Εγὼ δὲ τῇ προσευχῇ μου πρὸς σὲ, Κύριε, καιρὸς εὐδοκίας ὁ Θεὸς, ἐν τῷ πλήθει τοῦ ἐλέους σου, ἐπάκουσόν μου ἐν ἀληθείᾳ τῆς σωτηρίας σου. Σῶσόν με ἀπὸ πηλοῦ, ι να μὴ ἐμπαγῶ, ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τοῦ βάθους τῶν ὑδά των. Ορου κατάρας φρικτῆς προκειμένου, ι να κα ν α γγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται, η διδάξῃ ἡμᾶς παρ' ο ὁ Παῦλος ἐδίδαξεν, ἀνά θεμα ε στω, τίς ἐστιν ὁ ὑποκεφαλίσαι Παῦ λον, μᾶλλον δὲ τοῦ ἐν αὐτῷ λαλοῦντος Χρισ τοῦ, δυνάμενος; Οὐκοῦν αὐτὸς ὁ Χριστὸς ἐν τῷ Παύλῳ λαλῶν, περὶ ἑαυτοῦ καὶ εἰς ἑαυτὸν τὴν τοιαύτην εὐχὴν ἀναφέρει, καὶ μαρτυρεῖ ἐν τῇ πρὸς ῾Εβραίους ἐπιστολῇ, ο τι ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, του τέστιν ἐπὶ τὸν σταυρὸν ἐρχόμενος, δεήσεις καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν ἐκ θανάτου, τουτέστι πρὸς τὸν Πατέρα, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσήνε γκε, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ Υἱὸς ω ν, ε μαθεν ἀφ' ω ν ε παθεν, τὴν ὑπακοήν. ᾿Ενταῦθα Παῦλος καὶ τὰ σεσιγη μένα καὶ λείποντα τοῖς εὐαγγελισταῖς ἡμᾶς ἐδίδαξε, μετὰ κραυγῆς ἰσχυρᾶς λέγων γε νέσθαι τὴν προσευχὴν, τό· Πάτερ, παρελ θέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. Οὐκ ἐν ὑποκρίσει ἐπὶ τὸ δελεάσαι τὸν Σατανᾶν, οὐ τὸ τοῦ κόσμου οἰκειούμενος θέλημα, ἀλλ' ἐξ οἰκείου προσώπου Χριστὸς οἰκονομικῶς ἑ κουσίως προσεύχεται μετὰ κραυγῆς, μετὰ δακρύων, μετὰ ι δρωτος, καὶ θρόμβου αι μα τος, μετὰ ἀγγέλου ἐνισχύοντος, καὶ οἱονεὶ παρακαλοῦντος καὶ παρηγοροῦντος αὐτὸν, καίπερ Υἱὸς Θεοῦ ἀληθὴς ὑπάρχων, καὶ ἐν ἀγωνίᾳ γενόμενος προσηύχετο, ω ς φησιν εὐαγγελιστὴς, ἀλλὰ καὶ ἐκτενέστερον, ἀλλὰ καὶ δὶς, ἀλλὰ καὶ τρὶς τὴν εὐχὴν τῷ Πατρὶ προσάγει. Τοῦ ου ν Παύλου, μᾶλλον δὲ, πάλιν λέγω, τοῦ Χριστοῦ τοῦ ἐν αὐτῷ τῷ Παύλῳ λαλοῦντος, εἰς ἑαυτὸν ἀναφέροντος τὴν τοι αύτην προσευχὴν, τίς ε στιν ὁ παραχαράξαι δυνάμενος α αὐτὸς ὁ Χριστὸς περὶ ἑαυτοῦ ἐμαρτύρησεν; 68.23 Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώ πιον αὐτῶν εἰς παγίδα. Αὐτὴ τοίνυν ἡ τράπεζα κηρύσσει Χρι στὸν ἐσταυρωμένον, ᾿Ιουδαίοις μὲν σκάνδα λον, ε θνεσι δὲ μωρίαν. Αὐτὴ ἡ τράπεζα μὴ νοουμένης τῆς γραφῆς, γεγένηται τοῖς ᾿Ιου δαίοις εἰς παγίδα. Οὐ πᾶσι δὲ ἡ τράπεζα τοι αύτη η ν, ἀλλ' ἐνώπιον τοῦ λαοῦ ἐκείνου. ᾿Ε πίστησον δὲ εἰ τράπεζα δύναται λέγεσθαι ὁ Χριστὸς, σοφία τυγχάνων ἡ λέγουσα· Ελθετε, φάγετε τὸν ἐμὸν α ρτον, καὶ ὁ α ρτος ζῶν, ὁ ἐξ οὐρανοῦ καταβὰς, ου ἡ σὰρξ ἀληθινή ἐστι βρῶσις, καὶ τὸ αι μα ἀληθής ἐστι πόσις. Καὶ γὰρ γέγονεν ᾿Ιουδαίοις εἰς σκάνδαλον καὶ εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν, τῷ ἐκδικείσθαι πᾶν αι μα τὸ ἀπὸ Αβελ ε ως Ζαχαρίου, ἀπὸ τῆς γενεᾶς ἐκείνης, ἐφ' η ς οἱ α ρτοι καὶ τὸ α ριστον, αἱ γραφαὶ εἰσὶν παγὶς, καὶ σκάνδα λον ὑπάρχουσιν τοῖς μόνῳ τῷ γράμματι προσ αναπαυομένοις. 68.24 Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νότον αὐτῶν δια παντὸς σύγκαμψον. Πῶς γὰρ οὐκ ἐσκοτίσθησαν, μὴ δεξάμε νοι τὸν τῆς δικαιοσύνης η λιον; ἐπήγαγεν αὐτοῖς τὸ ζοφωδὲς νίφος τῶν συμφορῶν, εἰς δουλείαν αὐτῶν καταψηφίσαι δέσποτας, ι να οι ς ποιοῦσιν, περιπέσωσιν εἰς ἐπίπονον ἐρ γασίαν συγκεκοφότες. Οὐ γὰρ πρόσκαιρος αὐτοῖς, ω σπερ ἐπὶ Βαβυλονίων, γέγονεν ἡ αἰχμαλωσία. 68.34 Οτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν. Ταῦτα γνόντες, φησὶν, οἱ τῷ πνεύματι πτωχοὶ ἀγαλλιαθήσονται· λέγουσι δὲ ταῦτα οἱ ἀπόστολοι διὰ τοὺς δι' αὐτῶν πιστεύσαν τας. 69.3 Αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν. Ζητοῦσιν αὐτὴν οἱ πρὸς κακίαν καὶ ἀγ νωσίαν αὐτὴν προτρεπόμενοι· ἐτράπουντο εἰς φυγὴν μετ' αἰσχύνης, τὴν ἐμὴν ὁρῶντες μεταβολήν. 69.4 ᾿Αποστραφείησαν παραυτικὰ αἰσ χυνόμενοι οἱ λέγοντές μοι· Ευ γε, ευ γε! Τό· Ευ γε, ευ γε οἱ δαίμονες λέγουσιν ἁ μαρτάνουσιν ἡμῖν. Εστιν δ' ο τε καὶ γελῶ τα πέμπουσιν, ἐμπαίζοντες ἡμῖν καὶ ἐναν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τιούμενοι. 69.5,6 Καὶ λεγέτωσαν διαπαντός· Μεγα λυνθήτω ὁ Θεὸς, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. ᾿Εγὼ δὲ πτωχὸς καὶ πένης ... Καὶ ῥυσ τής μου ει σὺ, Κύριε, μὴ χρονίσῃς. Σωτήριον τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Χριστὸς, ὁ μονογένης αὐτοῦ Υἱός. ᾿Εγὼ δὲ πτωχὸς καὶ πένης, Χριστός φησιν, ἑκουσίως πτωχεύσας διὰ τὸν α νθρωπον, ι να πλουτίσῃ ἐκεῖνον. –Μὴ χρονίσῃς· τῆς γὰρ σῆς προ μηθείας τετύχηκα. Τὸ δέ· μὴ χρονίσῃς ἀν τὶ τοῦ· ἐπάρχω ὡς τάχιστα, καὶ μὴ ἀναβά λῃς τὴν αι τησιν. 70.1 Τῷ Δαυὶδ, υἱῶν ᾿Ιωναδὰβ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων, ᾿Ωριγένους, ᾿Αθανασίου ὑπόθεσις. Οἱ υἱοὶ τοῦ ᾿Ιωναδὰβ γεγόνασιν α νδρες εὐλαβεῖς καὶ δίκαιοι, καὶ τῶν τοῦ πατρὸς ἐντολῶν φύλα κες ἀκριβεῖς· καὶ ου τω θεοσεβεῖς καὶ τὸ η θος χρηστοὶ, ὡς καὶ μάρτυρα τῆς αὐτῶν ἀρετῆς γενέσθαι τὸν Θεὸν, τῷ προφήτῃ δια λεγόμενον ῾Ιερεμίᾳ. ᾿Επὶ τούτων δὴ καὶ ἡ πρώτη τῆς ῾Ιερουσαλὴμ, ὑπὸ Χαλδαίων α λωσις γεγένηται. Σχοῖεν δ' α ν ου τοι πρόσωπον τοῦ ἀποστο λικοῦ χοροῦ, τοῦ καὶ σφόδρα τὰς τοῦ ἐπου ρανίου Πατρὸς φυλάξαντος ἐντολὰς, καὶ τοὺς ἐπαίνους εἰληφότος, διὰ τῶν πρὸς αὐ τοὺς εἰρημένων μακαρισμῶν. ῾Ομοίως γοῦν καὶ ἐπὶ τούτων τῶν ἀποστόλων, φημὶ, ἡ πρώτη τῆς ῾Ιερουσαλὴμ αἰχμαλωσία ὑπὸ ῾Ρωμαίων ἐγένετο. Εἰσάγονται τοίνυν ου τοι οἱ θεοφιλεῖς α ν δρες, τουτέστιν ὁ ἀποστολικὸς χορὸς, διὰ προκειμένου ψαλμοῦ εὐχὴν καὶ εὐχαριστίαν ἀναφέροντες τῷ Θεῷ. ᾿Εφ' οι ς θλιβομένους αὐτοὺς ἀπὸ τῶν διωκόντων διὰ τοῦ εὐαγγε λικοῦ κηρύγματος, ἀπὸ τῶν νοητῶν ἐπιβού λων τῆς αὐτῶν ψυχῆς δαιμόνων διέσωσεν· ε πειτα ὑπισχνούμενοι μόνας τὰς δι' αἰνέσεως ἀναπέμπειν θυσίας, ἀπηλλαγμένοι δηλονότι τῆς κατὰ νόμον λατρείας. ᾿Εκ δὲ τῶν Ο΄ τῆς ἐκκλησιαστικῆς ἐκδό σεως ἐπιγραφὴν ἐχούσης· ῾Υπὲρ τῶν υἱῶν ᾿Αδὰμ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων. Καὶ μετ' ὀλίγον. Οἱ μὲν ἐμπαθεῖς τὰ ο μ ματα τῆς ἀκτῖνος χωρίζονται· οἱ δὲ ὑδροφο βοῦντες [κατὰ] τῆς τοῦ υ δατος ο ψεως [δυσ χεραίνουσι]· τὸν αὐτὸν τρόπον καὶ ἡ τῶν ᾿Ιουδαίων κακία, διὰ τὸ μὴ θέλειν ὁμολο γεῖν τὴν δόξαν τοῦ θείου κηρύγματος, ἀπα ράδεκτον ποιεῖ διὰ τῆς σιωπῆς τὴν ἀλή θειαν. Εξεστιν δὲ καὶ διὰ τῆς ψαλμῳδίας ἐπι γνῶναι τὰ τῆς προφητείας αἰνίγματα· λέ γει γὰρ περὶ τῶν πρώτων αἰχμαλωτισθέν των, ὡς ἐκ προσώπου τοῦ ἀνθρώπου, ο τι ο σας ε δειξας μοι θλίψεις καὶ τὰ ἑξῆς. Τοῦτο δὲ σαφέστερον ἐκ τοῦ Παύλου νοήσωμεν, πῶς ἐκ τῶν ἀβύσσων ἀνάγεται ὁ τῷ βάθει τῆς ἁμαρτίας καθελκυθεὶς, περὶ ου φησι· Μὴ ει πῃς ἐν τῇ καρδίᾳ σου· τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; ο θεν γὰρ εἰσῆλθεν εἰς τὸν κόσμον ὁ θάνατος, ἐκεῖθεν ἐξῴκισται μεθ' ο λου κατεχομένου τοῦ αἰχμαλώτου ὑπὸ τοῦ θανάτου· κατέβη διὰ τοῦ πάθους εἰς τὴν α βυσσον ταύτην· ἐφ' ᾡ τε συναγαγεῖν ἑαυτῷ πάλιν ἐπὶ τὰ α νω τὸν βύθιον· ταῦτα γὰρ ὁ ἀπόστολος διεσάφησε μετ' ἀκριβείας, α λλα τε πολλὰ περὶ τούτων εἰπών, φησὶ καὶ τοῦτο· ω σπερ ἐν τῷ ᾿Αδὰμ πάντες ἀποθνήσκομεν, ου τω, καὶ τὰ ἑξῆς. Διὰ τὸ γενέσθαι τὴν ἐπι γραφήν· ῾Υπὲρ τῶν υἱῶν ᾿Αδὰμ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων, διὰ τὴν τῆς σαρκὸς οἰκονομίαν τοῦ Κυρίου, βύουσι τὴν ἀκοὴν ῾Εβραῖοι, καὶ τὴν ἐπιγραφὴν οὐ προσ δέχονται. 70.4 ῾Ο Θεὸς, ῥῦσαί με ἐκ χειρὸς ἁμαρ τωλοῦ· ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδι κοῦντος. Χεὶρ ἁμαρτωλοῦ, ἡ ἁμαρτητικὴ πρᾶξις. Αἰτεῖ δὲ μηδὲ κατὰ ποσὸν αὐτῇ ἐνεργεῖν· σκόπει δὲ εἰ ε ν ἐστιν ὑποκείμενος ἁμαρτωλὸς καὶ α δικος καὶ παράνομος. Δοκεῖ γὰρ ἁμαρ τωλὸς ὁ ἀδικῶν καὶ παράνομος· εἰ δὲ τὰ τρία δηλοῖ τὸν διάβολον, χεῖρα ληπτέον αὐ τοῦ τὴν ο σην στρατιωτικὴν αὐτοῦ δύναμιν· ῥυσθῆναι τοίνυν ἐξ ἀκαθάρτων πνευμάτων αἰτεῖ, ὑπὸ τὴν κραταιὰν χεῖρα γενόμενος τοῦ Θεοῦ, ἀφ' η ς οὐδεὶς ἁρπάσαι δυνήσεται. 70.11 Λέγοντες· ῾Ο Θεὸς ἐγκατέλιπεν αὐτὸν, καταδιώξατε καὶ καταλάβετε αὐ τόν. Ταύτας τὰς φωνὰς τέθεικεν, ὡς ἀπὸ δαιμόνων λεγομένας ἐπὶ τοῖς ἐγκαταλειφ θεῖσιν, αι τινες οὐκ α ν ἐῤῥήθησαν, εἰ μὴ ἐγ κατελείφθη ὁ α νθρωπος. Εχομεν γὰρ ἐν ταῖς Βασιλείαις, ο τι Κύριος ἀπέστη ἀπὸ Σαοὺλ, καὶ πνεῦμα πονηρὸν παρὰ Κυρίου ε πειγε τὸν Σαούλ· ἀλλ' εἰ καὶ ταῦτά



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φασιν ἐκεῖνοι, φησὶν καὶ ε ργῳ· Μὴ ἐπιθῶνται· μὴ μακρύ νης τοῦ πάλιν τὴν σὴν προσνεῖμαι βοή θειαν. 70.14 ᾿Εγὼ δὲ διαπαντὸς ἐλπιῶ. Δυνατὸν μὲν διαπαντὸς αἰνεῖν τὸν Θεὸν, καὶ διαπαντὸς εὐλογεῖν, καὶ διαπαντὸς σω φρονεῖν καὶ δικαιοπραγεῖν. Πῶς δὲ δυνατὸν διαπαντὸς ἐλπίζειν; ῾Ο γὰρ ἐλπίζων δια παντὸς, οὐδέποτε τυγχάνει τοῦ πράγματος ἐκείνου ου ἐλπίζει τυχεῖν. Καὶ ὁ μὲν ἐρεῖ τὸ διαπαντὸς οὐ κατὰ τοῦ πλάτους τῶν αἰώνων τεθεῖσθαι, ἀλλὰ κατὰ τῆς ζωῆς τῆς αἰσθη τῆς. Ετερος δὲ καὶ κατὰ τοῦ πλάτους τῶν αἰώνων τὸ διαπαντὸς ἐκλείψεται, ι ν' ῃ τὸ πέρας τῆς ἐλπίδος ἡ γνῶσις τῆς Τριάδος. ῾Ο δὲ τρίτος ἐρεῖ τεθεῖσθαι τὸ διαπαντὸς ἐπὶ τῆς ἁγίας Τριάδος· αὐτὴ γὰρ μόνη ἡ γνῶ σίς ἐστιν ἀπέραντος. 70.22 Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ Θεός. Σκεῦος ψαλμοῦ, ψυχὴ καθαρά· σκεύη δὲ ψαλμοῦ, δι' ω ν υ μνους ἀναπέμπει Χριστὸς τῷ Πατρὶ, οἱ καθ' ἑκάστην ἐκκλησίαν λαοὶ, ω ν η ρμοσε τὰς ψυχὰς, παραστήσας αὐτοῖς τὴν ἀλήθειαν, ἀλλ' οὐ τύπους καὶ σύμβολα νομικὰ, γλῶσσαν ε χων καὶ χείλη τοὺς αὐ τῶν διδασκάλους. 70.24 Ετι δὲ καὶ ἡ γλῶσσά μου ο λην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ο ταν αἰσχυνθῶσι καὶ ἐντράπωσιν οἱ ζητοῦν τες τὰ κακά μοι. Ζητοῦσι δὲ αὐτῷ κακὰ βλασφημοῦντες αὐτόν· ἑτοίμη δὲ ἡ γλῶσσά μου, ᾿Ακύλας ε χων πρόφασιν· καταισχύνονται. –Τὴν τῆς ψυχῆς ἁρμονίαν φησιν· ο ταν γὰρ μηδὲν ἐ νάντιον ἐν αὐτῇ ἡ γλῶσσα ποιῇ η πάσχῃ, ἡ ψυχὴ, τότε δὴ νοητὴ, καθάρα κληθείη δι καίως. 71.8 Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ε ως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ε ως περά των τῆς οἰκουμένης. Λέγει τὸν ᾿Ιορδάνην, ἐφ' ᾧ βαπτισθεὶς ὁ Χριστὸς, ὑπὸ τοῦ Πατρὸς ἐμαρτυρώθη. ᾿Απὸ τότε γὰρ η ρξατο, φησὶν, ὁ Κύριος κηρύσ σειν καὶ λέγειν· τοῦτο ου ν ἡ προφητεία αἰ νίττεται. 71.9 Καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι. ᾿Αντὶ τοῦ· σπανιοῦσιν οἱ χοϊκοί. 71.10 Βασιλεῖς ᾿Αράβων καὶ Σαβὰ δῶρα προσάξουσι. Προθεσπίζει τὰ περὶ πάντων αὐτῷ καὶ βασιλέων καὶ βαρβάρων προσκομιζόμενα. 71.14 ᾿Εκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσε ται τὰς ψυχὰς αὐτῶν, καὶ ε ντιμον τὸ ο νομα αὐτῶν ἐνώπιον αὐτοῦ. Τὴν μὲν κατὰ διάνοιαν ἁμαρτίαν, ἀδι κίαν ὠνόμασεν· τὴν δὲ κατ' ἐνέργειαν ἁμαρ τίαν, τόκον. Καὶ τοκιζόμεθα μὲν ἁμαρτά νοντες, ἀδικούμεθα δὲ ἐννοοῦντες. Διὸ πρότε ρον τὸν τόκον περιερεῖ, υ στερον δὲ καὶ τὴν ἀδικίαν αὐτήν. Δεῖ γὰρ πρῶτον ἀπέχεσθαι τῆς ἁμαρτίας, ει τα τῆς κατ' ε ννοιαν ἡμῖν γενομένης. –Καὶ ε ντιμον, φησὶ, τὸ ο νομα αὐτοῦ. Σεβάσμιος παρὰ πᾶσιν ε σται καὶ ε ν δοξος, ὁ Θεὸς, ἐν τῷ ὀνόματί σου μεγάλῳ. Καὶ δότε δόξαν τῷ ἐνιόντι αὐτῷ. Πῶς ου ν ε λαβε; ο περ ε χει, ἀεὶ φαίνεται. 71.15 Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς ᾿Αραβίας. Τὸ δὲ ζήσει, ἀντὶ τοῦ διαμενεῖ ο σον τέ θεικεν. 72.1 ῾Ως ἀγαθὸς τῷ ᾿Ισραὴλ ὁ Θεός. Καρπὸς Χριστοῦ τὰ πιστεύσαντα ε θνη καὶ ὑψωθέντα ἐπὶ θεοσεβείᾳ ὑπὲρ τὸν ᾿Ι σραήλ. 72.2 ᾿Εμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήμα τά μου. Πόδας δὲ καὶ διαβήματα τοὺς ὑπεριδόντας τὴν εὐσέβειαν λογισμοὺς καλεῖ τροπικῶς, κα τὰ τῆς διανοίας κινήματα καὶ διανοήματα, α περ ἐκχέονται καὶ χαυνοῦνται, ο ταν ἐπὶ τὸ χεῖρον τράπωσιν. Τοιαύτη ἡ γυνὴ Λώτ· τοιοῦ τος ὁ ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' α ροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω· τοιοῦτοι οἱ πεσόν τες ἐν τῇ ἐρήμῳ. Ινα δὲ φοβηθῇς ἐκχέοντα διαβήματα, α κουε τοῦ ἐν τῷ ῾Ιεζεχιὴλ Κυ ρίου λέγοντος· Δίκαιος, ἐὰν ἀποστρέψῃ ἀπὸ τῶν δικαιοσυνῶν αὐτοῦ, πᾶσαι αἱ δικαιοσύ ναι αὐτοῦ, α ς ἐποίησεν, οὐ μὴ μνησθήσον ται. Τινὲς γὰρ ἐν ἀσκήσει καὶ πάσαις ἀρε ταῖς διαλάμψαντες, υ στερον ὑπεσύρησαν εἰς βίον χαυνώτερον. Πλὴν ἐγὼ, φησὶν, οὐκ ὠλίσ θην, η γὰρ α ν ἀπωλόλην, ἀλλά μοι κατευθύν θη τὰ κατὰ Θεὸν διαβήματα, μὴ παρ' ὀλί γον, μηδ' ο λως ἐκχεόμενα· ου τω τῶν οἰκείων λογισμῶν δημοσιεύσας τὴν ζάλην. Οὐ γὰρ περὶ ποδῶν καὶ διαβημάτων, ἀλλὰ περὶ λο γισμῶν χωλευόντων λέγει, καὶ ο τι ἐγγὺς ἐ γένετο τοῦ διαχυθῆναι καὶ διαλυθῆναι τῶν ποδῶν τὰς βάσεις, ὡς μηδὲ στάναι δύνασ θαι τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λοιποῦ, ἀλλὰ περιτραπῆναι καὶ εἰς ο λισθον ὑποσυρῆναι. Καὶ τὴν αἰτίαν ἐπάγει λέγων· 72.3,4 Οτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν· ο τι οὐκ ε στιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν, καὶ στε ρέωμα ἐν τῇ μάστιγι αὐτῶν. Τὰ τὸν κλόνον αὐτῷ ποιήσαντα τῆς ψυχῆς ἀφηγεῖται· ο τι ὑπὸ τῆς εἰρήνης τῶν ἁμαρ τωλῶν καὶ τῆς κατὰ τὸν βίον εὐροίας τῶν [α λλων ο ντων] ἐν κοπετῷ· ᾿Επυρπολούμην, φησὶ, βλέπων τοὺς παρανομίᾳ καὶ πονηρίᾳ συζῶντας, ἐν εἰρήνῃ βαθείᾳ καὶ εὐποτμίᾳ πολλῇ, ὡς καὶ μέχρι θανάτου τὴν εὐημε ρίαν αὐτοῖς ἐκτείνεσθαι, καὶ τὸν θάνατον δὲ ο ντως εὐδαίμονα τούτους ὑπομένειν· ὡς ζηλοῦσθαι παρὰ πάντων, καὶ μηδένα ἀνα νεύειν, ει τις αὐτὸν ε ροιτο, εἰ βούλοιτο τοιού του θανάτου τυχεῖν· ἀλλ' ἐθέλει ε καστος ου τως ἀποθανεῖν· μᾶλλον δὲ ἐν κινδύνοις καὶ δυσπαθείαις ἐξεταζόμενοι, ἑαυτοὺς ὑπαγο ρεύουσιν, ὡς τῆς ἀνανεύσεως δηλούσης τὴν ἀπαγόρευσιν η καὶ τὴν μνήμην τοῦ θανά του. Εἰ δέ που α ρα καὶ συμβῇ τῇ ἁμαρτίᾳ αὐτῶν ἐπιστρεπτικὴ μάστιξ, οὐδὲ αὐτὴ στε ρεά ἐστι καὶ ἐπίπονος, ἀλλ' ἐλαφρὰ καὶ εὐ παρακόμιστος ἐξ ἐπιπολῆς τρέχουσα· πρὸς ὀλίγον γὰρ αὐτοῖς προσπελάζει τὰ λυπηρὰ, ει τα ἀπαλάττονται· ἐν κόποις κα ν α ρ' ου ν αὐτοῖς τὰ πράγματα φέρεται, καὶ ου τε πό νοις, ου τε ταλαιπωρίαις, ου τε παιδείαις πε ριβάλλονται, α λλοις ἀνθρώποις παραπλη σίως μαστιζομένοις δι' ἐπιπόνου βίου· ὁ γὰρ διὰ χειρῶν πόνος καὶ τὸ δέεσθαι τῆς καθ' ἡ μέραν ἐργασίας εἰς διατροφήν· οι ον ἀντὶ μαστίγων τοῖς ἀνθρώποις δέδοται, ἐπὶ τοιού τοις πολλοὶ καὶ νῦν σκανδαλίζονται εἰρή νην οὐκ ε στιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐ τῶν. ᾿Ανάνευσιν λέγει τὴν μνήμην τοῦ θα νάτου. 72.7 ᾿Εξελεύσεται, ὡς ἐκ στέατος ἡ ἀδι κία αὐτῶν. Στέαρ δὲ πολλάκις ε φημεν τὴν εὐπάθειαν καὶ τὴν εὐκληρίαν, ὡς ἐν τοσαύτῃ τοίνυν, φησὶν, ο ντες εὐημερίᾳ μετὰ πάσης ἀδείας τὴν ἀδικίαν ἐτόλμων. 72.8 Διενοήθησαν καὶ ἐλάλησαν ἐν πο νηρίᾳ, ἀδικίαν εἰς τὸ υ ψος ἐλάλησαν. Οὐ λογίζονται ἑαυτοὺς ει ναι ὡς ε καστος τῶν ἀνθρώπων, οὐδὲ ο τι μετὰ τῶν ἀνθρώ πων μέλλουσιν κρίνεσθαι. 72.10,11 Διὰ τοῦτο ἐπιστρέφει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθή σονται ἐν αὐτοῖς. Καὶ ει παν· Πῶς ε γνω ὁ Θεὸς, καὶ εἰ ε στι γνῶσις ἐν τῷ ὑψίστῳ; Ζητήσεις τοῦτό πως. ῾Ο μὲν γὰρ Θεὸς, φησὶν, ἐκεῖνα ὑπέσχετο· ου τοι δὲ παρ' ἑαυ τοῖς ἐλογίζοντο ου τως μήτε ἐφορᾶν τὸν Θεὸν, μηδέ τι τῶν γενομένων εἰδέναι. Ει τα δείξας τὴν τούτων ἀσέβειαν, τοὺς οἰκείους ἐκφέρει λογισμούς. ῾Ο μὲν ἐμὸς λαὸς, φησὶν, ἐκ τοῦ καταβληθῆναι τοὺς εὐσεβεῖς, ὠφεληθήσεται. Οἱ δὲ προλεχθέντες δυσσεβεῖς καὶ α θεοι, ου τως ἠσέβουν ὡς σκάνδαλον γενέσθαι τοῖς ὁρῶσι τὸν βίον αὐτῶν καὶ ὡς μηχανεύειν καὶ λέγειν· Πῶς ε γνω; ἀντὶ τοῦ· Πῶς γινώσκει τὰ καθ' ἡμᾶς καὶ διώκει; λέγεται· καὶ πῶς γνῶ σιν ε χει τῶν ἡμετέρων; ῾Ο δὲ Σύμμαχος σα φέστερον· Οἱ δὲ ε λεγον· Πῶς ε γνω ὁ Θεὸς, εἰ ε στι γνῶσις ἐν τῷ ὑψιστῷ; 72.13 Καὶ ει πα· Αρα ματαίως ἐδικαίω σα, καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου. ᾿Ωριγένους, Θεοδωρήτου. Τί γὰρ ἐκέρδα να, φησὶ, πόῤῥω τῶν πονηρίᾳ συζώντων γε νόμενος· τὸ γὰρ ἐνιψάμην, ἀντὶ τοῦ ἀθῶον ἐμαυτὸν ἐφύλαξα· οὐκ ἐκοινώνησα τοῖς κα κοῖς ἐπὶ μελέτης καὶ δικαιοσύνης, καὶ τῆς κακίας τὴν κοινωνίαν φυγὼν, καὶ αἰκίζομαι καὶ παροινοῦμαι καθ' ἑκάστην ἡμέραν. 72.14 Καὶ ὁ ε λεγχός μου εἰς τὰς πρωΐας. Ζητήσεις καὶ τοῦτο καὶ πειράσεις τοῦ γνῶναι. 72.16,17 Καὶ ὑπέλαβον τοῦ γνῶναι, τοῦ το κόπος ἐστὶν ἐναντίον μου, ε ως ου εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ εἰς τὰ ε σχατα αὐτῶν. ῾Ομοίως διὰ τῆς ἁμαρτίας αὐτῶν ηὐτρέ πισας αὐτοῖς κολάσεις αἰωνίας. 72.21 Οτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν. Ταῦτα λογιζόμενος ὑπὸ τῆς ἐκείνης πα ρανομίας, ἐπυρπολούμην. ᾿Αναλαβὼν γὰρ τὸ προοίμιον, ο ἐστιν· ᾿Εζήλωσα ἐν τοῖς ἀνό μοις, καὶ ο περ ζῆλον ἐκάλει, τοῦτο ἐνταῦθα [λέγει] καρδίας ε γκαυσιν. Καὶ οἱ νεφροί μου ἠλλοιώθησαν. Νεφροὺς τοὺς λογισμοὺς ἀσε βεῖς φησιν· ε χων τοὺς λογισμοὺς, μικρὸν δεῖν, ἐξετράπην διὰ τὴν ἐκείνων ἀλαζονείαν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

72.23 Καὶ ἐγὼ διαπαντὸς μετὰ σοῦ. Μετὰ Θεοῦ λέγεται ει ναι, πρῶτος μὲν ὁ τὴν ἁγίαν γινώσκων Τριάδα, καὶ μετ' αὐτὸν, ὁ τοὺς λόγους τοὺς περὶ τῶν νοητῶν θεω ρῶν· τρίτος δὲ πάλιν ὁ καὶ αὐτὰ ἀσώματα βλέπων· καὶ πάλιν τέταρτος ὁ τὴν θεωρίαν ἐπιστάμενος τῶν αἰώνων· ὁ δὲ τὴν τῆς ψυ χῆς ἀπάθειαν κεκτημένος, πέμπτος α ν τού τοις συγκαταχθείη δικαίως. 72.27 Οτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται· ἐξωλοτρεύσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. Περὶ εἰδώλων λέγει. Παύσωμεν τῆς νο ητῆς πορνείας τοὺς τρόπους, ι να μὴ τὸν τοῖς φιλαμαρτήμοσι πρέποντα, καὶ ὀφειλό μενον ο λεθρον ὑπομείνωμεν. Νοητὴν δὲ πορνείαν φαμὲν πᾶν ει δος φαυλότητος καὶ ἀκαθαρσίας. –Καὶ γὰρ ο σοι ἀφίστανταί σου καὶ μακρὰν γίνονται τῇ διαθέσει, οὐδὲν ε τε ρον η τὴν ἀπώλειαν ἐκδέχονται, ο τι ἀποσχί ζοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται. Οὐδεὶς διΐσταται τοπικῶς τοῦ μὴ ἐν τόπῳ Θεοῦ· σχέ σει δὲ τὸ α δικον καὶ πονηρὸν μακρὸν νοεῖται τοῦ δικαίου καὶ ἀγαθοῦ, ο περ ἀπόλλυσιν, ὡς καὶ σώζει τὸ ἐγγίζειν ἀρετῆς ἀναλήψει Θεῷ. Ταὐτὸν γὰρ τὸ μακρύνεσθαι τῷ ἁμαρτάνειν. Οὐκ ει πεν· οἱ μακρύναντες· δυνατὸν γὰρ μετανοοῦντας σωθῆναι, μηκέτι μακρύνοντας ταύτῃ. Καὶ ὁ ποιῶν, ἀλλ' οὐχ ὁ ποιήσας δοῦ λός ἐστι τῆς ἁμαρτίας. 72.28 ᾿Εμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Κυρίῳ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου, τοῦ ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών. Δι' αὐτῶν γὰρ τῶν πραγμάτων τὴν πεῖ ραν λαβὼν, οὐ χωριστὸς ε σομαι τοῦ σεσω κότος Θεοῦ, καὶ τῇ εἰς αὐτὸν ἐλπίδι βεβαιω θήσομαι. Διὰ τοῦτον γὰρ τῆς ἐλπίδος ἐπανό δου τετύχηκα, καὶ τὰς σὰς θαυματουργίας ἐν τῇ ῾Ιερουσαλὴμ ἐξηγοῦμαι· αὐτὴν γὰρ ὠνό μασε θυγατέρα Σιών· ω σπερ γὰρ υἱοὺς ἀν θρώπων τοὺς ἀνθρώπους καλεῖ, ου τως θυγα τέρα Σιὼν τὴν Σιὼν ὀνομάζει. Διώνυμος γὰρ ἡ πόλις· ἡ γὰρ αὐτὴ δὲ Σιὼν καὶ ῾Ιερουσα λὴμ ὑπὲρ τῆς θείας καλεῖται γραφῆς. – Πολλῶν πολλὰ περὶ ἀγαθοῦ φιλοσοφησάν των, συντόμως ὁ σοφὸς [λέγει] τὸ κολλᾶσθαι τῷ Θεῷ. Τοῦτο δὴ αἱ συναγωγοὶ ἀρεταὶ πρὸς τελειότητα. Πύλαι Σιὼν, η ς ἡ θυγά τηρ ἡ κατὰ ταύτην γινομένη η καὶ γεννη θεῖσα ψυχή. 73.1 Ινα τί ἀπώσω, ὁ Θεὸς, εἰς τέλος; ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου. ᾿Επιπόνην ε σχες τὴν κατὰ τῶν προβάτων τῶν σῶν ἀγανάκτησιν. 73.5 Εθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ε γνωσαν ὡς εἰς τὴν ει σοδον ὑπε ράνω. ᾿Απὸ τῶν ᾿Ιωσήπου περὶ τῆς ἁλώσεως λεγομένων, καιομένου δὲ τοῦ ναοῦ καὶ τῶν περὶξ ἁπάντων, οἱ ῾Ρωμαῖοι κομίσαντες τὰς σημαίας εἰς τὸ ἱερὸν κατὰ τῆς ἀνατολικῆς πύλης α ντικρυς, ε θεσαν αὐτὰς αὐτόθι, καὶ τὸν Τῖτον μετὰ μεγιστῶν εὐφημιῶν ἀνέφη ναν αὐτοκράτορα. 73.7 ᾿Ενεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου εἰς τὴν γῆν, ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου. ᾿Ακύλας· ᾿Ενέπρησαν πάσας ἰσχυρὰς ἀπὸ τῆς γῆς. Σύμμαχος· ᾿Ενέπρησαν πάσας τὰς συναγωγὰς τοῦ Θεοῦ εἰς γῆν. Θεοδοτίων· ᾿Ενεπύρισαν πάντας καιροὺς ἰσχυροῦ. 73.8 Ει παν ἐν τῇ καρδίᾳ αὐτῶν ἡ συγ γένεια αὐτῶν ἐπὶ τὸ αὐτό· Δεῦτε, καταπαύ σωμεν τὰς ἑορτὰς Κυρίου ἀπὸ τῆς γῆς. Εἰ δὲ καὶ μὴ λόγῳ, τῇ δὲ δυνάμει ταῦτα ε λεγον. ᾿Ερεθιστικῶς δείκνυσιν, ὡς οὐ προέ θεντο τοσοῦτον ἡμῖν, ὁπόσον σοι πολεμεῖν. Μετὰ πολλῆς ἐπελθόντες ἡμῖν τῆς συμ φωνίας ε να σκοπὸν ει χον τὸν ὑπὸ σοῦ δε δομένον καταλῦσαι νόμον. Διὰ γὰρ τῶν ἑορ τῶν τὴν κατὰ νόμον πολιτείαν ἐδήλωσε. Ταῦτα δὲ, φησὶν, ἐτόλμων, μήτε τὰς ἐπὶ τῶν προγόνων ἡμῶν ὁρῶντες θαυματουρ γίας, μήτε ὑπὲρ προφητικῆς διελεγχόμενοι χάριτος· τούτων γὰρ ἁπάντων ἐξαίφνης κα τέστησαν ε ρημοι. Πάλαι γὰρ καὶ μετὰ τὴν ἐπάνοδον ε σχον προφήτας, τὸν ᾿Αγγαῖον, τὸν Ζαχαρίαν, οι προέλεγον τὰ ἐσόμενα, καὶ τῶν πολεμίων τὰς ἐπιβουλὰς καταδήλους ἐποίουν. 73.11 Ινα τί ἀποστρέφεις τὴν χεῖρά σου, καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος; Χεὶρ καὶ δεξιὰ τοῦ Θεοῦ, ὁ Μονογενής. –Χριστός ἐστι δεξιὰ τοῦ Πατρὸς, ὁ ω ν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ο θεν ἐλθὼν ἐξηγή σατο περὶ τοῦ Θεοῦ. Εἰ διαφέρει ἡ χεὶρ καὶ ἡ δεξιὰ τοῦ Θεοῦ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐφίστημι, μήποτε ἡ μὲν χεὶρ [τὰ] κατὰ τῶν ἐχθρῶν τοῦ λαοῦ ποιεῖ· ἡ δὲ δεξιὰ τὰ ὑπὲρ τοῦ λαοῦ ἀγαθὰ, οι ον ἡ χεὶρ, ο τε θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν Αἰ γυπτίοις ὑπὲρ ῾Εβραίων ἀπέστειλεν ὁ Θεός. – Ινα τί ἀπεκρύβης, φησὶ πρὸς τὸν Πατέ ρα, τὸν Υἱόν σου ἐν τῷ κόλπῳ σου; Χριστός ἐστιν ἡ δεξιὰ τοῦ Πατρός· ἐκ μεταφορᾶς, [κατὰ] τὸ τοὺς παρακαλουμένους μὲν, μὴ προσιεμένους δὲ τὴν παράκλησιν· πρότερον ἐπὶ τὸν κόλπον τὰς χεῖρας ε χων ἐπὶ τῷ ἐπι λαβέσθαι, πῶς ἐθέλει αὐτὸς τοὺς παρακα λοῦντας αὐτὰς ἀποστρέφειν εἰς τὸ ὀπίσω; 73.12 ῾Ο δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. ᾿Εντεῦθεν λαβόντες τινὲς ἀνεφήναντο τὰ ῾Ιεροσόλυμα ὀμφαλὸν ει ναι τῆς γῆς. –῾Ο δὲ Υἱός σου, ὁ Χριστὸς, φησὶ, προώριστο πρὸ αἰώνων τῆς φύσεως βασιλεὺς διὰ σαρ κώσεως τῆς κατὰ α νθρωπον. 73.13,14 Σὺ ἐκραταίωσας ἐν τῇ δυνά μει σου τὴν θάλασσαν. Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ υ δατος. Σὺ συνέτριψας τὰς κεφαλὰς τοῦ δράκοντος. Διαγράφει τῷ λόγῳ τίνι τρόπῳ τὴν πα λαιὰν αὐτῶν σωτηρίαν εἰργάσατο· καὶ πρῶ τον μὲν τὸ παγῆναι ὡσεὶ τεῖχος τῆς θαλάσ σης τὰ υ δατα, ο τε ἐξ Αἰγύπτου ἐξῄεσαν· καὶ τοῦτό ἐστι τό·᾿Εκραταίωσας τὴν θά λασσαν. Δεύτερον δὲ τὸ συντριβῆναι τῶν Αἰγυπτίων ἐπὶ τῶν ὑδάτων κεφαλὴν, ου ς καὶ δράκοντας διὰ τὸ πονηρὸν τῆς γνώμης ὀνομάζει· ει τα μετὰ ταῦτα, καὶ τοῦ ἐξάρχον τος αὐτῶν βασιλέως, ο ν δράκοντα προηγό ρευσεν. –Κεφαλαὶ τῶν δρακόντων εἰσὶν τὰ πρῶτα κατὰ τὴν διάνοιαν συνιστάμενα φαῦ λα νοήματα. Συνέτριψαν δὲ αὐτὰ δι' ω ν ε λεγεν· ᾿Ερῥήθη τοῖς ἀρχαίοις· Οὐ μοιχεύ σετε, ἐγὼ δὲ λέγω ὑμῖν· ο τι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, η δη ἐμοίχευσεν αὐτήν. Καὶ ἐπὶ τῶν α λλων ὡσ αύτως. 73.16 Σὺ κατηρτίσω η λιον καὶ [φαῦσιν]. Φαῦσιν νῦν τὴν σελήνην ὠνόμασε. 73.18 Μνήσθητι ταύτης τῆς κτίσεώς σου. ᾿Εχθρὸς ὠνείδισε τὸν Κύριον, καὶ λαὸς α φ ρων παρώξυνε τὸ ο νομά σου. ᾿Επικαλεσάμενος διὰ τῆς κτίσεως εἰς οι κτον τοῦ λαοῦ τὸν Θεὸν, πάλιν ἑτέρῳ προ σώπῳ αὐτὸν ἐπικαλεῖται· ου τος δέ ἐστιν ὁ τρόπος τοῦ μεγαλοφρονεῖν τὸν ἐχθρόν. – Μνήσθητι ταύτης τῆς κτίσεώς σου· εἰς ἐ πικουρίαν προσκαλεῖται τὸν Θεὸν διὰ τῆς κτίσεως, καί φησι· Μνήσθητι ταύτης· εἰ διὰ τοὺς ἀνθρώπους, φησὶ, τὴν κτίσιν πε ποίηκας, παράσχου τὴν ἐπικουρίαν αὐτοῖς δι' ου ς ἡ κτίσις γεγένηται. –᾿Επειδὴ οὐχ ἡμεῖς ἠδικήμεθα, ἀλλὰ σύ· σὺ γὰρ, ὡς Θεὸς, τῶν σῶν πτωχῶν μὴ ἀποστραφῇς τὴν ἱκεσίαν· σὲ γὰρ ὠνείδισεν ὁ ἐχθρὸς, καὶ λαὸς α φρων παρώξυνε· τούτου χάριν ἀνάστηθι. Νῦν μὲν α φρονα τὸν διάβολον ὀνομάζει· πάλιν δὲ διὰ τὸ αὐτὸν ὀνειδίζεσθαι, εἰς οι κ τον καλεῖ τὸν Θεόν. Μνήσθητι τῶν ἐπαγγε λιῶν σου, φησὶν, ω ν ἐπηγγείλω τῷ῾Αβραὰμ δοῦναι τῷ σπέρματι αὐτοῦ, γῆν ῥέουσαν γά λα καὶ μέλι. 73.19 Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι; τῶν ψυχῶν τῶν πε νήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος. Ορα πάλιν οἰκτιρμοῦ τρόπον· διὰ τὸ τοὺς ἐχθροὺς παροξύναι τὸ ο νομα, ἐπανέτεινε τὸν τρόπον τῶν οἰκτιρμῶν· καὶ θηρία διὰ τὴν ὠμότητα τοὺς ἐχθροὺς ἀποκαλέσας, καὶ ε χοντάς τι τοὺς ἡμαρτηκότας συγγνώμης διὰ τῆς ἐξομολογήσεως. Τοῦτο δὲ ευ χεται μὴ ὁλοτρόπως ἀπολέσθαι τὴν ῾Ιερουσαλὴμ, ο καὶ γέγονεν· πολλοὶ γὰρ τῶν σταυρωσάν νων ἐπίστευσαν καὶ ἐσώθησαν. 73.22 ᾿Ανάστα, ὁ Θεὸς, δίκασον δίκην σου. ᾿Ανάστηθι, καὶ δίκασον τὴν δίκην σου.῾Η ὑπερηφανία τῶν δαιμόνων καὶ τῶν αἱρετι κῶν ἐγνωσμένη σοί ἐστιν. 74.1 Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, ψαλ μὸς τῷ᾿Ασὰφ ᾠδῆς. ῾Ο δὲ Σύμμαχος· ᾿Επινίκιος περὶ ἀφθαρ σίας ψαλμὸς ᾠδῆς. Ει ρηται καὶ ου τος ὁ ψαλμὸς ἐκ προσώ που τῶν ἐν Βαβυλῶνι δορυαλώτων, ὑμνεῖν τὸν Θεὸν ὑπισχνουμένων, ο ταν τῆς θείας χάριτος ἀπολαύσωσι. Κατὰ δέ τινας, εὐχα ριστήριός ἐστιν, ὡς ἀπὸ ᾿Εζεχίου ὑπὲρ τῆς τῶν ᾿Ασσυρίων ἀναιρέσεως. ῾Υψηλότερος δὲ περὶ ἀφθαρσίας ὁ λόγος, τῆς τοῖς δικαίοις ἀποκειμένης, οι ς καὶ τὸ τῆς νίκης ἀποτεθη σαύρισται βραβεῖα. Διὸ καὶ ἐπινίκιος ἐπιγέ γραπται, καὶ εἰς τὸ τέλος ἡμᾶς ἀναπέμπει, περὶ ου φησιν ὁ ἀπόστολος· Ει τα τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

τέλος, ο ταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί· εἰς ο οἱ ἐνταῦθα τὸν καλὸν ἀγῶνα νενικηκότες, τῆς ἀφθάρτου ζωῆς τεύξονται, η περὶ [τοῦ] τὸν ἀρξάμενον ε ργου ἀγαθοῦ ἐπιτελέσαι αὐτὸ δεῖ[ν]. Διὰ τοῦτο, εἰς τὸ τέ λος, μὴ διαφθείρῃς, ει ρηται, ι να μέχρι τέ λους φεύγοντες τὴν φθορὰν, ει τουν τὴν ἁμαρ τίαν, καὶ ἐν ἀφθαρσίᾳ τὸν Κύριον ἀγαπῶν τες, τουτέστιν ἐν ἀρετῇ, καὶ μὴ διαφθείραν τες τοὺς εὐσεβεῖς λογισμοὺς, τὴν ἀφθαρσίαν κληρονομήσωμεν κατὰ τὴν δικαίαν τοῦ Θεοῦ κρίσιν, η ς πρόῤῥησιν ε χει ὁ ψαλμός· ὁ γὰρ εἰς τὸ τέλος ὁρῶν καὶ ποιῶν τὸ τῆς ἀφθαρσίας, κέκραγε τό· Μὴ διαφθείρῃς. ̓Οργάνῳ δὲ καὶ φωνῇ ὁ ψαλμὸς ἀποτελεῖται· διὸ ψαλμὸς ᾠδῆς ἐπιγέγραπται, δηλωτικὸς ω ν τοῦ δεῖν ἡμᾶς καὶ ὀργάνῳ διὰ τῶν σωματικῶν κινή σεων ὑμνεῖν τὸν Θεὸν, καὶ φωνῇ νοητῇ, διὰ τοῦ τὸν νοῦν ἀνακεῖσθαι τῷ δημιουργῷ. Λέ γεται δὲ κατὰ μὲν τὴν ἀρχὴν ὑπὸ πλήθους, ἑξῆς δὲ ὑπὸ ἑνός. Νόει νῦν τὸ μὲν πλῆθος τὴν ἐκκλησίαν ει ναι, τὴν ἀπὸ ἐθνῶν κεκλη μένην καὶ ὑπακούσασαν τῷ καλέσαντι· μᾶλ λον δὲ τὸ τῶν ἀποστόλων πρόσωπον, παραι νοῦν τοῖς ἀνθρώποις σωτηρίας ε χεσθαι, [διὰ τὸ] ὑποτιθέμενον αὐτοῖς τὸ Θεῖον ἐκεῖνο καὶ φοβηρὸν δικαστήριον. Τὸν δὲ ε να τὸν Κύ ριον εὐχαριστοῦντα ἐπὶ τῇ ἐκκλησίᾳ. 74.2 ̓Εξομολογησόμεθά σοι, ὁ Θεὸς, ἐ ξομολογησόμεθα καὶ ἐπικαλεσόμεθα τὸ ο νο μά σου. Εὐχαριστήσομέν σοι σφόδρα ὑπὲρ τῶν γε γενημένων· ὁ γὰρ διπλασιασμὸς τὴν ἐπίτα σιν τῆς εὐχαριστίας δείκνυσι. Καὶ τὸ σὸν ο νομα, τὸ ὑπὸ τῶν ̓Ασσυρίων ὀνειδισθὲν, ἐπι καλεσόμεθα. Η ἀπὸ τοῦ ὀνόματος χριστια νοὺς καλέσομεν ἑαυτοὺς, καὶ τούτῳ λαμ πρυνθησόμεθα. Τάχα δὲ οἱ μὴ τέλειοι ἐξο μολογοῦνται μὲν περὶ τῶν ὑπαρξάντων αὐ τοῖς ἀγαθῶν, ἐπικαλοῦνται δὲ ὑπὲρ τοῦ α λλα λαβεῖν· οἱ δὲ τέλειοι ὑπὲρ τῆς φυλα κῆς ω ν ε λαβον. Η ἐπεὶ διττὸς ὁ τῆς ἐξομο λογήσεως τρόπος, δὶς ει ρηται τὸ ἐξομολο γεῖσθαι, τοῦ μὲν πρώτου δηλοῦντος τὴν ἐφ' ἁμαρτίαις ἐξομολόγησιν· τοῦ δὲ δευτέ ρου τὴν ἐφ' οι ς πεπόνθασιν ἀγαθοῖς εὐχα ριστίαν· ἐπεὶ δὲ οὐχ οι όν τέ ἐστιν ου τως ἐ πικαλέσασθαι τὸ ο νομα Κυρίου, ω στε τυχεῖν τοῦ· Ος α ν ἐπικαλέσηται τὸ ο νομα Κυρίου, σωθήσεται, ἐὰν μὴ πρότερόν τις ἀποταξάμε νος τῇ ἁμαρτίᾳ ἐξομολογήσηται περὶ τῶν προημαρτημένων, διὰ τοῦτο ἡ ἐκκλησία ἐ πιμένει τῇ ἐξομολογήσει· ει περ ου ν καὶ ἡ μεῖς θέλομεν ἐν τοῖς ἐπικαλουμένοις εὑρε θῆναι καὶ σωθῆναι μετ' αὐτῶν, κατήγοροι τῆς ἑαυτῶν ἁμαρτίας γενώμεθα, τέλεον κα ταλιπόντες αὐτήν. 74.3 Διηγήσομαι πάντα τὰ θαυμάσιά σου, ο ταν λάβω καιρὸν, ἐγὼ εὐθύτητας κρινῶ. ̔Ενικῶς τοῦτο εἰπὼν ὡς ἑκάστου τοῦτο λέγοντος, ο περ ἐν τῇ κοινῇ πάντων γίνεται φωνῇ· τὸ δ' ο ταν λάβω καιρὸν, τουτέστιν ο ταν ἐπανέλθωμεν ἐκ τῆς αἰχμαλωσίας, διὰ τὸ μὴ ἐξεῖναι ᾳ δειν ἐπὶ τῆς ἀλλοτρίας· δι η γεῖσθαι δὲ τοῦ Θεοῦ τὰ θαυμάσια ὑπισχνεῖ ται καὶ ὁ ἀποστολικὸς χορὸς, τῶν διωκόν των ἀπαλλαγείς. Τάχα δὲ ὁ Σωτὴρ λέγει ταῦτα πρὸς τὸν Πατέρα περὶ τῆς ἐκκλησίας, ο τι οὐδέπω ταύτας χωροῦσι τὰς διηγήσεις τῶν μυστηρίων σου, ἀλλὰ καιροῦ δέονται τῆς τελείας ἐπιστροφῆς. Εἰ θέλοι ου ν καὶ ἡμῶν ε καστος ἀκοῦσαι τοῦ ̓Ιησοῦ διηγου μένου τὰ θαυμάσια τοῦ Πατρὸς, δότω αὐτῷ καιρόν· δίδωσι δὲ καιρὸν ὁ βιοὺς καλῶς. Τὸ μὲν ου ν διηγήσομαι, ἀνθρώπινον, τὸ δὲ ἑξῆς Θεοῦ φωναὶ, ω σπερ νοοῦμεν, τὸ ε θος ἐχού σης τῆς γραφῆς τὰς μεταβάσεις ποιεῖσθαι τῶν προσώπων, α νευ τοῦ ἐπισημαίνειν. ̔Ο Μονογενὴς εἰσάγεται τὰς οἰκείας ἐνεργείας διδάσκων, καὶ τὴν τοῦ Πατρὸς θεολογίαν δι ε ξιών. ̓Αντὶ δὲ τοῦ ο τε λάβω καιρὸν, συνταγὴν ὁ Σύμμαχος ει πε, τοῦ λόγου δηλοῦντος ὡς ἐπειδὰν ὁ συνταχθείς μοι παρὰ σοῦ τῆς ἐπιδημίας καιρὸς ἐπιστῇ, πάντα σου, Πάτερ, τὰ θαυμάσια τοῖς ἐξ ἐθνῶν διηγήσομαι· δι καιοσύνης γὰρ ε ργον τὸ μὴ μόνον ̓Ιουδαίους προσίεσθαι, ἀλλ' ἐξ ἁπάντων ἐθνῶν ποιεῖσ θαι τῶν σωζομένων τὴν ἐκλογὴν, διὸ ἐπά γει· ̓Εγὼ εὐθύτητας κρινῶ. Αυ τη τοῦ σωτῆρος ἡ φωνὴ, δικαίως κρί νειν ἀπαγγελλομένου κατὰ τὸν καιρὸν τοῖς ἀδικοῦσι καὶ τοῖς ἀδικουμένοις· μόνος γὰρ αὐτὸς εὐθύτητας κρινεῖ· κατὰ δὲ τὴν ἱστο



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ρίαν, ἐγὼ, φησὶν, ὑμῖν δικάσω καὶ Βαβυλω νίοις καὶ Ἀσσυρίοις. 74.4 Ἐτάκη ἡ γῆ, καὶ πάντες οἱ κατοι κοῦντες αὐτήν. Ἀλλὰ μαρτυρησάτω καὶ ἡμῖν Ἰησοῦς, ο τι ἡ εἰκὼν τοῦ χοϊκοῦ καὶ ἡ ἐν τῷ θνητῷ ἡμῶν σώματι βασιλεύουσα ἁμαρτία, καὶ πᾶν τὸ γήϊνον, καὶ ἡ περὶ τὰ γήϊνα ἐνέργεια, μετὰ τῶν ᾠκειωμένων τοῖς γηΐνοις ἀντικει μένων δυνάμεων, οὐ μόνον ἀπετέθη, ἀλλὰ καὶ οἱονεὶ ἐξηφανίσθη τέλεον. Ἐὰν γὰρ τῷ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατώ σωμεν, ὡς πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ περιφέρειν ἡμᾶς, ἐρεῖ περὶ τῆς ἐν ἡμῖν γῆς καὶ τῶν γηΐνων τὸ ἐτάκη ἡ γῆ. Καὶ ἐν τῇ συντελείᾳ δὴ ἐρχομένης τῆς κρίσεως, ὁ οὐ ρανὸς καὶ ἡ γῆ παρελεύσονται, καὶ οἱ ἐν τῇ γῇ ἀποθανοῦνται. 74.5,6 Ει πα τοῖς παρανομοῦσι μὴ πα ρανομεῖν, καὶ τοῖς ἁμαρτάνουσι· Μὴ ὑψοῦτε κέρας. Μὴ ἐπαίρετε εἰς υ ψος τὸ κέρας ὑμῶν, μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν. Πλὴν ἀλλὰ καὶ τοῖς καθ' ο λης τῆς οἰκου μένης ε θνεσι διὰ τῶν ἀποστόλων ἐμαρτύρατο μὴ παρανομεῖν, μηδὲ λαλεῖν ἀδικίαν κατὰ τοῦ Θεοῦ. Παρανομοῦσι γὰρ οἱ ἀπὸ τοῦ λαοῦ, οι τινες ἀκούοντες τῶν νόμων, οὐκ ἐ τήρουν αὐτούς. 74.8 Οτι ὁ Θεὸς κριτής ἐστι· τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ. Ον θέλει δηλαδὴ κατὰ τὴν ἀξίαν τῶν βεβιωμένων ἑκάστῳ. Η ταπεινοῖ μὲν τὸν ἐκ περιτομῆς λαὸν, ὑψοῖ δὲ τὸν ἀπὸ τῶν ἐθνῶν, κατὰ τὰ εἰρημένα ἐν ταῖς ἀραῖς· Οτι ὁ προσήλυτος ο ς ἐστιν ἐν σοὶ, ἀναμνήσεται ἐπὶ σὲ α νω, α νω· σὺ δὲ καταβήσῃ κάτω, κάτω. –Καὶ α λλως· τοῦτον ταπεινοῖ, τὸ φρόνημα τῆς σαρκὸς, καὶ τοῦτον ὑψοῖ, τὴν ψυχὴν καὶ τὸ πνεῦμα. Καὶ μέντοι αὐτὸς καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ. Καὶ ταπεινοῖ μὲν ἀσεβεῖς, ὑψοῖ δὲ τοὺς ταπεινοὺς τῇ καρ δίᾳ. 74.9 Οτι ποτήριον ἐν χειρὶ Κυρίου, οι νου ἀκράτου πλῆρες κεράσματος. Κέρασμα τὸν οὐρανὸν ὀνομάζει. 74.10 Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρ τωλῶν συνθλάσω. Κλάσματα λέγει τὴν φθοράν. 75.3 Καὶ ἐγεννήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών. Ἀλλ' εἰ μὲν ὁ παρὰ Ἰουδαίοις τιμώμενος τόπος ἀπόρθητος καὶ ἀπολέμητος ἐπεφύλα κτο, λόγον α ν ει χε συγχωρεῖν Ἰουδαίοις αὐ τὸν ει ναι νομίζειν τὸν ὑπὸ τῶν γραφῶν δη λούμενον. Εἰ δὲ ου τος μὲν ἐκ βάθρων η ρται ἁλοὺς πολλάκις ὑπὸ πολεμίων, ἐν εἰρήνῃ δὲ λέγεται ὁ τόπος τοῦ Θεοῦ, οὐκ α ν δύναιτο ἀληθῶς λογίζεσθαι τόπος ει ναι Θεοῦ, ὁ πολ λάκις ὑπὸ πολεμίων ἁλούς· διὸ οὐδ' ει ρηκεν ὁ προφήτης· Ἐν Σαλὴμ γέγονεν ὁ τόπος αὐ τοῦ, ὡς α ν μέν τις Ἰουδαϊκῶς νοήσῃ τὰ Ἱεροσόλυμα· ἀλλ' ἀντὶ ταύτης, τὴν διάνοιαν τοῦ πράγματος παρέστησεν, ἀντὶ τοῦ Σαλὴμ εἰ πὼν ἐν εἰρήνῃ. Εἰ μὲν ου ν καὶ ἐπὶ γῆς εὑρίσ κοιντο ψυχαὶ ἐν εὐσταθίᾳ καὶ ἀταραξίᾳ καὶ γαλήνῃ διάγουσαι, εἰκότως α ν λέχθειεν καὶ αὐταὶ τόπος Θεοῦ, ὡς αἱ χωρητικαὶ ου σαι θείου Πνεύματος. Εἰ δὲ σπανίως εὑρίσκοιντο ἐπὶ γῆς τοιοῦτοι, ἐν δὲ τῇ κατ' οὐράνιον χρη ματίζουσι τοῦ Θεοῦ πόλεις αἱ τῶν ἁγίων ψυ χαὶ, ε νθεν ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στε ναγμὸς, δῆλον ο τι εἰρήνης ε σται τόπος ἡ α νω Ἱερουσαλὴμ ὡς ἐλευθέρα, ο ρασις ἀλη θῶς ου σα εἰρήνης· ἀλλὰ γὰρ παντὶ τρόπῳ καὶ ἡμῖν ἀποδιωκτέον τὴν τῶν παθῶν τα ραχὴν, ι ν' εἰρήνην τὴν ὑπερέχουσαν πάντα νοῦν ε χοντες, τόπος γινώμεθα Θεοῦ. Ἐσό μεθα δὲ καὶ κατοικητήριον αὐτοῦ, σκοπευ τικοὶ τῆς ἀληθείας καὶ ἀρετῆς προθέμενοι ει ναι. Σιὼν γὰρ σκοπευτήριον ἑρμηνεύεται. Ὡς ου ν ὁ ἁμαρτωλὸς δίδωσιν τόπον τῷ δια βόλῳ, ου τως ὁ καλὸς καὶ ὁ ἀγαθὸς δίδωσι τόπον τῷ Θεῷ ἐν τῷ ἡγεμονικῷ αὐτοῦ, ζη τοῦντι ἐνοικῆσαι ἐν ἡμῖν καὶ ἐμπεριπατῆσαι, καὶ μονὴν ποιῆσαι· καὶ ψυχὴ γενομένη σκο πευτήριον καὶ χρηματιστήριον τοῦ τόπου τοῦ Θεοῦ, ε σται κατοικητήριον τοῦ Θεοῦ. 75.11 Οτι ἐνθύμιον ἀνθρώπου ἐξομολο γήσεταί σοι. Τοῦτο τὸ ἐνθύμιον αὐτοῦ τοῦ ἀνθρώπου ἐστὶν, μὴ ἐφαπτομένης ε ξωθεν δυνάμεως ἀγαθῆς η πονηρᾶς, λέγεται δὲ καὶ λογισ μός. 76.1 Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἡ φωνή μου πρὸς τὸν Θεὸν, καὶ προσέ σχε μοι. Τί δὲ τὸ πρὸς Κύριον; ο τι ἡ τῶν πολλῶν φωνὴ οὐκ ἀναφέρεται πρὸς τὸν Κύριον· οὐδὲ γὰρ κατὰ Κύριον πρόεισιν αυ τη· τοῦ δὲ δικαίου οὐ μόνον ἡ κατὰ τὴν εὐχὴν φω νὴ, ἀλλὰ πᾶσα φωνὴ ἱεροῦται τῷ Κυρίῳ, τῷ ἀεὶ λέγειν α δεῖ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ πᾶσα ει ναι κατὰ Θεόν. Καὶ ἡμεῖς ου ν ἐὰν μὴ ο λῃ ἀνακειμένῃ ψυ χῇ αὐτῷ εὐχώμεθα, ἀλλὰ παρὰ τὸν καιρὸν μόνον εὐχώμεθα, κεκραξόμεθα τῇ φωνῇ πρὸς τὸν Θεὸν, οὐ καθαρᾷ δὲ φωνῇ εὐχόμενοι, οὐκ ἀκουσθησόμεθα. Ἐγὼ κα ν προσέχῃ μοι ὁ Θεὸς, διὰ τὴν ἐν ἐμοὶ α νοιαν οὐκ αἰσθάνο μαι ο τι προσέσχε μοι ὁ Θεός· ὁ δὲ η δη διαβε βηκὼς καὶ προκόπτων, οὐκ ἀναισθητεῖ τῆς τοῦ Θεοῦ προσοχῆς, η τῆς ἀποστροφῆς· διὸ νῦν μὲν λέγει ο τι προσέσχε μοι. Ἑτέρωθι δὲ ι να τί τὸ πρόσωπόν σου ἀποστρέφεις ἀπ' ἐ μοῦ; ἐάν ποτε αι σθησθε ἀπεστραμμένου αὐ τοῦ, η διὰ πειρασμοῦ, η ὁπωσδήποτε τοῦ Θεοῦ κτλ. 76.4 Ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην. Ἠδολέσχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. Οὐ κομίζει ὀλιγοψυχίαν καὶ λύπην μνη μονευθεὶς ὁ Θεὸς, ἀλλὰ καὶ εὐφροσύνην ἐρ γάζεται. Οὐδὲν γὰρ ου τω παρακαλεῖ ψυχὴν, ὡς μνήμη Θεοῦ· μνήμη γὰρ Θεοῦ εὐφραίνει ψυχήν. Ὁ δὲ ἐπιλαθόμενος αὐτῆς πενθήσει πικρῶς. –Ἀδολεσχία ἐστὶν ἡ περί τι συ νεχὴς διατριβὴ καὶ ὁμιλία. 76.5 Προκατελάβοντο φυλακὰς πάντες οἱ ἐχθροί μου. Τοῦτο γνώρισμά ἐστι πολλῆς ἀγρυπνίας. μόνον Θεὸν ἀναπολήσας καὶ μνησθεὶς ἐν τοῖς ὀδυνήροις, εὐφράνθην. 76.7 Καὶ ἐμελέτησα νυκτὸς μετὰ τῆς καρδίας μου, ἠδολέσχουν καὶ ε σκαλεν τὸ πνεῦμά μου. Τὸ ε σκαλλον ὁ Θεοδοτίων ἐξηρεύνησεν· ὁ δὲ Σύμμαχος, ἐσκάλεσεν ει ρηκεν. Ταῦτά φησι· Νύκτωρ παρ' ἐμαυτῷ λογιζόμενος, ἀ νηρεύνων. Τί δέ ποτε τῶν ἡμετέρων προγό νων τοσαύτην ἐποιήσατο πρόνοιαν; ἡμῶν δὲ κακοπραγούντων ὑπερορᾷ; ἐλογιζόμην δὲ πρὸς τούτοις καὶ ταῦτα· Αρα μὴ παντε λῶς τὰ καθ' ἡμᾶς ἀπηγόρευσεν καὶ ἀλλο τρίους ἡμᾶς τῆς αὐτοῦ κηδεμονίας ἀπέφη νεν; 76.11 Καὶ ει πα· Νῦν ἠρξάμην, αυ τη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου. Δεξιάν φησι ἀντιλαμβανομένην ἁγίων καὶ σώζουσαν αὐτοὺς, καὶ καταφέρουσαν ἐχθροὺς καὶ ἀνατρέπουσαν αὐτοὺς ἀνθεστηκότας· ἠλλοιώμην ἐγὼ, πεφρόνηκα, λοιπὸν ὀρθῶς διάκειμαι, διότι καὶ ἀγαπᾷ Θεὸς τοὺς ἁ γίους. 76.14 Ὁ Θεὸς, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου. Αγιος ει , φησὶ, καὶ ἐν ἁγίοις ἀναπαύῃ, καὶ ἐν τούτοις ἐνοικεῖς καὶ ἐμπεριπατεῖς. 76.16 Ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου. Βραχίων τοῦ Θεοῦ ὁ Χριστὸς, δι' ου ἠνέρ γησεν τὰ ἐν ἡμῖν ἀγαθὰ, τὰ κατὰ τὴν ἐπι θυμίαν αὐτοῦ γεγονότα. 76.17 Ει δοσάν σε υ δατα, ὁ Θεὸς, ει δοσάν σε υ δατα. Νῦν τὰ υ δατα λογικὰς φύσεις σημαίνει. 76.18,19 Φωνὴν ε δωκαν αἱ νεφέλαι, καὶ γὰρ τὰ βέλη σου διαπορεύονται. Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ. Νεφέλας ἐν τούτοις [λέγει] τοὺς ἀποστό λους, τοὺς τὸν εὐαγγελικὸν καὶ οὐράνιον δια κονοῦντες λόγον· βέλη δὲ τὰς ἐνεργείας τοῦ Πνεύματος. Ομοιον ου ν ὡσεὶ λέγοιεν· ἐνέργειαι εἰς τοὺς ἁγίους μαθητὰς ἐξάκουστοι πάσῃ τῇ οἰκουμένῃ γεγόνασιν. Ἰστέον δὲ ὡς καὶ αὐτὸς ὁ Χριστὸς βέλος ἐκλεκτὸν ὠνό μασται παρὰ τῷ Ἡσαΐᾳ. Βροντὴν, τὸν εὐαγ γελικὸν λόγον, τὸν κατακτυπήσαντα τὴν ἐπούρανον, διὸ καὶ τὸν εὐαγγελιστὴν υἱὸν βροντῆς ἐπεκάλεσε. Τροχὸν δὲ τῶν ἀνθρώ πων τὸν βίον, ὡς ἐκ τοῦ Ἰεζεχιὴλ ε στι μα θεῖν. – Αλλος δὲ φωνὴν ἐν τῷ τροχῷ, ἡ νίκα ἐνέδησε τοὺς α ξονας τῶν αἰγυπτίων ἁρμάτων. 76.21 Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών. Ἡ κατὰ Μωσέα φιλοσοφία τετραχῇ τέ μνεται· εἰς τὸ ἱστορικὸν, καὶ τὸ κυρίως λε γόμενον νομοθετικὸν, α περ α ν ει η τῆς ἠθι κῆς πραγματείας ι δια· τὸ τρίτον τε εἰς τὸ ἱερουργικὸν, ο ἐστιν η δη τῆς φυσικῆς θεω ρίας, καὶ τέταρτον ἐπὶ πᾶσι τὸ θεολογικὸν ει δος. Τετραχῶς δὲ ἡμῖν ἐκληπτέον καὶ τοῦ νόμου τὴν βουλὴν ὡς τύπον τινὰ δηλοῦσαν, η ὡς σημεῖον ἐμφαίνουσαν, η ὡς ἐντολὴν κυροῦσαν εἰς πολιτείαν ὀρθὴν, η θεσπίζουσαν ὡς προφητείαν. Ταύτῃ δὲ μεθόδῳ Μωϋσῆς καὶ Ἀαρὼν ὁδηγοῦσι τὸν ἀπὸ κακίας ἐπ' ἀ ρετὴν ὁδεύοντα λαόν. 77.1 Συνέσεως τῷ Ἀσάφ. Προσέχετε λαός μου τὸν νόμον μου, κλί νατε τὸ ου ς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στό ματός μου. Ταύτης γὰρ δεόμεθα εἰς θήραν τῆς προ κειμένης διανοίας, ω στε γνῶναι τίς ὁ λόγος, καὶ τίς ὁ λαὸς αὐτοῦ, καὶ τίς ὁ νόμος, ε τερος ω ν παρὰ τὸν τοῦ Μωσέως. Δαυὶδ γὰρ οὐκ η ν νομοθέτης, ι να λέγῃ· Προσέχετε τῷ νόμῳ μου, οὐδὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

η ρμοττεν αὐτῷ λέγειν· Τὰ ῥήμα τα τοῦ στόματός μου. Οὐ γὰρ οἰκεῖα, τὰ δὲ πρὸς τοῦ Πνεύματος προέφερε ῥήματα. ῾Ο μὲν ου ν λέγων σωτήρ ἐστι, νόμος δὲ αὐτοῦ τὸ εὐαγγέλιον, καὶ λαὸς οἱ χριστιανοί. Τά χα δὲ εἰ μὴ Ματθαῖος ει πεν ο τι ἐκ προσώ που τοῦ Σωτῆρός ἐστιν ὁ ψαλμὸς, οὐκ α ν ἐτόλμησα, διὰ τό· Οσα ἠκούσαμεν, καὶ τὰ ἑξῆς, ἐπὶ τὸν Σωτῆρα ἀναγαγεῖν τὰ γεγραμ μένα. Νῦν δὲ σώζω, καὶ ο τι ὁ Σωτὴρ ὁ λέ γων ἐστὶ, καὶ ο τι οὐ δι' ο λου τοῦ ψαλμοῦ λέγει ὁ Σωτήρ. Ταῦτα μὲν εἰς τὸ καθάραι τὸ λέγειν πρό σωπον, κατὰ λέξιν δὲ ἀκούσωμεν. Προσέχετε κτλ. Νόμου ο ντος τοῦ κατὰ Μωσέα, ευ χεται τὸ ἐν τῷ προφήτῃ Πνεῦμα ἐν τῷ Θ´ ψαλμῷ, ο πως ἀναστήσῃ τοῖς ε θνεσι νομοθέτην, καὶ διαθήσεται διαθήκην καινὴν, κατὰ ῾Ιερεμίαν, καὶ ἀλλαχόσε λέγει· Δώσω αὐτοῖς καρδίαν ἑτέραν τοῦ φοβεῖσθαί με, καὶ ὁδὸν ἑτέραν. Ηλθεν ου ν ὁ Σωτὴρ, καὶ λέγει Χριστιανοῖς, τῷ λαῷ αὐτοῦ, τῷ ἐξ ἐ θνῶν· Προσέχετε, λαός μου, τῷ ἐμῷ νόμῳ, τῷ εὐαγγελικῷ, περὶ ου ει ρηται· ᾿Εκ Σιὼν ἐξελεύσεται νόμος, ἀλλὰ μὴ ὁ τοῦ Μωσέως. μηκέτι σαββατίζετε, μὴ πάλιν α ζυμα ποιή σητε, μηκέτι κατὰ τὰ πρῶτα καὶ παλαιὰ πορεύεσθε. ᾿Ιδοὺ, γέγονε τὰ πάντα καινὰ, τὰ ἀρχαῖα παρῆλθον. Οτι δὲ λαὸς Χρι στοῦ τὰ ε θνη, Ζαχαρίας φησί· Καταφεύξον ται ε θνη πολλὰ ἐπὶ τὸν Κύριον, καὶ ε σονται αὐτῷ εἰς λαόν. 77.2 ᾿Ανοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς. Καὶ ἐν τῷ εὐαγγελίῳ πρῶτον ἀπὸ τοῦ νόμου α ρχεται ὁ Κύριος λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ει τα λέγει τὰς παρα βολάς. Δεῖ δὲ καὶ ἡμᾶς πρῶτον τῷ νόμῳ ἐπιμελῶς ἐμμελετῆσαι, καὶ μετὰ τὴν κατόρ θωσιν τῶν ἐθῶν ἐλθεῖν ἐπὶ τὴν θεολογίαν, η τοι τὰ τοῦ στόματος ῥήματα· οὐκ αἰσθη τῶς δὲ πάρεστι Χριστὸς, τὸ ῥῆμα λαλῶν, ι να κλίναντες τοῦτο τὸ ου ς πληρώσωμεν τὴν ἐντολὴν, ἀλλ' ε στιν α λλο τι ἐν ἡμῖν ου ς, περὶ ου λέγει ὁ Σωτήρ·῾Ο ε χων ω τα ἀκούειν, ἀκουέτω. Παραβολή ἐστι λόγος ὡς περὶ γενομένου τοῦ μὴ γενομένου κατὰ τὸ ῥητὸν, δυναμένου δὲ γενέσθαι, τροπικῶς δηλωτικὸς τῶν πραγ μάτων ἐκ μεταλήψεως τῶν ἐν τῇ παραβολῇ λεγομένων· η λόγος ἀπό τινος οὐ κύριον μὲν ἐμφορῶν τῷ κυρίῳ, ἐπὶ δὲ τὸ ἀληθὲς καὶ κύριον α γων τὸν συνιέντα· η λέξις δι' ἑ τέρων τὰ κυρίως δηλούμενα μετ' ἐνεργείας παριστάνουσα. 77.3-6 Οσα ἠκούσαμεν καὶ ε γνωμεν αὐ τὰ, καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν· οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γε νεὰν ἑτέραν, ἀπαγγέλλοντες τὰς αἰνέσεις Κυρίου καὶ τὰς δυναστείας αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ α ἐποίησε. Καὶ ἀνέστησε μαρτύριον ἐν ᾿Ιακὼβ, καὶ νόμον ε θετο ἐν ᾿Ισραὴλ, ο ν ἐτείλατο τοῖς πατράσιν ἡμῶν, γνωρίσαι αὐτὸν τοῖς υἱοῖς αὐτῶν, ο πως α ν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησόμενοι, καὶ ἀναστήσονται, καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν, ι να θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ε ρ γων τοῦ Θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζη τήτωσιν, ι να μὴ γένωνται ὡς οἱ πατέρες αὐ τῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα· γενεὰ η τις οὐ κατηύθυνε ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς. Τὸ ἑξῆς οἱ πατέρες ἡμῶν διηγήσαντο ἡ μῖν, ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυ ρίου. Τὰ μὲν ου ν πρῶτα ἐξ ἑνὸς ἐλέγετο προσώπου τοῦ Χριστοῦ, τὰ δὲ προκείμενα λέλεκται μὲν ἐκ τοῦ αὐτοῦ· συμπαραλαμ βάνει δὲ καὶ ε τερα πρόσωπα, ὑποκαταβὰς τῆς αὐτοῦ θεότητος, καὶ ἀνθρωπίνως φθεγ γόμενος. Οἱ δὲ συμπαραλαμβανόμενοι εἰσὶν οἱ κατὰ σάρκα ὁμογενεῖς αὐτοῦ μαθηταί. Διὸ πληθυντικῶς διεξέρχεται τὰ μετὰ χεῖ ρας. Οτε μὲν γὰρ οἰκεῖον νόμον αὐτοῖς προ ϋβάλετο, σὺν αὐθεντίᾳ βασιλικῇ ἐξ ἑνὸς προ σώπου προεφέρετο τὴν ἐπαγγελίαν. Νῦν δὲ ο τε τῶν παλαιῶν ἀναγνωσμάτων ἐπιτέμνει τὴν διήγησιν, κοινοποιεῖ τὸν λόγον, καὶ ἠκούσαμεν, ει πε, διὰ τὸ πρόσλημμα, καὶ ε γνωμεν, ἀντὶ τοῦ ἐβεβαιώθημεν περὶ αὐτῶν, καὶ ἐπληροφορήθημεν, τῶν πατέρων ἡμῖν διηγησαμένων, Μωσέως, φημὶ, καὶ τῶν προ φητῶν. Τούτων γὰρ υἱὸς ὁ Χριστὸς διὰ τῆς μητρός. Τάχα δὲ καὶ οἱ μαθηταὶ ἀποκρίνοντες καί φασιν· Οσα ἠκούσαμεν καὶ ε γνωμεν, καὶ τὰ ἑξῆς. Οὐ πάντων δέ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστιν τὸ ἀκού ειν καὶ τὸ γινώσκειν, η μόνον τῶν συνιέντων τοὺς λόγους· ἀλλ' οὐδὲ πᾶσιν οἱ φύσει πα τέρες διηγήσαντο, ἀλλά τισι, καὶ οἱ κατ' ἐπισ τήμην καὶ θέσει. Ἡμεῖς γοῦν οἱ ἐξ ἐθνῶν τῷ θείῳ Λόγῳ προσελθόντες, οὐκ ε χομεν διδασκάλους ἐπιγράψασθαι τῶν μαθημάτων τοὺς κατὰ σάρκα πατέρας. Εἰ δὲ βούλει, ταῦτα οἱ Χριστοῦ νοῦν ε χοντες συνῆκαν πνευματικῶς· οὐ γὰρ ἐκρύβη ἀπ' αὐτῶν τῶν πατέρων κατ' ἐπιστήμην διηγησαμένων αὐ τοῖς. Καὶ αὐτοὶ δὲ ου τοι τοῖς τέκνοις ἑαυτῶν γεννηθεῖσιν ὑπ' αὐτῶν διὰ παιδεύσεως ἐφα νέρωσαν τὰ ἀπ' ἀρχῆς προβλήματα, ο πως καὶ εἰς τὴν ἑξῆς αὐτῶν γενεὰν γνωστὰ, καὶ μὴ κεκρυμμένα τυγχάνῃ. Οσα ου ν, φησὶ, παρὰ τῶν πατέρων δεδιδάγμεθα ἀκούσαν τες, πάντα ταῦτα διὰ τῶν ε ργων καὶ τῆς αὐ τοῦ Χριστοῦ παρουσίας ἐγνώκαμεν, οὐχ ἑτέ ρᾳ δὲ γενεᾷ, ἀλλὰ τοῖς τέκνοις αὐτῶν πέ πρακται τὰ παρὰ τοῦ Σωτῆρος μεγαλουρ γήματα. Διὸ οὐκ ἐπαύσαντο αὐτοῖς ἐπαγ γέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου, καὶ τὰς δυναστείας αὐτοῦ, τουτέστι τὰ θαυμαστὰ καὶ αἰνετὰ, καὶ θείας δυνάμεως δηλωτικὰ ε ργα αὐτοῦ. Κατὰ δὲ τὸ πρόχειρον· Ανωθεν, φησὶ, καὶ ἐξ ἀρχῆς οἱ τῶν θαυμάτων αὐτόπται τοὺς προσεχῶς οἰκείους παίδας, ταῦτα ἐδί δαξαν, κἀκεῖνοι τοῖς ἐκγόνοις παρέπεμψαν, οὐ κρύψαντες α ε μαθον πρὸς τὴν ἑτέραν μετὰ αὐτοὺς γενεὰν καὶ ἑξῆς. Τοῦτο δὲ ἐποίουν, τῷ θείῳ νόμῳ πειθόμενοι, τῷ λέγοντι· Διδά ξεις αὐτὰ τοὺς υἱούς σου καὶ τοὺς τῶν υἱῶν σου. Διὸ ἐπάγει· Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν, ἐπαγγέλλοντες τὰς αἰνέσεις Κυρίου, καὶ τὰς δυναστείας αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ α ἐποίησε, καὶ ἀ νέστησε μαρτύριον ἐν Ἰακὼβ, καὶ νόμον ε θετο ἐν Ἰσραὴλ, ο ν ἐνετείλατο τοῖς πατρά σιν ἡμῶν, γνωρίσαι αὐτὸν τοῖς υἱοῖς αὐτῶν, ο πως α ν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησό μενοι, καὶ ἀναστήσονται, καὶ ἐπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν. Διεμαρτύρετο, φησὶ, καὶ νόμον διέθετο τῷ. προτέρῳ λαῷ ἐντειλάμενον αὐτοῖς γνωρίσαι αὐτὸν τοῖς ἀπογόνοις, ὡς α ν μηδεμίαν λάθῃ γενεάν. Τὰ δὲ συμπέρασμα τοῦ νόμου, καὶ ὁ σκοπὸς ου τος η ν, ι να μαθόντες τὰ γεγο νότα, βεβαίαν κτήσαιντο τὴν εἰς αὐτὸν ἐλ πίδα, καὶ τοῖς ὑπ' αὐτοῦ τεθεῖσι νόμοις ἀκο λουθήσωσι· καὶ ι να μὴ γένωνται ὡς οἱ πα τέρες· ἠθέτουν γὰρ ἀεὶ, καὶ οὐκ ἐβιβαιοῦτο ἡ καρδία αὐτῶν πρὸς αὐτόν. Τοῦτο γὰρ τὸ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς. Πνεῦμα δὲ νῦν τὴν προαίρεσιν, τὴν τῆς γνώ μης διαθέσιν λέγει. Σκολιὸν δὲ καλεῖ, οὐχ ο τι ἐκ φύσεως η ν φαύλη, ἀλλ' ο τι ε κουσα οὐ κατηύθυνε τὴν καρδίαν ἑαυτῆς, οὐδ' ει χεν ὀρθὴν πίστιν πρὸς τὰς θείας ἐπαγγελίας, ἀλλ' ἐδίσταζε, καὶ παρεπίκραινε διὰ τοῦτο γογγύζειν ἐν τοῖς δυσχερέσι. Καὶ ταῦτα μὲν ὁ Δαυὶδ παρεγγυᾷ τοῖς περὶ αὐτόν. Σὺ δὲ καὶ ου τως ἐπιβαλεῖς· Μαρτύριόν φησι τοῦ μαρτυρίου, ἐν ῃ καὶ πλάκες, παιδαγωγῶν αὐτοὺς εἰς τὸ γνῶναι διὰ τοῦ νόμου τὸν κα τὰ καιρὸν ἐπιδημοῦντα Σωτῆρα τῷ γένει, ο πως οἱ τεχθησόμενοι υἱοὶ, τουτέστιν οἱ μακάριοι μαθηταὶ τὰ θαυμάσια α κατώρ θωσεν ὁ Χριστὸς, ἀπαγγελοῦσι τοῖς προσελ θοῦσι τῇ πίστει, καὶ ταῦτα αὐτοῖς διηγήσον ται, δι' ω ν δυνήσονται μόνον ἐλπίδα τὸν Θεὸν ἐπιγράψασθαι, τὴν τῶν πατέρων κα κοδαιμονίαν μὴ μιμησάμενοι. Ὁ γὰρ πρό τερον λαὸς οὐκ ἐτήρησε τὴν συνθήκην, τὴν πρὸς τὸν Θεὸν, ου τοὺς ψόγους μανθάνω μεν, ι να μὴ γινώμεθα ὡς ἐκεῖνος, ὁ δὲ λαὸς ὁ τεχθησόμενος, ὁ ἐξ ἐθνῶν πιστεύσας, συν ταφεὶς Χριστῷ διὰ τοῦ βαπτίσματος, καὶ συνανέστη αὐτῷ· διὸ ει ρηται· Ἀναστήσον ται υἱοὶ τεχθησόμενοι. 77.10-12 Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἐθέ λον πορεύεσθαι. Καὶ ἐπελάθοντο τῶν εὐερ γεσιῶν αὐτοῦ καὶ τῶν θαυμασίων αὐτοῦ, ω ν ε δειξεν αὐτοῖς ἐναντίον τῶν πατέρων αὐ τῶν, α ἐποίησε θαυμάσια ἐν γῇ Αἰγύπτου, ἐν πεδίῳ Τάνεως. Καίτοι πολλὰ εὐηργετουμένα πάντα ἀπὸ τῆς μνήμης ἀπεῤῥίπτησαν· καὶ τούτου ἀπό δειξις τὸ παραδοῦναι αὐτὸν Πιλάτῳ. Εὐερ γετούμενοι ὑπὸ τοῦ κτίστου, ἐπιλανθάνονται οἱ αἱρετικοὶ, καὶ οὐκ ἐνορῶσιν τοῖς ἐν τῇ κτίσει θαυμασίοις. Οἱ ἀρνούμενοι τὰ πα λαιὰ οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ, ἀλλὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ οἱ διακόπτοντες τὴν θεότητα, ἐν τῷ τοῦ κτίσαντος πνευματικῷ νόμῳ οὐκ ἐβουλήθησαν πορεύεσθαι. –Τάνις λέγεται ἐντολὴ ἀπὸ κρίσεως, η ἐντολὴ ταπεινή· περὶ Τάνιν γέγονεν τὰ θαύματα. 77.13 Εστησεν υ δατα ὡσεὶ ἀσκόν. ʾΑντὶ τοῦ ἐν ἀσκῷ. 77.14 Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ο λην τὴν νύκτα ἐν φωτισμῷ πυρός. Καὶ ἡμέρᾳ παρεῖχε νεφέλην σκιάζουσαν καὶ τὸ λυπηρὸν τῆς ἀκτῖνος ἀποκρουομένην· νύκτωρ δὲ πρὸς χρείαν παρεῖχε φωτίζουσαν. 77.16 Καὶ ἐξήγαγεν υ δωρ ἐκ πέτρας. ʿΗ δὲ πέτρα, φησὶν, τίς η ὁ Χριστός; 77.17 Καὶ προσέθεντο ε τι τοῦ ἁμαρτά νειν αὐτῷ. Οὐχ ἑαυτοῖς φησιν, αὐτῷ γὰρ Θεῷ ἡμάρ τανον διὰ τῆς πρὸς αὐτὸν ἀντιλογίας. 77.18 Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν. Ορα δὲ τὴν τοῦ Θεοῦ οἰκονομίαν· ὁρῶν λαὸν ἐπιθυμητὸν, καὶ καθάραι αὐτὸν ἀπὸ τῆς ἐπιθυμίας βουλόμενος, ἑώρα ο τι λόγῳ διδασκαλικῷ οὐ καθαίρεται, ἀλλ' αὐτῇ τῇ ἐπιθυμίᾳ γινομένῃ προσκορεῖ. Πάντων γὰρ κόρος ἐστὶν, οὐχ υ πνου μόνον, ἀλλὰ καὶ βρωμάτων, διὸ ε πεμψεν αὐτοῖς ὀρτυγομή τραν ἐπὶ τριάκοντα ἡμέρας. Οἱ δὲ τῇ ἀ πληστίᾳ χρησάμενοι, χολερικῷ πάθει διεφ θείροντο. Δὶς δὲ εὑρίσκω τὸν λαὸν φάγοντα ὀρτυγομήτραν, α παξ μὲν ἡνίκα εὐθέως ἐξῆλ θεν ἐκ γῆς Αἰγύπτου, τὸ δὲ δεύτερον, ὡς ἐν τοῖς ʾΑριθμοῖς ἀναγέγραπται, ἡνίκα κακῶς ει πεν τὸν α ρτον τοῦ Θεοῦ, καὶ διάκενον αὐτὸν ὠνόμασεν, ο τε καὶ ὀργὴ ἀνέβη ἐπ' αὐτοὺς, τάχα ὡς κάτω που ου σα πρὶν η ἁμάρτωσιν. 77.19-25 Καὶ κατελάλησαν τοῦ Θεοῦ, καὶ ει παν· Μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ; ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν υ δατα, καὶ χείμαῤῥοι κατε κλύσθησαν, μὴ καὶ α ρτον δυνήσεται δοῦναι; η ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ; δια τοῦτο η κουσε Κύριος, καὶ ἀνεβάλετο, καὶ πῦρ ἀνήφθη ἐν ʾΙακὼβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν ʾΙσραὴλ, ο τε οὐκ ἐπίστευσαν ἐν τῷ Θεῷ, οὐδὲ η λπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ. Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε. Καὶ ε βρεξεν αὐτοῖς μάννα φάγειν, καὶ α ρτον οὐρανοῦ ε δωκεν αὐτοῖς. Αρτον ἀγγέλων ε φαγεν α νθρωπος, ἐπισιτισ μὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν. Λυπεῖ δὲ οὐδὲν καὶ κατὰ ἀναγωγὴν τὰς ἱστορίας ταύτας θεωρῆσαι. ʿΡύεται τοίνυν ὁ Θεὸς καὶ ἡμᾶς ἀεὶ ἐκ γῆς Αἰγύπτου, ἐκ τῆς καμίνου τῆς σιδηρᾶς, τῆς κατὰ τὴν ἁμαρ τίαν, ι να εἰσαγάγῃ διὰ πολλῶν γυμνασίων, διὰ πολλῶν θαυμασίων, δι' α ρτου ἐπουρανίου, δι' υ δατος ἀπὸ τῆς πέτρας (ἡ πέτρα δὲ ὁ Χριστὸς), ἐπὶ τὴν ἁγίαν ἐπαγγελίαν. Μέγα ου ν ἐμοὶ, ἐὰν νοήσας τὴν θάλασσαν τοῦ βίου καὶ τὰ κύματα τὰ ἐν τῷ βίῳ, καὶ τὸ πικρὸν καὶ ἁλμυρὸν τῶν βιωτικῶν πραγμά των κλυδώνιον, δυνηθῶ, εὐεργεθεὶς ὑπὸ τοῦ Θεοῦ, ἰδεῖν καταποντισθέντας τοὺς νοεροὺς Αἰγυπτίους καὶ τὸν νοητὸν Φαραώ. Αὐτὸς δὲ ω ν ἐν τῷ φωτὶ τῆς ἡμέρας, σκεποίμην ὑπὸ νεφέλης τῆς κούφης καὶ ὑπὸ φωτισ μοῦ πυρὸς, ἐάν ποτέ με σκοτεινὰ καὶ δύ σκολα καταλάβῃ, καὶ ὁ κόσμος μὲν ἐσκότω ται, καὶ πάντα ἀγνοίας πεπλήρωται. ʾΕὰν ἐν τῇ ἐρήμῳ τοῦ βίου, ε νθα πολλὴ ἐπικρατεῖ α νοια τῶν πραγμάτων, διελὼν τὸν στεῤῥότατον αὐτοῦ λόγον, πέτραν ὀνομαζό μενον, ἀφθόνως καὶ εἰς κόρον ποτίσῃ με, ὡς παραβληθῆναι τὸ ῥέον υ δωρ ἀβύσσῳ, καὶ τοὺς ἐκ τῆς πνευματικῆς κοιλίας ποταμούς· ἐγὼ δὲ παραπικραίνω τὸν Υψιστον ἐν ἀ νύδρῳ, ἐὰν μετὰ τὴν διδασκαλίαν πάλιν ἁ μαρτάνω, ἐπιλανθανόμενος τῶν λόγων τῶν τρεψάντων με, καὶ τοῦ υ δατος τοῦ ἀπὸ τῆς πέτρας, η τις ἐστὶν ὁ Χριστός. Πέτρᾳ δὲ ἀ πεικάζεται ὁ Χριστὸς διὰ τὸ α θραυστον καὶ ἀκλόνητον. ʾΕρήρεισται γὰρ ἰδίοις ἀγαθοῖς ἡ θεία τε καὶ ὑπέρτατος φύσις. Ου καὶ κατε λάλησαν ὡς ἐν προσώπῳ Μωσέως ἡ συνα γωγὴ, κατηγοροῦντες ἐπὶ Πιλάτῳ, καὶ τό· Αι ρε, σταύρωσον, ἀνακεκράγασιν. Ει τα δὲ δυσὶ λελυπήκασι πληγαῖς, ὡς τὴν πέτραν Μωϋσῆς δὶς ἐπάταξεν. ʾΑπεκτείνασι γὰρ τὸν ἀρχηγὸν τῆς ζωῆς, ει θ' ο τι μεμένηκεν ἐν νε κροῖς, ἀναπείθειν ε θελον. ʾΑλλ' ἐκδέδωκεν ἡ πέτρα πλουσίως τὸ νᾶμα, καὶ πεπότικε πᾶσαν τὴν συναγωγήν. ʾΕπέκλυσε γὰρ τὴν οἰκουμένην Χριστὸς ἱεροῖς τε καὶ θείοις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νά μασιν. Ὁ πηγάζων τὸ θεῖον νᾶμα τοῖς δι ψῶσι, καὶ προχέων τὸ υ δωρ ἐκ τῆς πλευρᾶς, τοῦ σιδήρου τὴν φλέβα ταύτην ἀναστομί σαντος, καὶ τὸ πικρὸν τῆς Μεῤῥᾶς, τοῦ κο λαστοῦ νόμου, μετέβαλεν εἰς γλυκύτητα τῇ παραδοχῇ τοῦ ξύλου τοῦ σταυροῦ καὶ τοῦ ἐπ' αὐτῷ μυστηρίου· τὸ γὰρ γράμμα καὶ ὁ νό μος ἀποκτείνει, τὸ δὲ πνεῦμα καὶ ἡ ἐν πνεύ ματι λατρεία ἡ εὐαγγελικὴ ζωοποιεῖ. Πάλαι μὲν [α ρτον] ε δωκεν ὁ Θεὸς τῷ λαῷ αὐτοῦ ἀκοπιάστως πρὸς πᾶσαν ἡδονὴν ἰσχύοντα· πρὸς ο γάρ τις ἐβούλετο, μετεκρί νατο. Τοιαύτη δὲ καὶ ἡ τοῦ τρέφοντος τὴν ψυχὴν λόγου φύσις, πρὸς τὴν δύναμιν τοῦ τρεφομένου μεταβάλλουσα· Ἐὰν νήπιον τρέφῃ ὁ λόγος, γάλα γίνεται· ἐὰν ψυχὴν ἀσθενοῦσαν, λάχανον· ἐὰν τέλειον, στερεὰ τροφή. Οὐ καθεζομένοις δὲ ἡμῖν ε ρχεται τὸ μάννα, ἀλλ' ἐρχομένοις ε ξω τῆς παρεμ βολῆς, λέγω δὴ τοῦ σώματος, ἐν ῳ ἀνεῖρκ ται ἡ ψυχή. Δεῖ γὰρ τὴν ψυχὴν μηκέτι ει ναι ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι. Οὐδεὶς δὲ φορῶν τὴν εἰκόνα τοῦ χοϊκοῦ δύναται α ρτον οὐρα νοῦ φαγεῖν· διότι ψυχικὸς α νθρωπος οὐ δέ χεται τὰ τοῦ πνεύματος. Περὶ η ς τροφῆς καὶ σὺ ἐδιδάχθης ευ χεσθαι. Ἐὰν νοῇς τὸν ἐπιού σιον α ρτον, τὸν μὴ ἐκχωροῦντα, τὸν μὴ ὑπο κρινόμενον, τὸν ἀναδιδόμενον εἰς τὴν οὐσίαν τῆς ψυχῆς, ο ταν διαλαμβάνω περὶ Θεοῦ, περὶ τῆς θεότητος αὐτοῦ, περὶ τῆς ἐν ἀνθρωπίνῳ σώματι καὶ ψυχῇ αὐτοῦ ἐνοικήσεως, α ρτον ἀγγέλων ἐσθίω, τὸ μάννα, ο περ εὑρὼν καὶ θαυμάσας θαυμαστικῶς ἐρεῖς· Μάν; τί ἐστι τοῦτο; καὶ γενήσεται τοῦτο τὸ φθέγμα τῷ α ρτῳ ο νομα. Ευ ξασθε, ι να ἡμῖν ὁ Θεὸς ἐπισι τισμὸν ἀποστείλῃ εἰς πλησμονὴν, οὐχ ω στε γεύεσθαι μόνον, ἀλλὰ καὶ πληρωθῆναι τῶν λόγων τῆς ζωῆς, καὶ ἰσχυροποιηθῆναι ἐν αὐτοῖς. Πλὴν ἡ προηγουμένη τροφὴ αὐτή ἐστιν. Ἐσθίοντες δέ ποτε τὸ μάννα Ἑβραῖοι, ε λεγον· Οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλ μοὶ ἡμῶν· ἐμνήσθημεν γὰρ ο ταν ἐκαθέσθη μεν ἐπὶ τῶν λεβήτων τῶν κρεῶν ἐν Αἰγύπτῳ. Καὶ ἡμεῖς ταλανίζομεν ἐκείνους, ὡς τότε ἡμαρτηκότας, οὐχ ὁρῶντες ο τι καὶ ἐν ἡμῖν ταῦτα τὰ ἁμαρτήματα γίνεται· ἀντὶ γὰρ τῆς πνευματικῆς τροφῆς τὰ πράσα, τὰ δυσώδη, καὶ τὰ κρόμυα, τὰ βλάπτοντα τοὺς ὀφθαλ μοὺς τῆς ψυχῆς, καὶ τὰ πληροῦντα δυσώδη ἁμαρτήματα, σκόροδα ἐπιθυμοῦμεν φαγεῖν, καὶ ἐμφορηθῆναι ἡδονῶν δυσοδμίας. Καὶ τὴν ε κλυτον τοῦ κόσμου καὶ τῶν σωματικῶν φύ σιν ποθοῦντες, πεπόνων ἐπιθυμοῦμεν, καὶ τὸ ἀναδιδόμενον εἰς τὴν τῆς ψυχῆς οὐσίαν ἀνε λόντες, σικύων θέλομεν μεταλαμβάνειν. Καὶ ἐπειδὴ οὐ θέλομεν τὸν α ρτον τὸν ἐκ τοῦ οὐ ρανοῦ, ου προφῆται κήρυκες καὶ διάκονοι, νεφέλαι καλούμενοι, διὰ τὸ ὕψοῦ φέρεσθαι αὐτῶν τὸν νοῦν, καὶ διὰ τὸ ἐν τάξει νεφελῶν τοῖς νοητοῖς ὑετοῖς κατάρδειν ἑτέρους, ἐξα ποστελεῖ ἡμῖν ὁ Θεὸς κρέας ὡσεὶ χοῦν, ε ως ἐξέλθῃ ἐκ τῶν μυκτηρίων ἡμῶν, καὶ ε ως πληρώσῃ ἡμᾶς νόσοις καὶ μαλακίαις, ὡς τὴν δυσώδη καὶ πολύδακρυν ἁμαρτίαν ἐπιζη τοῦντας. Οἱ γὰρ τῶν κοσμικῶν πραγμάτων ἀπολαύοντες νοσοῦσι τὴν ψυχὴν διὰ ταῦτα, καὶ ἐν χολέρᾳ καὶ νόσῳ εἰσὶ καὶ πᾶσι κα κοῖς διὰ τὴν διψυχίαν αὐτῶν. Ἀλλ' ἡμᾶς γένοιτο νηστεύειν νηστείαν δεκτὴν, τὸ φρόνημα τῆς σαρκὸς μὴ τρέφον τας, μηδὲ γενοίμεθα ἐν ἀνύδρῳ στερήσει τῶν πνευματικῶν ὑδάτων, διὰ τὸ μηδὲν δρᾶν τῶν γλυκαινόντων τὴν τοῦ Ὑψίστου χρησ τότητα· (γλυκαίνει δὲ αὐτὴν τὰ κατ' ἀρετὴν καὶ σοφίαν ἐνεργούμενα καὶ θεωρούμενα), μηδὲ ἐκπειράσαι μὲν αὐτὸν ἐν ταῖς καρδίαις ἡμῶν, η γουν οὐκ ἐξ ἐπιπολῆς, ἀλλ' ἐκ βά θους τοῦ ἡγεμονικοῦ ἀμφιβάλλοντες περὶ τῆς θείας δυνάμεως· μηδ' αἰτήσαιμεν βρώ ματα ταῖς ψυχαῖς ἡμῶν, οὐ ταῖς κατ' εἰκόνα λέγω, αι τρέφονται ἐκ τῶν τῆς ζωῆς α ρτων, ἀλλὰ ταῖς εἰς σάρκα μεταβαλλούσαις, διὰ τὸ τοῖς ὑλικοῖς προσπεπονθέναι. ὀρεγομέναις οὐκ ὠφελίμων καὶ ὑγιῶν τροφῶν, ἀλλ' ἡ δειῶν καὶ νοσοποιῶν. Ἀλλ' ἑτοιμασθείη ἡμῖν τράπεζα, ἐφ' η ν ἡ σοφία τὰ ἑαυτῆς θύμα τα ἐπιτιθήσει, καὶ τὸν ἑαυτῆς οι νον εἰς κρα τῆρα κιρνᾷ. Μηδὲ ὀργὴ ἐφ' ἡμᾶς ἀναβαίη, τὸ πνεῦμα τοῦ ἐξουσιάζοντος, τὸ ἀπατηλὸν, τὸ δίκην προδρόμου η κατασκόπου ἐκ τοῦ σκότους, ἐν ῳ ἐπέκρυπτο, εἰς τὴν ψυχὴν ἀνιὸν διὰ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνθυμήσεως· μηδὲ ὡς πῦρ ἐξαφθείη ἐκ τῶν πεπυρωμένων βελῶν τοῦ ἐχθροῦ· ἀλλ' οὐρανοῦ θυρίδες ἡμῖν ἀνοί γειεν, αἱ τῶν νοητῶν καὶ πνευματικῶν ἐξα πλώσεις. Η ἀρεταὶ πύλαι ου σαι οὐρανοῦ, ὡς αἱ κακίαι ᾳ δου καὶ θανάτου, αι τινες οὐ κατισχύουσι τῶν κατὰ Πέτρον ἀνελθόντων ἐπὶ πύλας τῆς θυγατρὸς Σιών. Καὶ ὁ ἐν τῷ κρυπτῷ τῆς καρδίας α νθρωπος, ὁ κατ' εἰκό να Θεοῦ, ὁμοέστιος καὶ ἀγγέλοις γένοιτο, τοῦ ἀληθινοῦ μάννα μεταλαμβάνων, καὶ ἀπ' οὐρα νοῦ ἐσθίων τροφὴν, ἀλλ' οὐκ ἀπὸ τῆς ἐπι καταράτου γῆς, η ν ὁ ἁμαρτάνων ἐν λύπαις ἐσθίει. Οἱ τούτων ἀκούοντες πτερούσθωσαν, ἐπαιρέσθωσαν, μηκέτι ε στωσαν ἐν σαρκὶ, γενέσθωσαν ἐν πνεύματι· οἱ γὰρ ἐν σαρκὶ ο ν τες, Θεῷ ἀρέσαι οὐ δύνανται. Ἀλλ' ἐπὶ τὴν ἱστορίαν ἰτέον. Τράπεζαν ἐν ἐρήμῳ. Ερημον ου σαν τὸ πρότερον τὴν ψυχὴν Ματθαίου τοῦ τελώ νου ὁ Σωτὴρ ἡμῶν πεποίηκε τράπεζαν τρέ φουσαν διὰ τοῦ εὐαγγελίου τὰς ψυχὰς τῶν ἀνθρώπων. Ερημος η ν καὶ ἡ τοῦ Σαύλου διώκτου ψυχὴ, η ν ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν πεποίηκε τράπεζαν τρέφουσαν. 77.27 Καὶ ε βρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας, καὶ ὡσεὶ α μμον θαλασσῶν πετεινὰ πτερωτά. Τὴν ὀρτυγομήτραν σάρκα ὠνόμασε. Ἐπα γάγεται αὐτοῖς πλῆθος, ου τως η ν πολυπλη θής. 77.29,30 Καὶ τὴν ἐπιθυμίαν αὐτῶν η νεγκεν αὐτοῖς, οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυ μίας αὐτῶν. Τὸ ἀποτέλεσμα τῆς ἐπιθυμίας ἐπιθυμίαν ὠνόμασεν, ο προκυρῶσαι ει ποι τις τὸ ἐπι θυμητόν· τοιοῦτόν ἐστι καὶ τὸ παρὰ τῷ Παύλῳ λεγόμενον, τό· Ἡ ἐλπὶς οὐ καταισχύνει. Ἐνταῦθα γὰρ τὸ πέρας τῆς ἐλπίδος, ο περ ἐστὶν ἡ γνῶσις τοῦ Θεοῦ· αὐτὴν γὰρ ἐλπίδα ὠνόμασε. 77.31,32 Καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν· ἐν πᾶσι τούτοις η μαρτον ε τι. Συμποδίζεται ὁ θεωρητικὸς μὴ ἐπιβάλ λων ὡς δεῖ τῇ θεωρίᾳ τῶν γεγονότων. – Ἐκλεκτοὺς [λέγει] οὐ τοὺς ἐν ἀρεταῖς λογά δας, ἀλλὰ τοὺς ἐν κακίᾳ· εἰσὶ γὰρ, εἰσὶ τι νὲς καὶ ἐν πονηρίᾳ ἐξαίρετοι. –Ἐκλεκτι κὸς ω ν καὶ κατηγορητικὸς τῆς Ἰουδαίων μοχθηρίας ὁ λόγος, καταρίθμησιν ποιεῖται τῶν πεπλημμελημένων αὐτοῖς, παριστῶν ο τι μὴ μάτην αὐτοῖς τὰ ἐκ θείας ἐπῆλθεν ὀργῆς. 77.32,33 Καὶ οὐκ ἐπίστευσαν τοῖς θαυ μασίοις αὐτοῦ. Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, καὶ τὰ ε τη αὐτῶν μετὰ σπουδῆς. Τῶν οὐχ ὡς δέον τοῖς καιροῖς χρωμένων αἱ ἡμέραι ἐν ματαιότητι ἐκλείπουσιν. –Ἁ μαρτάνοντάς φησι τοὺς μὴ τῶν ὀφείλειν δυ ναμένων μηδεμίαν ποιουμένους πρόνοιαν. Τοῖς δὲ ματαίοις προστετηκότες ἐπιτηδεύ μασι, καὶ μετὰ πάσης ταῦτα μετιόντες σπου δῆς, τὸν βίον ὑπεξῆλθον ἐν ματαιότητι, τὰς ἡμέρας καταναλίσκοντες, καὶ τὰ ε τη πα ρατρέχοντες. 77.34 Οταν ἀπέκτεινεν αὐτοὺς, ἐζήτουν αὐτόν· καὶ ἐπέστρεφον καὶ ω ρθριζον πρὸς τὸν Θεόν. [Παρελθούσης] ἐπιθυμίας τῆς ἀπάτης, τό τε ὁ νέος ἐκζητεῖ, ὁ ἀνακαινόμενος κατὰ εἰκόνα τοῦ κτίσαντος. –[Ἀποκτείνει], ο ταν τὸν παλαιὸν α νθρωπον ὁ Θεὸς ἀποκτείνῃ, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης. –Καὶ ἀποκτείνει ὁ Θεὸς, ι να ζητήσαντας ζωοποιήσῃ, καὶ ο πως ἐπιστρέψαντες ὀρθρί σωσι πρὸς αὐτόν. 77.35 Καὶ ὁ Θεὸς ὁ υ ψιστος λυτρωτὴς αὐτῶν ἐστι. Καὶ ὁ Θεὸς ὁ υ ψιστος λέγεται, ο σον ου τως· Ὁ υ ψιστος ὑπερεμάχησεν αὐτοῖς. 77.36 Καὶ ἠγάπησεν αὐτὸν ἐν τῷ στό ματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαν το αὐτῷ. Ου τος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτοῦ πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. 77.37 Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεία μετ' αὐτοῦ. Μετὰ Θεοῦ ου σα ἡ καρδία, εὐθεία ἐστιν. εὐθὺς γάρ ἐστι Κύριος ὁ Θεὸς ἡμῶν. 77.38 Αὐτὸς δέ ἐστιν οἰκτίρμων, καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ δια φθερεῖ, καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ. Ἀλλ' ο μως αὐτὸς τῇ οἰκείᾳ χρώμενος ἀ γαθότητι, οὐκ ἠνέσχετο αὐτοὺς παντελεῖ πα ραδοῦναι φθορᾷ. –Τοῖς ε ργοις δὲ μᾶλλον η τοῖς λόγοις φαίνεται ο τι ἐστὶν ὁ Θεὸς οἰκ τίρμων· οὐδέποτε γὰρ κρατίστῃ τῇ ὀργῇ κατὰ τῶν ἀνθρώπων ἐχρήσατο, οι ον [ο τε] κατακλυσμὸν ἐβουλεύσατο ποιῆσαι, πεντακο σιοστῷ ε τει η ρξατο κηρύσσειν ο τι ε σται ὁ κατακλυσμὸς, καὶ ἐποίησε τῷ Νῶε κατα σκευάζειν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν κιβωτὸν ε τεσιν ἑκατόν. Τί ου ν ἀλλὰ βούλεται διὰ τῶν ἑκατὸν ἐτῶν τῆς κα τασκευῆς τῆς κιβωτοῦ η ἐπιστρέψαι τοὺς ἀνθρώπους, ι να μὴ χρεία γίνηται τῆς κιβω τοῦ; Πάλιν φειδόμενος τῶν Αἰγυπτίων, α κ ρισι καὶ μυΐαις καὶ σκνιψὶν ἐκόλαζεν· ο τε δὲ ἐπέμειναν τῇ ἁμαρτίᾳ, τὸν θάνατον τῶν πρωτοτόκων τὴν τελευταίαν ἐπήγαγε μάσ τιγα. Ετι λιμὸν ε κρινε τοῖς Αἰγυπτίοις ποιῆ σαι. Ποίησον, ω Θεὲ, τὸν λιμόν. ᾿Αξιοῖ γὰρ Αἰγυπτίους λιμῷ διαφθαρῆναι. ᾿Αλλ' οὐ βούλομαι, φησὶν, αὐτοὺς παντελῶς κολάσαι. Τί ου ν ποιῶ; οἰκονομῶ τὸν ᾿Ιωσὴφ καταβῆναι ἀπὸ τῆς ἁγίας γῆς, καὶ συγχρῶμαι τῇ ἁμαρτίᾳ τῶν ἀδελφῶν αὐτοῦ, καὶ προφάσει ὀνείρων ποιῶ αὐτὸν ἐν τῇ φυλακῇ γνωσθῆ ναι. Οἰκονομῶ κρῖναι τὰ ὀνείρατα, πιστευ θῆναι τὸν σῖτον συναγαγεῖν, ι να μὴ παντε λῶς Αι γυπτος λιμῷ διαφθαρῇ. Καὶ ὑπὲρ ἡμῶν δὲ ἐξ οὐρανῶν ε πεμψε τὸν α γιον αὐτοῦ παῖδα, ὑπὲρ ἁμαρτωλῶν, ὑπὲρ κόσμου ἀπο θανούμενον. Καὶ μετὰ ταῦτα δὲ πάντα πάλιν ἁμαρτάνομεν, καὶ ε στιν ὁ Θεὸς οἰκτίρμων. ᾿Αλλὰ καὶ αἱρέσεις γεγόνασι, καὶ κακολο γοῦσι τὸν δημιουργὸν, καὶ μακροθυμεῖ λοι δορούμενος. ῾Ημεῖς δὲ ἀγανακτοῦμεν οἱ τα λαίπωροι, ἐάν ποτε λοιδορήσῃ ἡμᾶς ὁ α ν θρωπος, καὶ παραυτὰ ἡμᾶς ἐκδικοῦμεν. ῾Ο δὲ Θεὸς οὐδὲ ἐκκαίει πᾶσαν τὴν ὀργὴν αὐ τοῦ. Εστι γὰρ πᾶσα ἡ ὀργὴ, καὶ φοβερὰ, καὶ ἐκκαίεται κατὰ τὴν ἀντιλογίαν τῶν ἐ μῶν ξύλων, τὸν χόρτον τῆς καλάμης; Τά χα δὲ ἐνὶ μόνῳ ἐν τοῖς ου σιν ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ, τῷ Διαβόλῳ. 77.40-43 Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύ δρῳ; καὶ ἐπέστρεψαν, καὶ ἐπείρασαν τὸν Θεὸν, καὶ τὸν α γιον τοῦ ᾿Ισραὴλ παρώξυναν· οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ, ἡμέρας η ς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος, ὡς ε θετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως. Καὶ σὺ δὲ, ὁσάκις α ν καταλιπὼν τὸν Θεὸν, ἐπὶ τὴν ε ρημον τοῦ Θεοῦ ἁμαρτίαν ἀπέλθῃς, παραπικραίνων ἐν τῇ ἐρήμῳ, ὁσά κις α ν, πηγῆς υ δατος ἁλλομένου εἰς ζωὴν αἰώνιον παρούσης σοι ἐν τῇ ἐκκλησίᾳ, ῥα θυμῶν περὶ τὰς συνάξεις, καὶ ἀμελῶν περὶ τοῦ ποτισθῆναι, ἀπέλθῃς ἐπὶ τὴν α νυδρον, παροργίζεις, καὶ ἐπιστρέψας ὡς εἰς Αι γυπτον ἁμαρτίας η ν καταλέλοιπας, πάλιν ἁμαρτά νεις, ὡς κύων ἐπιστρέψας ἐπὶ τὸν ι διον ἐμε τόν. Καὶ οὐκ ἀρκεῖ οι ς ει δες σημείοις εἰς σω τηρίαν, οὐδὲ τοῖς προτρεψαμένοις λόγοις εἰς ἀρετὴν, ἀλλὰ καινὰ σημεῖα θέλεις ἰδεῖν, οὐ μεμνημένος τῆς ἐπεσκοπηκυίας χειρὸς, καὶ ο πως ἐλυτρώθης ἐκ τοῦ νοητοῦ ἀληθῶς θλί βοντος Φαραὼ, οὐδὲ τὰ σημεῖα λογιζόμενος, α ὡς ἐν Αἰγύπτῳ, τῷ κόσμῳ, ἐν σοὶ πεποίη κεν, οι ον ἐμοὶ ε καστον τῶν εὐεργημάτων τοῦ Θεοῦ σήμειόν ἐστιν. Ει ποτε ἐν κινδύνοις ὁποίοις δήποτε γενόμενος ἐῤῥύσθην, σημεῖον ε λαβον ἀπὸ Θεοῦ· ποσάκις ηὐξάμεθα, καὶ ἐλάβομεν α περ ηὐξάμεθα, ταῦτα ἡμῖν ση μεῖα. 77.44 Καὶ μετέστρεψεν εἰς αι μα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ὀμβρήματα αὐτῶν, ο πως μὴ πίωσιν. Οι δα κατὰ τροπολογίαν πολλοὺς ποτα μοὺς Αἰγύπτου ἐναντίους Χριστῷ, τῷ ἀληθι νῷ ποταμῷ, ου τὰ ὀμβρήματα τὴν ἐκκλησίαν εὐφραίνει· πάντα τὰ τῆς σωτηρίας ἀλλό τρια ῥεύματα ὁ Θεὸς ο ταν βούληταί τινας ἐπιστρέψαι, ι να ἐξελθόντες πίωσιν ἀπὸ τῆς πέτρας (ἡ δὲ πέτρα η ν ὁ Χριστὸς) ποιεῖ στραφῆναι εἰς αι μα. Οταν γὰρ ἐγὼ κα ταγνῶ ἀλλοτρίου υ δατος, καὶ φρονήματος, τοῦ Θεοῦ μοι παραστήσαντος, ο τι αι μά ἐσ τιν, οὐκέτι πίνω, ι να μὴ μέτοχος γένωμαι αι ματος. ᾿Ομβρήματα δὲ ει εν α ν οἱ βραχέα μὲν λέγοντες, ὀλέθρια δέ. Κατὰ δὲ τὴν ἱστο ρίαν Αἰγύπτιοι α νωθεν υ δωρ οὐκ ε χουσιν, οὐδὲ γίνεται ὑετὸς ἐν Αἰγύπτῳ. ῾Ιστορικῶς μὲν ου ν πάσης τότε τῆς τῶν ὑδάτων φύσεως κατὰ τὴν Αι γυπτον τῷ προστάγματι τοῦ Μωσέως εἰς αι μα τραπείσης, ὡς καὶ τοὺς ἰχθύας, εἰς σαρκώδη παχύτητα τοῦ υ δατος μετατεθέντος, διαφθαρῆναι, τοῖς ῾Εβραίοις ἀρυομένοις αι μα οὐκ η ν. Οθεν ε σχε καὶ ἡ μαγγανεία καιρὸν ἐν τῷ παρὰ ῾Εβραίοις εὑ ρισκομένῳ υ δατι, τὸ αἱματῶδες υ δωρ παρα σοφίσασθαι. Πνευματικῶς δὲ καὶ νῦν τὸ ι σον ε στιν ἰδεῖν γινόμενον. Τῶν γὰρ πρὸς τὰς ἐναντίας δόξας διεστηκότων τοῖς μὲν πότι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μόν ἐστι καὶ διαφανὲς τὸ νᾶμα τῆς πίστεως, ο διὰ τῆς θείας διδασκαλίας ἀρύονται· τοῖς δὲ ἐκ τῆς πονηρᾶς ὑπολήψεως αἰγυπτιάζου σι διὰ φθορᾶς αι μα τὸ υ δωρ γίνεται. Καὶ πολλάκις ἐπιχειρεῖ ὁ παρασοφισμὸς τῆς ἀ πάτης καὶ τὸ τῶν ᾿Ισραηλιτῶν ποτὸν τῷ μο λυσμῷ τοῦ ψεύδους αι μα ποιῆσαι, τουτέστι τὸν ἡμέτερον λόγον, καὶ ἡμῖν δεῖξαι, μὴ τοιοῦτον ο ντα οι ός ἐστιν. ᾿Αλλ' οὐκ ἀχρειώ σειε καθόλου τὸ ποτὸν, κα ν ἐκ τοῦ προχεί ρου δι' ἀπάτην περιφοινίξῃ τὸ ει δος. Πίνει γὰρ ὁ ᾿Ισραηλίτης τὸ ἀληθινὸν υ δωρ, οὐδὲ πρὸς τὸ ει δος τῆς ἀπάτης ἐπιστρεφόμενος. 77.45 ᾿Εξαπέστειλεν εἰς αὐτοὺς κυνόμυ ιαν, καὶ κατέφαγεν αὐτοὺς, καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς. ᾿Εντεῦθεν εἰλήφθη τῷ γράψαντι τὴν ἐπι γεγραμμένην Σολομῶντι Σοφίαν, ο τι τοὺς Αἰγυπτίους ἀκρίδων καὶ μυιῶν ἀπέκτεινε δήγματα. Οὐ γὰρ χρεία πολλῶν πολεμίων, οὐδὲ μεγάλης δυνάμεως ἀναιρούσης αὐτοὺς, ἀλλ' ἀπέθνησκον ὑπὸ κυνομυίας καὶ βατρά χων δακνόμενοι· τοῦτο γὰρ δηλοῖ τό· κατέ φαγεν αὐτούς· ι να δὲ παριστήσῃ ὁ λόγος τὸ ὁ ἀναιδὲς τῆς κατὰ τὴν κυνόμυιαν μάστιγος, δύο ἀναιδῆ ζῷα συνέλαβε καὶ ὁμοῦ ὠνόμα σε. Σὺ δὲ ἐπισήμηναι ο τι τὸν περὶ τῶν Αἰγυπ τίων μαστίγων λόγον ἐν δυσὶ ψαλμοῖς ἐπι τεμνόμενος ὁ Δαυὶδ, τῷ τε ἑβδομηκοστῷ ἑβ δόμῳ, ου ε τι ἐν χερσὶ τὰς λέξεις ε χομεν, καὶ τῷ ἑκατοστῷ τετάρτῳ, οὐ κατὰ τάξιν ἐξέθετο ταύτας, ου τε πάσας ὠνόμασε. Τὴν τρίτην γοῦν ἐνταῦθα καὶ τὴν ε κτην καὶ τὴν ἐνάτην ἀπεσιώπησε μάστιγα, τουτέστι τοὺς σκνί πας, τὰς φλυκταίνας καὶ τὸ σκότος· ἀντὶ δὲ τούτων ἐρυσίβην ει πε καὶ πάχνην· ἀνθ' ω ν μυσίτην η βροῦχον καὶ σκώληκα η κρύος οἱ λοιποὶ ἡρμήνευσαν. ᾿Ερυσίβη δέ ἐστι κα τὰ μέν τινας, ἡ κονιορτώδης φθορὰ τοῦ σί του, η τὸ ἐπικάθιζον τοῖς καρποῖς παχνῶδες καὶ διαφθεῖρον αὐτούς. Κατὰ δέ τινας, ἀκρί δος γένος μικρὸν καὶ εὐτελὲς, ἀνθ' ου βροῦ χον ᾿Ακύλας ἐκδέδωκε. Καί μοι μάστιγας Αἰγυπτίων εὐεργεσίαις ῾Εβραίων συγκρίνων, θαύμαζε ο τι Αἰγύπτιοι μὲν παρὰ τῷ ποτα μῷ διψῶσιν, ῾Εβραῖοι δὲ ἐν τῇ ἐρήμῳ εὐπο ροῦσιν υ δατος. Επινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· καὶ οἱ μὲν κατεσθίον ται καὶ διαφθείρονται ὑπὸ κυνομυίας καὶ βατράχων, ζώων εὐτελεστάτων· τοὺς δὲ υἱοὺς τοῦ Θεοῦ οὐδὲ ἰοβόλων δρακόντων ἐνίκησαν ὀδόντες· οἱ γὰρ ἀλλότριοι τοῦ Θεοῦ καὶ παρὰ τοῖς νομιζομένοις α ποροί εἰσι καὶ ὑπὸ τῶν τυχόντων διαφθείρονται. ᾿Εὰν δέ τις ῃ α γιος καὶ ἐν ἀπόροις, οὐκ ἀπορεῖ καὶ ὑπὸ τῶν χαλεποτάτων καὶ βλάπτεται, λαβὼν ἐ ξουσίαν πατεῖν ἐπάνω ο φεων καὶ σκορπίων. Ταῦτα, ἐπεὶ ει ς η ν Θεὸς εὐαγγελίου καὶ νό μου, γεγένηται, καὶ τότε καὶ δράκοντες ἐπα ναστάντες τῷ λαῷ, τοῖς ἡμαρτηκόσιν, οι ς ἡ ἀνδραποδώδης τῶν ἐδωδίμων ἐδωδὴ τὴν ἐπιθυμίαν τῆς γαστριμαργίας ἐπήγειρε, καὶ τὸν Αἰγύπτιον κόρον ὠνειροπόλει, καίτοι τῶν ἀναγκαίων οὐδενὸς ὑστερούμενοις) ο τε με τανόησαν, οὐδὲν αὐτοὺς βλάψαι δεδύνηνται. 77.46 Καὶ ε δωκε τῇ ἐρυσίβῃ τὸν καρπὸν αὐτῶν. Καὶ τὸν μὲν Αἰγύπτιον καρπὸν δέδωκεν ὁ Θεὸς τῇ ἐρυσίβῃ· ὁ δὲ δίκαιος ε σται ὡς ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων. 77.48-51 Καὶ παρέδωκεν ἐν χαλάζῃ τὰ κτήνη αὐτῶν, καὶ τὴν υ παρξιν αὐτῶν τῷ πυρί. ᾿Εξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλίψιν, ἀποστο λὴν δι' ἀγγέλων πονηρῶν· ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ, οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε. Καὶ ἐπάταξε πᾶν πρω τότοκον ἐν Αἰγύπτῳ, ἀπαρχὴν πόνων αὐ τῶν, ἐν τοῖς σκηνώμασι Χάμ. Κατὰ δὲ τροπολογίαν, ἀναιρεῖ τὰς ἁμαρ τωλὰς ψυχὰς ὁ Θεὸς, ἐπαγαγὼν αὐταῖς τὸν ἐπὶ καταλύσει τῆς μοχθηρᾶς ζωῆς θάνατον, ι να ζῆν ποιήσῃ, καὶ συγκλείει τὰς ἀλόγους αὐτῶν δυνάμεις, κτήνη λεγομένας, εἰς τοῦ τον τὸν θάνατον· ω στε ἀποβαλεῖν τὴν φαύ λην ζωῆν, καὶ τὴν ἐμπαθῆ κίνησιν. Ωσπερ δὲ οἱ πρωτότοκοι τὰ διπλᾶ κληρονομοῦσι, καὶ πλείονα τιμὴν ε χουσι παρὰ τοῖς γονεῦσι, καὶ εἰσὶ πρωτότοκοι Θεοῦ οἱ ἀπογεγραμμέ νοι ἐν οὐρανῷ, τὸν αὐτὸν τρόπον καὶ οἱ τῶν Αἰγυπτίων πρωτότοκοι διπλῆν τὴν κόλασιν κληρονομοῦσι. Καὶ ει η α ν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρωτότοκος τῷ διαβόλῳ ὁ πρῶτος αὐτῷ γεννηθεὶς ἐν δόγ ματι ἀλλοτρίῳ σωτηρίας, οι ον Μαρκιωνισταὶ οὐκ εἰσὶ πρωτότοκοι, ἀλλὰ Μαρκίων. Καὶ ω σπερ ἡ ἀπαρχὴ τῶν ἁγίων ἀνάκει ται τῷ Θεῷ, ου τως ἡ τῶν Αἰγυπτίων τῷ πα ταγμῷ, ι να μετὰ τὴν ἀπαρχὴν τότε κολασθῇ καὶ τὰ λοιπὰ τῆς ἀπαρχῆς. Κατὰ μέντοι τὴν ἱστορίαν, ἡ δεκάτη πληγὴ τοῖς Αἰγυπτίοις ἐπαχθεῖσα, θάνατος η ν τῶν παρ' αὐτοῖς πρωτοτόκων, ἀπὸ ἀνθρώπων ε ως κτήνους, καὶ ι σως ἐπὶ μὲν τῶν ἀνθρώπων τῶν πρῶτον τεχθέντων, κυριολεκτοῦσαν ευ ρεν ὁ Δαυὶδ τὴν πρωτότοκον φωνήν· ἐπὶ δὲ τῶν ἀλόγων ζώων ἀπαρχὴν πόνου τὰ πρωτότοκα ει πε· ταῦτα γὰρ τοῖς ζωοτροφοῦσιν ἀπαρχὴ πόνου γίνεται. Ἀνῃρέθη δὲ τὰ μὲν τῶν ἀλόγων πρωτότοκα, ο πως ζημίᾳ ὑποπέσωσιν οἱ κεκ τημένοι· τὰ δὲ τῶν ἀνθρώπων ἐπὶ τῷ πειρα θῆναι συμφορᾶς τοὺς τοιούτους γονέας· α η τοι ἐπιτιμίαν ε σχον τὸ θανεῖν τῶν ἰδίων ἁμαρτιῶν. Η οὐδὲν ἐβλάπησαν, καὶ παιδεύ σεως α λλων ε νεκα τεθνήκασιν· ἀδιάφορον γὰρ τὸ τεθνάναι, καὶ τὸ ἐξ ἀνάγκης συμβαῖ νον. Πρὸς δ' ἀλήθειαν ἀνεξερεύνητα τὰ κρί ματα τοῦ Θεοῦ. Κατὰ δὲ ἀναγωγὴν, ἐπεὶ πνευματικῶς Αι γυπτος καλεῖται πᾶς ὁ περὶ γῆν τόπος, οἱ ἐν τούτῳ διατρίβοντες Αἰγύπτιοι προσαγορεύ ονται. Χάριτι ου ν Θεοῦ τούτων τῶν Αἰγυπ τίων τὰ πρῶτα γεννήματα τῆς ψυχῆς αὐτῶν ἀναιρεῖται, α νοια καὶ κακία τυγχάνονται. Πρὸ γὰρ τῶν ἀρετῶν καὶ ἐπιστημῶν, τῶν ὀφελί μων τέκνων, τῶν διανοιῶν κακία καὶ α γνοια ὑφίσταται. Ἀλλὰ καὶ παντὰ τῷ κατὰ τέχνην η ἐπιστήμην ἐνεργοῦντι, οὐκ εὐθὺς τὸ ευ ποιῆσαν παραγίνεται, ἀλλὰ μετὰ τὸ ἀνεπι λήπτως εὐεργῆσαι. Ἀναιρεῖται ου ν εἰκότως ἀπαρχὴ παντὸς πόνου ὡς φαύλη, ο τι δὲ περὶ ψυχῶν τὰ λεγόμενα σώμασι συμπεπλεγμέ νων, δῆλον ἀπὸ τοῦ προσκεῖσθαι ἐν τοῖς σκη νώμασι· σκηνώματα γὰρ ψυχῶν σώματα. Πονηρὸν ἐνταῦθα τὸν ἐπίπονον α γγελον καὶ πονηρὸν ει πεν, οὐ τῇ κακίᾳ πεποιουμένον, ἀλλὰ τοὺς πόνους καὶ ὠδύνας ἐνεργοῦντα. Ἀπαρχὴν ει ρηκε πόνων τὴν πληγὴν τὴν ἐπὶ τοῖς πρωτοτόκοις, οὐκ ἐπειδὴ πρῶτον ἐπ' αὐτοῖς η λγησαν, ἀλλ' ἐπειδὴ μείζονος ταύτης συμφορᾶς οὐκ ἀπέλαυσαν. Τὸ αι τιον τῷ αἰτιατῷ ὁμωνύμως ἐκλήθη· τὸ γὰρ ἀποτέλεσμα τοῦ θυμοῦ καὶ αὐτὸς θυμὸς ει ρηται, καὶ τὸ ἀποτέλεσμα τῆς ὀργῆς, ὀργή· καὶ τὸ ἀποτέλεσμα τῶν πόνων καὶ αὐτὸς πόνος λέγεται, καὶ ἐπὶ τῆς ἐλπίδος ὡσαύ τως. 77.52 Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, καὶ η γαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ. Ἐγὼ μέντοι εὑρίσκων γεγραμμένον ο τε διεμέριζεν ὁ Ὑψιστος ε θνη, ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, πάλαι μὲν ὑπελάμβανον τούτῳ γεγονέναι κατὰ σύγχυσιν τῶν γλωσσῶν· σκοπῶν δὲ υ στερον, ευ ρισκον μὴ δύνασθαι τοῦτο πρὸ τῆς γενέσεως τοῦ Ἰακὼβ ἐπ' ἐκεῖνον τὸν χρόνον ἀναφέρεσθαι, ἐξέβη δὲ ἡνίκα Ἰουδαῖοι ἐξῆλθον ἐκ γῆς Αἰγύπτου, τότε πρῶτον ἐχρημάτισε μερὶς Θεοῦ ὁ Ἰακὼβ, τουτέστιν ὁ ἐξ Ἰακὼβ λαός. Ἀλλ' ο περ ἐλέγομεν, τότε λαὸς Θεοῦ ὁ Ἰσραὴλ ἐχρημάτισεν, ο τε τῆς Αἰγύπτου ἐξῆλ θε, καὶ ο τε μὲν η σαν ἐν Αἰγύπτῳ, ου πω η σαν ἀγέλη διεσκεδασμένοι ἐν αὐτῇ, διὸ ὡς πρόβατα αὐτοὺς ἀπαίρει Θεός· ἡνίκα δὲ συνάγει αὐτοὺς καὶ ποιεῖ ε ν, ἀπαίρων πρό τερον ἀπὸ παντὸς τοῦ κόσμου τὸν λαὸν αὐ τοῦ, ει τα ἀνάγων διὰ τῆς πολιτείας τῆς α νω φερούσης, καὶ ποιῶν α νω φέρεσθαι, καὶ ἐπὶ τὰ ἀνώτερα ὁδεύειν, ο περ οὐχ οι όν τε η ν αὐτοὺς ποιεῖν ἐν γῇ Αἰγύπτῳ, τότε ἑνώσας αὐτοὺς ποιεῖ ποίμνιον ε ν. Καὶ ἡμεῖς τοίνυν ο σον ἐπὶ τὸ αὐτὸ συναγόμεθα, τηροῦμεν τότε ποίμνης μυστήριον· ο τε δὲ ἀμελοῦμεν τῶν συνάξεων, μιμούμεθα τὰ ἀποσκιρτῶντα καὶ ἀπαιήσσοντα τοῦ ποιμνίου πρόβατα, καὶ δύ νανται καθ' ἡμῶν τῶν διασκεδασθέντων οἱ ἐχθροὶ καὶ τὰ θηρία τὰ ἐνεδρεύοντα, οἱ λύ κοι, ὡς μανθάνομεν ἀπὸ τῶν ποιμνικῶν. Ἐάν ποτε ἐπιτιθῶνται ποίμνῃ, οὐ δύνανται ἐπιτίθεσθαι αὐτῇ συναχθείσῃ, ἀλλ' ἐπιτηροῦσί που πρόβατον ἀπονεμόμενον, κἀκείνῳ ἐπι βουλεύουσιν. Ει περ ου ν καὶ ἡμεῖς βουλόμεθα μὴ ἐπιβουλεύεσθαι ὑπὸ τῶν ἀντικειμένων δυνάμεων, μὴ καταλείπωμεν τὴν συναγω γὴν, ἀλλὰ συνερχώμεθα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπὶ τὸ αὐτὸ, τιμῶν τες τὴν τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμῶν ἡμέραν, ι να συναχθῇ ὀστοῦν Χριστοῦ πρὸς ὀστοῦν, καὶ ἁρμονία, καὶ φλέβες, καὶ νεῦρα, καὶ δέρμα, η δη δὲ καὶ αἱ τρίχες. Η οὐκ οι δατε ο τι σῶμα τοῦ Χριστοῦ ἐστὲ, καὶ ἀναγ καῖον τοῦτο συνάγεσθαι, ι να μὴ λέγῃ περὶ ἡμῶν Χριστός· Διεσκορπίσθη πάντα τὰ ὀσ τᾶ μου; 77.54 Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ο ρος ἁ γιάσματος αὐτοῦ, ο ρος τοῦτο ο ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ. Κατὰ δὲ ἀναγωγὴν, ο ρος ἁγιάσματος ἡ διῃρημένη καὶ ὑψηλοτάτη ἀρετὴ καὶ γνῶσις· εἰς η ν γνησίως εἰσάγει ὁ μόνος τέλειος διδάσ καλος ᾿Ιησοῦς, ου κτῆμα πᾶσα ἀρίστη γνῶ σις καὶ θεωρητικὴ τῆς ἀληθείας ε ξις. Οθεν καὶ οἱ ταύτας τὰς διαθήκας κτώμενοι, κτή ματα Θεοῦ καλοῦνται. 77.55 Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώ μασιν αὐτῶν τὰς φύλας τοῦ ᾿Ισραήλ. Κατεσκήνωσε τὰ ε θνη πιστεύσαντα εἰς τὸν Χριστὸν, καὶ εἰσήγαγεν αὐτούς. 77.61 Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρα ἐχθροῦ. Τοῦ σκηνώματος τὴν καλλονὴν τὴν κιβω τόν φησι. 77.65 Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οι νου. ῾Ο δυνατὸς, καρηβαρήσας ἐξ οι νου, ο ταν ἀναστῇ, σφοδρότερον κινεῖται καὶ ὁρμη τικώτερον· ου τω, φησὶ, καὶ ὁ Θεὸς ἀνέστη κατὰ τῶν ἀλλοφύλων. Πλὴν καθάπερ ἡ κραιπάλη, τουτέστιν ἡ μέθη, ἐπείσακτον πάθος ἐστὶν, οὐκ ε μφυτον, ου τως ἡ ὀργὴ πάθος οὐκ ε στι Θεοῦ, ἀλλὰ τιμωρία δι καία τοῖς πλημμελοῦσιν ἐπαγομένη. Μη δέποτε ου ν ἀναγινώσκων περὶ Θεοῦ ταῦτα τὰ ἀνθρωποπρεπῆ, ὑπολάμβανε τὸν Θεὸν ἐν πάθει ει ναι· ἀπαθὴς γάρ ἐστι παντὶ τρόπῳ. ῾Ο δὲ ἁμαρτάνων ἐκκαίει ἑαυτῷ ὀργήν. Εἰ ἐγὼ ει πον τὸν Θεὸν ὡς κεκραιπαληκότα ἐξ οι νου ἀναστήσασθαι, τίς οὐκ α ν ἐπελάβε τό μου τῶν φιλαιτίων, λέγων ο τι μέθην καὶ κραιπάλην φέρεις ἐπὶ τὸν Θεὸν, α νθρωπος διδασκόμενος ο τι οὐδὲ α νθρωποι μέθυσοι βασιλείαν Θεοῦ κληρονομήσουσιν; ᾿Αλλ' ο μως τὸ α γιον Πνεῦμα, ἐν τῇ ἐλευθέρᾳ τοῦ λέγειν ἐξουσίᾳ τυγχάνον, ει πε τὸν Θεὸν δια νίστασθαί ποτε ὡς δυνατὸν, καὶ κεκραιπα ληκότα ἐξ οι νου. Τάχα γὰρ οἱονεὶ ἡμεῖς κα ρηβαροῦμεν, καὶ μεθύειν ποιοῦμεν τὸν Θεὸν, ὡς καθεύδειν, ὡς ὀργίζεσθαι, ὡς τὰ λοιπὰ, α μὴν ἐφ' ἡμῖν. ᾿Αλλὰ γένηται, ὡς καὶ κε κραιπαληκώς. ᾿Αλλ' ἐὰν ἐπιστρέψωμεν, καὶ γινώμεθα ευ φρονες, ἐγείρεται. Καὶ τί ποιεῖ; 77.66 Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ, εἰς τὰ ὀπίσω, ο νειδος αἰώνιον ε δωκεν αὐτοῖς. Πατάσσει εἰς τὰ ὀπίσω τοὺς ἐχθρούς. Οἱ γὰρ κατενώπιον βλέποντες τοῦ Θεοῦ, καὶ παριστάμενοι αὐτῷ, οὐ πατάσσονται, ἀλλ' ο ταν τις φύγῃ τὸν Θεὸν, τότε πατάσσεται, καὶ μὲν ἀναίσθητος ω ν τῶν οἰκείων ἁμαρτημά των, ει τα ὀνειδίζεται παρὰ τοῦ θέλοντος αὐ τὸν εἰς ἐπιστροφὴν α γειν· μετανοήσῃ καὶ αἰσχυνθῇ, ἀναίσχυντος ω ν τὸ πρότερον, α μα τε η ρξατο ὀνειδίζειν ὁ Κύριος, καὶ ἐπαύσατο. ᾿Εὰν δὲ μὴ μετανοήσῃ, τηρεῖται αὐτῷ ὁ ὀ νειδισμὸς καὶ ἐπὶ τὴν ἀνάστασιν. –Καὶ ἐπάταξε κτλ. Τοῦτό φησιν, διὰ τὸ ᾿Αζωτίους καὶ ᾿Ασκαλωνίτας εἰς τὰ ὀπίσω τῆς ε δρας πατάξαι, α χρις ου τὴν κιβωτὸν ἐξαπέστει λαν. 78.2 Εθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς. Τῶν δαιμόνων οἱ μὲν θεωρίᾳ, οἱ δὲ πρά ξει ἀντίκεινται· καὶ οἱ μὲν πρότεροι πετεινὰ οὐρανοῦ ὀνομάζονται, οἱ δὲ δεύτεροι λέγοιντ' α ν θηρία τῆς γῆς. –῾Ως πετεινὰ τοῦ οὐ ρανοῦ η θηρία τῆς γῆς, τὰ ε θνη καὶ αἱ βα σιλεῖαι τῆς γῆς κατέφαγον ᾿Ιάκωβον τὸν ᾿Ισραήλ. 78.3 ᾿Εξέχεαν τὸ αι μα αὐτῶν ὡς υ δωρ. Τὸ ου ν αι μα, ο ἐξέχεαν, ἐκ τῶν ἐσθιομέ νων ἀρετῶν καὶ πινομένων δογμάτων ἐστί. – Χρήσαιτο α ν τις τούτοις ἐκ δίκης τοῦ ἐκχυθέντος μαρτύρων αι ματος αὐτῶν. 78.7 Καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν. Τόπος γνώσεως Θεοῦ καὶ νοῦς. 78.8,9 Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, ο τι ἐπτωχεύσαμεν σφόδρα, βοήθησον ἡμῖν, ὁ Θεὸς, ὁ σωτὴρ ἡμῶν, ε νεκα τῆς δόξης τοῦ ὀνόματός σου. Τὸ δέ· ἐπτωχεύσαμεν, ἀντὶ τοῦ· πάσης ἐγυμνώσθημεν προστασίας. Καλῶς δὲ καὶ τό· ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἀντὶ τοῦ· ὡς ἀεὶ τοῦτο ἐφάνης ποιῶν, ου τω καὶ νῦν ποίησον, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

ταῦτα πρὸς ἀναξίους, ο τι καὶ οὐχ ὡς α ξιοι, αἰτοῦσιν· ἀλλ' ὡς τοῦ Θεοῦ ὀφείλοντος ἑαυτῷ ἀκολουθεῖν, ἐπάγουσιν· ε νεκα τῆς δόξης τοῦ ὀνόματός σου, ο ταν γυμνοὶ γεγό ναμεν πάντη ἀπὸ τῆς σῆς βοηθείας, νῦν δώ ρησαι ἡμῖν ταύτην, ὁ Θεὸς, ὁ σωτὴρ ἡμῶν. 78.11 Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγ μὸς τῶν πεπηδημένων. Νοῦν μὲν δεσμοῖ ἀγνωσία, ψυχὴν δὲ κα κία· ψυχὴν δέ φημι θυμὸν καὶ ἐπιθύμιον, ο περ λέγεται θυμικὸν καὶ ἐπιθυμικόν. 78.12 ᾿Απόδος τοῖς γείτοσιν ἡμῶν ἑπ ταπλάσια εἰς τὸν κόλπον αὐτῶν. Δότωσαν δίκας ὑπὲρ ω ν ἐπλημμέλησαν ἐν τῷ βίῳ τούτῳ· τὸ γὰρ ἑπταπλάσιον τὸν βίον τοῦτον σημαίνει, ὡς καὶ τὸ ὀκτωπλά σιον τὸν μέλλοντα. Τοιοῦτόν ἐστι καὶ τό· Δὸς μερίδα τοῖς ἑπτὰ καίγε τοῖς ὀκτώ. –῾Ο κόλπος τὸ ἀκόριστον δηλοῖ· τοῦτο ου ν λέ γειν βούλεται, ο τι ἀκόριστον αὐτῶν ποίησον τὸν ὀνειδισμὸν, μεγάλως καὶ δοκοῦσι παρο ξύνειν τὸν Θεόν· οὐ γὰρ ει ρηκε τὸν ὀνειδισ μὸν ἡμῶν, ἀλλὰ τὸν σόν· ὁ γὰρ περὶ ἡμᾶς ὀνειδισμὸς, σὸς μᾶλλον η ἡμῶν. Τοῦτο ου ν φησί· πολλαπλασίως ἀπόδος ἐκείνοις, σύνα ψον αὐτοῖς τιμωρίαν ἀκόριστον, καὶ πλείονα τῆς ἡμετέρας. 79.1 ῾Ο ποιμαίνων τὸν ᾿Ισραὴλ, πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατα ᾿Ιωσήφ. Οὐκ ἀπέστην, εἰμὶ εἰς τὰ πρόβατα, ω ν ε καστος λέγει τῷ Θεῷ· Κτηνώδης ἐγεννήθην παρὰ σοί. Καί· Κύριος ποιμαίνει με. Οταν δὲ ὡς ἀπὸ ποιμένος εὐφρανθῇ, ἐρεῖ ὡς λο γικός· ῾Ητοίμασε ἐνώπιόν μου τράπεζαν. 79.2,3 ῾Ο καθήμενος ἐπὶ τῶν Χερουβεὶμ, ἐμφάνηθι, ἐναντίον ᾿Εφραὶμ καὶ Βενιαμὶν καὶ Μανασσῆ· ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. ᾿Ενταῦθα μὲν κάθηται ἐπὶ τῶν Χερουβεὶμ ὁ Θεὸς, ὡς καὶ παρὰ τῷ ῾Ιεζεχιήλ. ᾿Αλλαχοῦ δὲ ἐπέβη ἐπὶ τῶν Χερουβεὶμ, καὶ ἐπε τάσθη. Καὶ διὰ μὲν τῆς καθέδρας τὴν στα θερὰν ε ξιν μηνύει τῶν Χερουβείμ· διὰ δὲ τῆς πτήσεως αἰνίττεται τὴν ταχεῖαν ἐνέρ γειαν. ᾿Απὸ δὲ τῶν τριῶν ἐπιφανεστέρων φυ λῶν τὸ σύμπαν τοῦ ᾿Ισραὴλ ἐσήμηνε γένος. Ποτὲ ὁ λόγος πρὸς τὸν καλόν ἐστι ποιμένα, τὸν ποιμαίνοντα τὸν ᾿Ισραὴλ, ἐναντίον ᾿Εφραὶμ, ὁδηγοῦντα δὲ τὸν ᾿Ιωσὴφ ἐναντίον Μανασσῆ, καθήμενον δὲ καὶ τῶν Χερουβεὶμ ἐναντίον Βενιαμίν. –᾿Επὶ τοῦ δυνατοῦ τὰ Χερουβεὶμ λέγεται ἀεί. ῾Ο ἐπὶ πάντων, φη- σὶ, ω ν τῶν δυνατῶν, καὶ πάσας ε χων ὑφ' ἑαυ τὸν ει τε ἀοράτους δυνάμεις, ει τε ὁρατοὺς, δεῖξον σεαυτὸν διὰ τῆς εἰς ἡμᾶς βοηθείας. 79.6 Ψωμιεῖς ἡμᾶς α ρτον δακρύων. Διὰ τούτων ῥημάτων παρίστησε τὴν πι κροτάτην μετάνοιαν. 79.9,10 Αμπελον ἐξ Αἰγύπτου μετῆρας· ἐξέβαλες ε θνη, καὶ κατεφύτευσας αὐτὴν, ὡδοποίησας ε μπροσθεν αὐτῆς, καὶ κατεφύ τευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήσθη ἡ γῆ. Εθνη μὲν ἐξέβαλεν ὁ Θεὸς, ι να καταφυ τεύσῃ τὸν ᾿Ισραὴλ, συνέκλεισε δὲ εἰς ἀπεί θειαν τὸν ᾿Ισραὴλ, καὶ τὴν ἀνόδευτον ε ρη μον, οὐκ ου σαν πρότερον ὁδὸν ὡδοποίησεν ὁ Θεὸς τῶν δυνάμεων, ε μπροσθεν τῆς ἀμπέ λου. 79.11 ᾿Εκάλυψεν ο ρη ἡ σκιὰ αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ. ᾿Αναδενδράδες εἰσιν οἱ θεωρητικοί. 79.13 Ινα τί καθεῖλες τὸν φραγμὸν αὐ τῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπο ρευόμενοι τὴν ὁδόν; Οἱ δαίμονές εἰσιν οἱ τρυγῶντες τοὺς καρ ποὺς ἡμῶν· ου ς αὐτοὶ ἐκφέρειν ἡμᾶς ἐνερ γοῦσιν κακὴν γεωργίαν γεωργοῦντας ἡμᾶς. 79.14 ᾿Ελυμήνατο αὐτὴν σῦς ἐκ δρυμοῦ, καὶ μονιὸς α γριος κατενεμήσατο αὐτήν. Μονιὸν δὲ α γριον λέγει τὸν Σατανᾶν, ο νπερ σημαίνει χοῖρος ἐξ υ λης, λέγει δὲ τὸν διάβο λον. 79.17 ᾿Εμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμ μένη· ἀπὸ τῆς τιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται. Οὐκ ἀμνὸς, φησὶ, μέλλων αὐτοὺς τιμῶν ῥύσασθαι, ἀλλ' ἀρκεῖ καὶ μόνη ἡ ἐπιτίμησις πάντας ἀφανίσαι, γενομένης τῆς σῆς προ νοίας ἐπάνω. 79.18 Γενηθήτω ἡ χείρ σου ἐπ' α νδρα δε ξιᾶς σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου ο ν ἐκρα ταίωσας σεαυτῷ. Ανδρα δεξιᾶς τὸν Χριστὸν ὀνομάζει· α ν δρα δὲ διὰ τὴν ἀνθρωπότητα· δεξιᾶς αὐτοῦ, πρῶτον μὲν ὡς ἐν δεξιᾷ τοῦ Πατρὸς, μετὰ σαρκὸς καθεζόμενον, ε πειτα δι' αὐτοῦ πᾶ σαν τὴν κτίσιν ἐποίησε. 79.19 Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ζωώσεις ἡμᾶς, καὶ τὸ ο νομά σου ἐπικαλε σόμεθα. ᾿Επεὶ ἡ ζωὴ ἡμῶν κέκρυπται [ἐν Χρισ τῷ], ζωώσεις ἡμᾶς εἰς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν μέλλοντα χρό νον. –Ζωοποιήσεις ἡμᾶς, οὐδεὶς δύναται ζωοποιῆσαι ἡμᾶς, εἰ μὴ εἰπών· Ἐγώ εἰμι ἡ ζωή· ταύτης γὰρ ἐξ ἡμῶν λαμβανομένης τῆς ἀπαρχῆς, πᾶσα τῶν ἀνθρώπων ἡ φύσις τὸν ἀ ληθῆ Θεὸν ἐπιγνώσεται, καὶ τὴν γεγενημένην φιλανθρωπίαν ἀνυμνήσει· τῷ τρόπῳ δὲ τούτῳ καὶ τοῦ θανάτου τὸ κράτος λυθήσεται, καὶ ἡμεῖς τῆς ζωῆς τῆς αἰωνίου τευξόμεθα, σὲ προσκυνοῦντες τὸν πατέρα Θεόν. 80.1 Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν τῷ Ἀσὰφ ψαλμός.Ἀγαλλίασθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν. Ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ. Ἠθικώτερον δὲ, ω ν μὲν κατορθούντων οἱ καρποὶ ἐπὶ τὰς ληνοὺς ε ρχονται, ἀκουέτω σαν τοῦ ἀγαλλιᾶσθαι τῷ Θεῷ· ὁ δὲ ἁμαρ τὼν, καὶ δεόμενος μετανοίας καὶ ἐπιστρο φῆς, μὴ ἀγαλλιάσθω, ἀλλὰ λυπηθήτω κατὰ Θεόν· ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. Καὶ σὺ δὲ, ἐὰν βοηθηθεὶς ὑπὸ Θεοῦ, τὴν συγκο μιδὴν ἐποιήσω τῶν καρπῶν ἐπὶ τὰς ἁγίους ληνοὺς, μὴ ἐπιλανθάνου τοῦ Θεοῦ, καθὸ βοηθός σου γέγονεν. Κα ν εὐπορῇς λέγων τῶν κατ' ἀξίαν ἀποδοθησομένων τῷ Θεῷ ἐν εὐχαριστίᾳ, ἀλάλαζε εὐσήμῳ φωνῇ καρδίας κεκραγυίας, ὑπερβαινούσης τὰ σημαινόμενα ἀπορούσης λέξεως, καὶ διὰ τὴν ἀπορίαν τῶν λέξεων ἀπόῤῥητα καὶ α ῤῥητα λαλούσης. Ἐὰν γὰρ ἀναβῇς τὰ λεκτὰ, ἐὰν ὑπερβῇς τὰ ἐ παγγελλόμενα, τὰ διὰ στόματος φωνούμενα, καὶ μόνῳ νῷ δυνηθῇς ὑμνεῖν τὸν Θεὸν, τῷ ἀποροῦντι ἐπιθεῖναι ἑαυτοῦ κινήματα τῷ λό γῳ παρὰ τὸ τὸν λόγον τὸν ἐν σοὶ μὴ δύνασ θαι βαστάζειν τοῦ νοῦ τὰ ἀπόῤῥητα καὶ τὰ θεῖα, ἀλαλάξεις τῷ Θεῷ Ἰακὼβ, ὡς μιμητὴς τοῦ πτερνιστοῦ Ἰακώβ. 80.3 Λάβετε ψαλμὸν, καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας. Τάχα δὲ ε ν μοι δίδωσιν ὁ λόγος, τρία δέ με ἀπαιτεῖ· δίδωσι γάρ μοι ψαλμὸν, καὶ ἀ παιτεῖ ἀπ' ἐμοῦ πρῶτον τύμπανον, δεύτερον ψαλτήριον, ει τα κιθάραν· ι να μάθω ο τι δίδω σί μοι καὶ χάριν τοῦ Θεοῦ, τὴν διδασκαλίαν· ἀπαιτεῖ δέ με ἁγιασμὸν ὁλοτελῆ, ι να ἁγιάσ θω ὁλόκληρος τῷ πνεύματι καὶ τῇ ψυχῇ καὶ τῷ σώματι· ι ν' αἰνῶ τὸν Θεὸν, ὡς ἐν τυμπά νῳ, τῇ νεκρώσει τοῦ σώματος, ει τα δυνηθῶ συμφωνίαν ποιῆσαι, ὡς ψαλτηρίου, πρὸς κιθάραν τοῦ Πνεύματος, πρὸς τὴν ψυχὴν, η κατὰ τὸν ἀπόστολον πρὸς τὸν νοῦν, ω στε λέ γειν· Ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νῷ. Ψαλτήριον πάλιν τὸ σῶμά φησι διὰ τὴν γενομένην ἁρμονίαν καὶ συμφωνίαν πρὸς αὐτῷ τῆς ψυχῆς, ι να α ρτιοι γένωνται οἱ τοῦ Θεοῦ α νθρωποι, καὶ τὰς ψυχὰς ἀνατεθέντες τῷ Θεῷ καὶ τὸ σῶμα, οὐ τῷ κόσμῳ, ἀλλὰ τῷ Κυρίῳ. –Τύμπανον δὲ ο ργανόν ἐστιν ἐκ δερμάτων πεποιημένον. Λέγει ου ν· Ὑπήκοοι τοῖς θείοις νόμοις γενόμενοι, παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ. –Προστάττει δέχεσθαι μὲν ἀκοαῖς τὴν τῶν λόγων διδασκαλίαν, διδόναι δὲ τὴν διὰ τοῦ σώματος πρᾶξιν. Λάβετε διδασκα λίαν πνευματικὴν, καὶ δότε νέκρωσιν μελῶν τῶν ἐπὶ τῆς γῆς. 80.4 Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι. Ωσπερ πάλαι ποτὲ ὁ Ἰσραὴλ αἰσθητὰς λαμβάνων σάλπιγγας ἐν τῇ νεομηνίᾳ, ἐσάλ πισεν, τοῦτο πρόσταγμα δεδωκότος Θεοῦ, εἰς μαρτύριον τοῦ ἐλευθερωθῆναι αὐτοὺς τῆς ἐξ Αἰγύπτου δουλείας· ου τω καὶ ὁ νέος λαὸς τῇ εὐαγγελικῇ χρώμενος σάλπιγγι, η ς ὁ φθόγγος εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν, κελεύε ται ἐν ταῖς νεομηνίαις σαλπίζειν, τουτέστι ἐν τῇ ἀνακαινώσει τοῦ νοὸς αὐτοῦ, ὁμολο γῶν καὶ αὐτὸς καὶ μαρτυρῶν τῷ Θεῷ, ο τι δι' αὐτοῦ ἐκ τῆς νοητῆς ἐλευθερώθησαν Αἰ γύπτου, τουτέστιν ἐκ τῆς ἐξουσίας τοῦ σκό τους. 80.5 Οτι πρόσταγμα Ἰσραὴλ, καὶ κρίμα τῷ Θεῷ Ἰακὼβ, μαρτύριον ἐν τῷ Ἰωσὴφ εθετο αὐτόν. Τὰ προειρημένα, λέγω δὲ τὸ ἀγαλλιᾶν τῷ Θεῷ Ἰακὼβ, καὶ τὰ ἑξῆς, τοῦτο πρόσ ταγμά ἐστι δοθὲν τῷ Ἰσραὴλ, καὶ κρίμα ἐσ τὶν κριθὲν τῷ Θεῷ Ἰακὼβ, καὶ μαρτύριόν ἐστιν ο ε θετο ὁ Θεὸς ἐν τῷ Ἰωσήφ. 80.6 Μαρτύριον ἐν τῷ Ἰωσὴφ ε θετο αὐ τὸν ἐν τῷ ἐξελθεῖν ἐκ τῆς Αἰγύπτου· γλῶσ σαν η ν οὐκ ε γνω, η κουσεν. Ηκουσεν ὁ Ἰσραὴλ, η ὁ Ἰωσήφ. Καὶ ἡμεῖς ου ν ο σον μὲν ἐκ γῆς Αἰγύπτου οὐκ εἰσόμε θα, τὴν γλῶσσαν η ν πρότερον οὐκ ε γνωμεν, ἠκουσάμεθα, καὶ ἀνεστήσαμεν ἀπὸ α ρσεων, ἐν αι ς ἐν Αἰγύπτῳ ο ντες ἐβαρούμεθα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

– Η κουσεν αὐτοῦ [Θεοῦ] γλῶσσαν, τὴν ἐν τῷ ο ρει Σινᾶ γενομένην φωνὴν, η φωνῆς θείας οὐ δέποτε ἀπολαύσας, ταῦτα ε πη η Κυρίου τὸν νόμον δεχόμενος. 80.7 ᾿Απέστησεν ἀπὸ α ρσεων τὸν νῶτον αὐτοῦ, αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδού λευσαν. ᾿Απὸ α ρσεων δὲ καὶ τῶν βασταγμάτων λέγει· αἱ γὰρ ἀνομίαι αὐτῶν ὑπερῆραν τὴν κεφαλὴν αὐτῶν, ὡσεὶ φορτίον βαρὺ ἐβαρύν θησαν ἐπ' αὐτούς. Οἱ γὰρ τοῖς τῆς πλινθείας ταλαιπωρίας πόνοις, κοφίνῳ τὸν πηλὸν ἐκ βάλλοντες, φέρουσι κατὰ νῶτον, τὸν τοίνυν νῶτον αὐτῶν ἀπέστησεν ἀπὸ α ρσεων, του τέστιν ἐλευθέρωσε τῶν βασταγμάτων. – Αἱ χεῖρες ἡμῶν ἐν τοῖς κοφίνοις ἐργαζομέ νων τὸν Αἰγύπτιον πηλὸν, καὶ συναγόντων α χυρα, ἐδούλευον. ἀλλ' ὁ σωτὴρ ἡμῶν ἐλ θὼν ἐπλήρωσεν α ρτοις, ἑκάστῃ φυλῇ κόφι νον, καθ' ο ν ζητήσεις ο σοι ἐν ἐρήμῳ α ρτοι εὑρέθησαν πλείονες η πέντε, κοφίνων δὲ εὐ πόρησαν δώδεκα. 80.9 Ακουσον, λαός μου, καὶ λαλήσω σοι, ᾿Ισραὴλ, καὶ διαμαρτύρομαί σοι. Τῶν ὀργάνων α μὲν ε χει τὴν ἁρμονίαν τὴν μουσικὴν, α δέ ἐστιν ἀνάρμοστα. ῾Ο ου ν γεγυμνασμένος ἐν τοῖς μουσικοῖς ε ρ γοις, ἐπιλέγεται τὰ ἐναρμόνια, φεύγει δὲ τὰ ἀνάρμοστα, ι να μὴ ἀσχημονῇ διὰ τὸ ο ρ γανον, ὡς οὐχ ὑπηρετοῦν τῇ τέχνῃ ὁ τε χνίτης. Καὶ ὁ Θεὸς ου ν ἐὰν ἀπορῇ τῶν ὀρ γάνων αὐτοῦ, σιωπᾷ, οὐ παρ' ἑαυτὸν, ἀλλὰ παρὰ τὴν τῶν ὀργάνων ἀπορίαν. Οργανα δὲ Θεοῦ οἱ μακάριοι προφῆται, καὶ ω σπερ ὁ ἀκούων χορδῆς καὶ η χου τοῦ ἐν τῇ λύρᾳ, οὐκ ἐκείνης ἀκούει, ἀλλὰ τοῦ μουσικοῦ κρούοντος μουσικῶς τὸ ἐπιτήδειον ο ργανον, ου τως ὁ ἀκούων προφήτου, μὴ νομιζέτω ἀνθρώπου ἀκούειν, ἀλλὰ Θεοῦ τοῦ ο ργα νον εὑρόντος ἐπιτήδειον, καὶ συγχρησαμέ νου αὐτῷ εἰς δέον. Μακαρίζω ου ν καὶ τοῦ τον τὸν προφήτην, ο τι ο ργανον ἑαυτὸν ε ταξε πρὸς διαδοχὴν κρούοντος Θεοῦ, καὶ τό· α κουσον, λαός μου, ἐπὶ τὸν χρώμενον τῷ ὀργάνῳ ἀναφέρω Θεόν· ὡς καὶ ὀφθαλμοῖς χρῆται δικαίου καὶ ω σι καὶ χειρὶ, καὶ πᾶσι τοῖς μέλεσιν· ἀκούσωμεν ου ν τί λέγει ὁ Θεὸς ἐν τῷ ἰδίῳ ὀργάνῳ, διαμαρτυρόμενος πρὸς τὸν λαόν. Πεῖραν, φησὶ, τῆς ἐμῆς δυνάμεως εἰληφὼς, ω ᾿Ισραὴλ, δέξαι προθύμως τὰς παρ' ἐμοῦ προσφερομένας νομοθεσίας. Δια μαρτυρία γάρ ἐστι προλέγουσά σοι καὶ τῆς ἀπειθείας τὴν τιμωρίαν, καὶ τῆς εὐπειθείας τὴν ὠφέλειαν. 80.10 Οὐκ ε σται ἐν σοὶ θεὸς πρόσφατος. Πρόσφατός ἐστι θεὸς, ὁ μηδὲν οὐσιῶσαι δυνάμενος, η ὁ τῇ κακίᾳ πεποιημένος, καὶ παρὰ τοῖς ε θνεσι νενομισμένος. ᾿Ωνόμασεν τὴν πολύθεον εἰδωλολατρίαν ου τω παραπεμ πομένην. Δεῖ γὰρ σὲ δεσπότην ἡγεῖσθαι ἐμὲ, τὸν ἀπαλλάξαντά σε δουλείας, ἀφ' ω ν ε λαβες τὴν πεῖραν. 80.11 Πλάτυνον τὸ στόμα σου, καὶ πλη ρώσω αὐτό. ᾿Αντὶ τοῦ· ει τι δυνάσαι, αι τησαι, καὶ πλείω παράξω ω ν αἰτεῖς. Καὶ πληρώσω, ἀντὶ τοῦ τελειωτέρους λόγους παρασκευάσω εἰπεῖν. 80.17 Καὶ ἐψώμισεν αὐτοὺς στέατος πυ ροῦ, καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς. Αὐτός ἐστιν ὁ πυρὸς, περὶ ου γέγραπται· ᾿Εὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει.᾿Αφ' ου στέατος ψωμίσει ἡμᾶς ὁ Θεὸς, διδοὺς α ρτον ζῶντα, ο ν αὐτὸς ἀρτο ποιεῖ ὁ Πατήρ. Ου τος δὲ ὁ πυρὸς καὶ πέτρα ἐστί. Πέτρα δέ ἐστιν ὁ Χριστός· ἀφ' η ς πέτρας οὐ μόνον υ δωρ ποτίζον καὶ τὸν λαὸν, ἀλλὰ καὶ μέλι χορτάζον τοὺς μακαρίως πενῶντας. – Λέγει δὲ τότε τὸ υ δωρ τῆς περιτομῆς· νῦν δὲ λέγει τὸ τῆς ζωῆς, τὸ ἐκ πλευρᾶς ἐξελ θὸν ᾿Ιησοῦ. – Τοῦτον ψωμίζει ὁ Θεὸς, ο ν δι' ἐντολῶν παιδεύει, καὶ τοῦτον χορτάζει, ο ν διὰ τῆς αὐτοῦ θεωρίας εὐφραίνει. –᾿Η θικῶς δὲ τὸ ει δος τῆς φιλοσόφου καὶ ἀπερά του καὶ τῷ ἀναγκαίῳ μετρουμένης ζωῆς ἰδιότατον μὲν ε χει τόπον τὴν ἐρημίαν, καὶ ταύτῃ κατὰ τὸ πλεῖστον ἐμφιλοχωρεῖ· συμ βαδίζει δὲ πανταχοῦ τοῖς βουλομένοις, ει περ ἐν τρόπῳ, καὶ μὴ ἐν τόπῳ τὸ φιλοσοφεῖν, ο περ οὐδὲν α ν τῶν πάντων στενοχωρήσειεν. 81.π Ψαλμὸς τῷ᾿Ασάφ. 81.1 ῾Ο Θεὸς ε στη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. ᾿Ωριγένους, Βασιλείου. Ει ρηται γοῦν ἀλ λαχοῦ ο τι κρινεῖ ἀνάμεσον τῶν ἐθνῶν. Τοῖς γὰρ ἁγίοις οὐ τὸ κρίνεσθαι, ἀλλὰ τὸ μεῖζον τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διακρίνεσθαι. Διακρίνει γὰρ αὐτοὺς, ω σ περ βασιλεὺς ἐν ἡμέρᾳ ἱλαρᾷ, ε καστον ἀ μειβόμενος τῶν ἀξιωμάτων τιμῆς. Τίς μὲν α ξιος ἀναστῆναι τὴν ἀνάστασιν τὴν ὡς ἡ λίου; τίς δὲ τὴν ὡς σελήνης; καὶ τίς τὴν ὡς ἀστέρων; Στήσεται ου ν ἐν συναγωγῇ θεῶν, οὐκ ἀνθρώπων, η τοι κατ' α νθρωπον περιπατούντων, καὶ διακρινεῖ. Τίς μὲν τού των τῶν θεῶν ἀνάλογον ἡλίου δόξαν ε χει; τίς δὲ σελήνης; τίς δ' ἀστέρων; τί δὲ ποιεῖ ἡμᾶς ἀνθρώπους πεσόντας ἀπὸ τῆς θεό τητος; Ακουε Παύλου περὶ τῶν μικροτέ ρων λέγοντος ἁμαρτημάτων· Οπου μὲν ἐν ὑμῖν ζῆλος καὶ ε ρις; οὐχὶ σαρκικοί ἐστε; καὶ κατὰ α νθρωπον περιπατεῖτε; Κἀκεῖ γὰρ μονονουχὶ ε κραγε καὶ λέγει·Ὁ μὲν Λόγος ὑμᾶς ἐκάλεσεν, ι να η τε θεοί· ὑμεῖς δὲ οὐ βούλεσθε τὰς πράξεις τοῦ σώματος θανα τοῦν, ι να ἀποθεώτητε. Ἀλλ' ἐρχομένην Θεοῦ δωρεὰν εἰς ὑμᾶς ποιοῦσαν ὑμᾶς θεοὺς, ἁμαρ τάνοντες ἀπωθεῖσθε. Ἑβραῖοι δέ φασιν· ο τι ὁ Θεὸς ε στη μέσον τῶν ἀρχόντων, ὡς παρὼν αὐτοῖς ἀοράτως· διὸ καὶ ἐν μέσῳ πολλῶν ἐ λέγξει αὐτοὺς διὰ τῶν προφητῶν, εἰ ἀδίκως α ρξουσι. 81.2 Εως πότε κρίνετε ἀδικίαν, καὶ πρό σωπα ἁμαρτωλῶν λαμβάνετε; Πρόσωπα ἁμαρτωλῶν εἰσιν αἱ κακίαι, καθ' α ς μορφοῦνται οἱ α δικοι. Κρίνων ἀδι κίαν, κριτὴς ἀδικίας· κατ' ἐπακολούθημα δὲ, λαμβάνομεν πρόσωπον ἁμαρτωλῶν, πλου σίων η δυνατῶν, η ὡραίων, η βιαίων, καὶ ὑβριστῶν πρόσωπα λαμβάνομεν, οι ς ἁμαρ τωλοῖς ει ναι συμβέβηκε πολλάκις. Η τάχα ὡς οἱ ἐν θεάτροις πρόσωπα λαμβάνοντες κατὰ τὰ προκείμενα δράματα, ου τως καὶ ἡ μεῖς τῶν ἀντικειμένων ἐνεργειῶν, ὁτὲ μὲν ὀργῆς, ὁτὲ φόβου, ὁτὲ λύπης. 81.5 Ἐν σκότει διαπορεύονται. Σκότος νῦν τὴν α γνοιαν λέγει. 81.6,7 Ἐγὼ ει πα· Θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες.Ὑμεῖς δὲ ὡς α νθρωποι ἀ ποθνήσκετε, καὶ ὡς ει ς τῶν ἀρχόντων πίπ τετε. Θεοί εἰσιν ο σοι ε χοντες τὸν Λόγον, τηροῦ σιν· ὁ γὰρ ἐνὼν αὐτοῖς Λόγος, οὐκ ἐᾷ ἀπο θνήσκειν αὐτοὺς, ζωὴ τυγχάνων. Ἐπειδ' α ν δὲ ἀποβάλωσι τὸν Λόγον, ο ντα ζωὴν, ἀποθ νήσκουσι· ἀποθνήσκουσι δὲ οὐχὶ τὸν κοινὸν θάνατον, ἀλλὰ τὸν ἑπόμενον τῇ ἁμαρτίᾳ, πίπτοντες παραπλησίως ἑνὶ τῶν ἀρχόντων· ου τος δέ ἐστιν ὁ διάβολος. 82.4 Ἐπὶ τὸν λαόν σου κατεπανουργεύ σαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου. Ὁ δὲ Σύμμαχος ου τως· Κατὰ τὸν λαόν σου πανούργως ὁμιλοῦσι, καὶ συμβουλεύον ται κατὰ τοῦ ἀποκρύφου σου. Ἐπειδὴ γὰρ ἐξ αὐτῶν ε μελλεν βλαστήσειν ὁ Χριστὸς, συνελήλυθε δὲ τὰ ε θνη πρόῤῥιζον ἀνασπᾶσ θαι τῶν Ἰουδαίων τὸ ε θνος, διδάσκει τὸ α γιον Πνεῦμα, ο τι οὐ καθ' ἡμῶν κέχρηνται ταῖς ἐπιβουλαῖς, ἀλλὰ καὶ κατὰ τοῦ ἐν ἡμῖν ἀποκεκρυμμένου Χριστοῦ, ο ν ἀνθήσειν ἐκ τῆς Ἰουδαίας φυλῆς προσηγόρευσε· τῆς γὰρ ῥίζης ἐκτεμνομένης, πόθεν ὁ καρπὸς φυή σεται; 82.5 Ει παν· Δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ε θνους, καὶ οὐ μὴ μνησθῇ τὸ ο νο μα Ἰσραὴλ ε τι. Οἱ μὲν θεομάχοι οὐ βούλονται ε θνος Θεοῦ ἐν ἀνθρώποις ἐφεστάναι, ἀλλὰ καὶ τὸ ο νομα τοῦ Ἰσραὴλ ἐξαλειφθῆναι σπουδάζουσιν· ὁ δὲ Θεὸς ἀεὶ ε θνος ἐπὶ γῆς ἑαυτῷ καταρτίζων, καὶ μετὰ τὴν τοῦ προτέρου λαοῦ πτῶσιν, τὴν ἐξ ἐθνῶν ἐκκλησίαν συνεστήσατο, τὸ καινὸν καὶ νέον ε θνος, τὸ καθόλου τῆς οἰ κουμένης. 82.7-9 Τὰ σκηνώματα τῶν Ἰδουμαίων, καὶ οἱ Ἰσμαηλῖται, Μωὰβ καὶ Ἀγγαρηνοὶ ... καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν. Ἰσμαὴλ, εἰσακουσμένος Θεοῦ. Ἀμαλὴκ λαὸς ἐκ λείχων. Ἀσσοὺρ, εὐθὺς ἀτείχιστος· δηλοῖ δὲ ὁ λαὸς Ἀμμονιτῶν καὶ Μωαβιτῶν διαφερόντως τοῦ Θεοῦ θρασυνθέντας καὶ τὰ λοιπὰ συναγείραντας ε θνη. 82.13 Κληρονομήσωμεν ἑαυτοῖς τὸ θυ σιαστήριον τοῦ Θεοῦ. Ψυχὴ δὲ καθαρὰ, κλῆρος Θεοῦ. 82.14-19 Θοῦ αὐτοὺς ὡς τροχὸν κτλ. Πρῶτον, θοῦ αὐτοὺς ὡς τροχόν· δεύτε ρον, ὡς κάλαμον· τρίτον, ὡσεὶ πῦρ· τέταρ τον, ὡσεὶ φλόγα. Πέμπτον, ου τως καταδιώ ξεις· ε κτον, ἐν τῇ ὀργῇ σου· ἑπτὸν, πλήρω σον· ο γδοον, ζητήσουσιν· ε ννατον, αἰσχυνθή τωσαν· δέκατον, ἐντραπήσονται· ἑνδέκατον, γνώτωσαν. Ὁ Θεός μου, φησὶν, ου τως αὐ τοὺς παρήγαγεν καὶ παρακύκλωσε ταῖς ἁ μαρτίαις, η γουν τιμωρίαις, ὡς μηδεμίαν αὐ τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνάπαυσιν γενέσθαι ὡς πάντων τροχῶν, φησὶ, παράγεσθαί τε καὶ κυλίεσθαι· ὁ τρο χὸς μὲν γὰρ ἀφάπτεται τῆς γῆς. 82.19 Καὶ γνώτωσαν ο τι ο νομά σου Κύ ριος. Εἰς αὐτὴν ἁμαρτάνει γνῶσιν, ὁ τὸν πεφυ κότα νοῦν ὁρᾶν τὴν γνῶσιν ἁμαρτάνειν κα τεργάζων. 83.3 ᾿Επιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου, ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. Ζητήσεις πόθεν ἐπιποθεῖ ἡ ψυχὴ, οὐ τὸ ἐπιποθεῖν μόνον, ἀλλὰ καὶ τὸ ἐκλείπειν εἰς τὰς αὐλὰς τοῦ Κυρίου; πότερον ὑπομνησ θεῖσα; σὰρξ δὲ ἀγάλλεται ἐπὶ Θεὸν ζῶντα, ἐπείπερ ο ψεται τὸ σωτήριον τοῦ Θεοῦ. – Αὐλαὶ Κυρίου αἱ θεωρίαι τῶν γεγονότων σωμάτων εἰσίν. ἐν ταύταις γὰρ ἡμεῖς δεῖ γενέσθαι τὸ πρότερον, εἰθ' ου τως εἰσελθεῖν εἰς τὸν ναὸν τοῦ Θεοῦ, ο στις ἐστιν ἡ θεωρία τῶν ἀσωμάτων. 83.4 Καὶ γὰρ στρουθίον ευ ρεν ἑαυτῷ οἰ κίαν, καὶ τρυγὼν νοσσίαν ἑαυτῇ, ου θήσει τὰ νοσσία αὐτῆς. Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων. Βούλεται εἰπεῖν ο τι ὡς στρουθίου δίκην, καὶ ἡμεῖς ἐπλανώμεθα· ὡς γὰρ ἐκεῖνα τοῦ μὴ ε χειν καλιὰν πλανᾶται, πηξάμενα δὲ ἐν αὐτῇ διατρίβουσι, καὶ τὰ νοσσία ἐκθάλπου σιν, ου τως καὶ ἡμεῖς πάλαι μὲν ἐπλανώμε θα. Νῦν δὲ ὑπὸ τῆς θείας χάριτος προκλη θέντες, παρὰ τὰς σκηνὰς καὶ τὰ θυσιαστή ριά σου, τοὺς ἰδίους ἐκπαιδεύομεν νεοττούς. –Καὶ ᾿Ακύλας ου τως· Καίγε ο ρνεον ευ ρεν ἑαυτοῦ οι κον, καὶ στρουθὸς νοσσίαν ἑαυτῷ, ου ε θετο τὰ νοσσία. Εθος δὲ τῇ γραφῇ τρυ γῶσιν ἀφομοιοῦν τοὺς ἁγίους μυσταγωγοὺς, οἱ τῷ ἐπικεῖ τρόπῳ τοὺς νεοττοὺς θάλπουσι παρὰ τοῖς θείοις θυσιαστηρίοις, ω σπερ τρυ γόνες· οι ς καὶ ἡδεῖς εἰσιν οἱ τούτων λόγοι, ὡς τρυγόνων πνευματικῶν. Η ου τως· στρου θία μὲν τῶν ἀνθρώπων αἰνίττεται τὰς ψυχὰς τὰς ὑπὸ τοῦ νοητοῦ ἐχθροῦ ἀγρευομένας· τρυγόνες δὲ τὰς ἐν ἁγνείᾳ καὶ σωφροσύνῃ ζώσας ψυχάς· λέγει ου ν ο τι πᾶσα ψυχὴ ταύ την εὑρήσει καταφυγὴν, τὴν εἰς τὸ θυσιασ τήριόν σου ει σοδον. Δεῖ πρότερόν τινα σπου δάσαι ἑαυτῷ οι κον εὑρεῖν, ἐν ῳ δυνήσεται δέξασθαι Θεὸν, ε πειτα δὲ καὶ α λλους ποιῆ σαι οι κους Θεοῦ. Χρησώμεθα δὲ τοῖς ῥητοῖς πρὸς τοὺς ἀκαθάρτους ἀνθρώπους καὶ διδάσ κειν ἐπιχειροῦντας. Κατὰ τὴν ε ννοιαν τοῦ ῥη τοῦ, μείζων ἡ τρυγὼν τοῦ στρουθίου. 83.6,7 ᾿Αναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ο ν ε θετο. Αἱ ἀναβάσεις αὐταὶ τῶν γνώσεων τῇ καρ δίᾳ συμβαίνουσιν ἐκ τῆς ἀντιλήψεως τοῦ Θεοῦ, τουτέστιν καὶ ἐν τῇ καρδίᾳ αὐτοῦ ἀνα βαίνει τὰ περὶ τῆς κρίσεως, καὶ διατίθεται ἐν αὐτῷ, καὶ φυλάττει τὰς ἐντολὰς τοῦ Θεοῦ. Κοιλὴ δὲ κλουθμῶνός ἐστιν, η τοι τὸ ἀνθρώπινον σῶμα, η τὸ συγγενὲς τούτου κόσμος. 83.8 Πορεύσονται ἐκ δυνάμεως εἰς δύνα μιν. Σύγκρισις ἁγίας γνώσεως πρὸς γνῶσιν ἀν θρωπίνην· σύγκρισιν ποιησαμένοις τῆς γνώ σεως τῆς τῶν ε ξωθεν σοφῶν καὶ τῆς τοῦ Θεοῦ, ἀποφαίνεται κρείσσω ει ναι τὴν μικρὰν μερίδα παρὰ Κυρίου η τοὺς θησαυροὺς μετὰ ἀφοβίας, τοὺς παρὰ τῷ Σωλομῶνι λεγομέ νους. Καὶ μετ' ὀλίγον· ῾Ο αὐτός φησιν· ἐξελε ξάμην παραῤῥίπτεσται ἐν τῷ οι κῳ τοῦ Θεοῦ μου, μᾶλλον η οἰκεῖν με ἐν σκηνώματι ἁ μαρτωλῶν· ου τω δή μοι ὁ θεῖος ἀξιέραστος οι κος, ὡς αἱρεῖσθαι παρὰ τοῦτον, καὶ ἐπ' ἐ δάφους ἐῤῥίφθαι καὶ πρὸ τῶν τούτου καλιν δεῖσθαι θυρῶν, η ἐν ταῖς μεγάλαις καὶ λαμ πραῖς τῶν παρανομίᾳ συζώντων οἰκίαις διαιτᾶσθαι· καὶ γὰρ ἐκείνους ἐδίδασκεν ἡ χάρις τοῦ πνεύματος μὴ παραβλέπειν τοῦ θείου οι κου τὴν ἐρημίαν, καὶ ἡμεῖς παιδευό μεθα τοὺς τῷ Θεῷ ἀφιερωμένους οι κους πο θεῖν ἀεὶ, ο μοιον ὡσεὶ λέγοι· καὶ μικρός τις καὶ εὐτελὴς ει ναι μᾶλλον βουλοίμην α ν ἐν τῇ ἐκκλησίᾳ, η μέγας ἐν τῷ ἁμαρτωλῷ λαῷ. 83.9,10 Κύριε ὁ Θεὸς τῶν δυνάμεων, εἰ σάκουσον τῆς προσευχῆς μου. ῾Υπερασπις τὰ ἡμῶν ι δε, ὁ Θεὸς, καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ σου. ᾿Αντὶ τοῦ· ἐπέμενον ὑμῶν προιστάμενος, ὑπερασπίζων καὶ φροντίζων καὶ τῆς εὐπρε πείας τῆς βασιλείας ἡμῶν. Χριστὸν γὰρ λέ γει ἐνταῦθα, τὸν ἐκ Βαβυλῶνος ἐπανελθόν τα βασιλέα τὸν Ζοροβαβέλ. Η πρόσωπον χριστοῦ λέγει τὸν σεσωσμένον λαὸν, ο ν καὶ Παῦλος μέλη Χριστοῦ καὶ σῶμα ἐκάλει. 83.12 Οτι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ε λεον καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος, ὁ Θεὸς χάριν καὶ δόξαν δώσει. Ελεον καὶ ἀλήθειαν, ἀντὶ τοῦ· ἐλεήμονα καὶ ἀληθινὸν ἀγαπᾷ Κύριος. Συνηθὲς γὰρ τῇ γραφῇ τὴν ε ξιν ἀντὶ τοῦ μετέχοντος λέ γειν· οὐχὶ δύο λέγει πράγματα, ἀλλ' η δεται τῷ ἐλεεῖν καὶ ἀληθεύειν ἀγαπᾷ· η ε λεος καὶ ἀλήθειαν ἀγαπᾷ, οὐ τὰς δι' αἱμάτων θυσίας, ἀλλὰ τὸ ποιεῖν ε λεος καὶ ἀγαπᾶν τὴν ἀλήθειαν, –Χάριν, φησὶ, θείαν οἱ τοιοῦ τοι ἐκ τῶν τοῦ παναγίου Πνεύματος κρου νῶν ἀρύοντες, οἱ τὴν ἀλήθειαν δηλαδὴ καὶ τὸν ε λεον ἀγαπῶντες. 83.13 Κύριε τῶν δυνάμεων, μακάριος α νθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. Κατάδηλον πάντη τοῦ ψαλμοῦ τὸ ἀκρο τελεύτιον· μακαρίζει γὰρ καὶ ζηλωτὸν ὀ νομάζει τὸν πάσης μὲν βιωτικῆς εὐκληρίας καταφρονοῦντα, μόνη δὲ ἐπὶ τὸν Θεὸν ἐλ πίδι θαῤῥοῦντα. 84.1 Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλ μός. Οἱ μὲν υἱοὶ Κορὲ τὸ αὐτὸ ε λεγον δύο η τρεῖς· ε ν μὲν δὲ λέγεται, ι να τὸ αὐτὸ λέγω μεν πάντες.᾿Επινίκιος καὶ ου τος τῶν ἐπ ανελθόντων ἐκ Βαβυλῶνος· ἐσχημάτισται δὴ, ὡς τοῦ Θεοῦ στρατηγοῦντος, καὶ λαβόν τος τὴν αἰχμαλωσίαν, καὶ διὰ χρόνου ἐπα νερχομένου εἰς ῾Ιερουσαλὴμ, καὶ τοῦ λαοῦ καταδιελόντος ἑαυτὸν δίχα, τοῦ προηγουμέ νου τε καὶ ἑπομένου, καὶ ὡς νικητὴν ἀνευ φημοῦντος τὸν τῶν ο λων Θεόν. Προθεσπίζει δὲ ἐνταῦθα μετὰ τῆς σκιᾶς καὶ τὴν ἀλή θειαν, η τοι μετὰ τὴν τῶν ᾿Ιουδαίων ἐκ Βαβυ λῶνος ἐπάνοδον καὶ τοῦ παντὸς κόσμου τὴν σωτηρίαν. 84.2,3 Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν᾿Ιακώβ.᾿Αφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας τὰς ἁμαρτίας αὐτῶν. Εὐδοκεῖ Κύριος τὴν ἀγαθὴν καὶ σπουδαί αν γῆν τυγχάνουσαν, διὰ τοῦ δέχεσθαι τὸν παρ' αὐτοῦ σπορὸν, καὶ ὡς ἑκατὸν καρποφο ρεῖ· καὶ ἀφίησι μὲν τὰς ἀνομίας διὰ τοῦ βαπτίσματος· ἐπικαλύπτει δὲ τὰς ἁμαρτίας διὰ τῆς πικρᾶς μετανοίας. Νῦν μὲν τὴν γῆν σου, κατωτέρω δὲ τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν, καὶ κατωτέρω δὲ καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς· ἐν τῇ εἰς τὴν γῆν καθόδῳ τοῦ σωτῆρος ἡμῶν, εὐδόκησεν ὁ Θεὸς τὴν γῆν ἑαυτοῦ. Η γῆν σου, ἀντὶ διαστολῆς ἀλλοτρίας λέγει τὴν᾿Ιουδαίαν, τῷ διὰ τῆς πίστεως γενομένῳ αὐτοῦ λαῷ. Λέγει δὲ τὸν ἐξ ἐθνῶν κατὰ τὸ εἰρημένον ὑπὸ Ζαχα ρίου τοῦ προφήτου·᾿Εκείνῃ τῇ ἡμέρᾳ κατα φεύξονται ἐπὶ τὸν Κύριον ε θνη πολλὰ, καὶ ε σονται αὐτῷ εἰς λαόν. 84.8 Δεῖξον ἡμῖν, Κύριε, τὸ ε λεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν. Οὐ μόνον ὁ ἐλεούμενος ὁρᾷ τὸν δεικνύμε νον αὐτῷ ε λεον ἀπὸ Θεοῦ, ἀλλὰ πολλῷ μᾶλλον ὁ φωτιζόμενος εἰς γνῶσιν τοῦ ἐλέου, ω στε α ν εἰπεῖν· Ελεον καὶ κρίσιν ᾳ σομαί σοι, Κύριε. Νῦν ἑνικῶς τὸ σωτήριον ἡ ἀρε τή ἐστι, τὸ σωτήριον τοῦ Θεοῦ ὁ Χριστός. 84.9 Οτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας πρὸς αὐτὸν καρδίαν. Καὶ ἐπὶ τοὺς ἀποστόλους αὐτοῦ καὶ πάν τας τοὺς πιστεύοντας εἰς αὐτὸν, ὁ σωτὴρ ἐν τοῖς εὐαγγελίοις φησιν· Εἰρήνην τὴν ἐμὴν ἀφίημι. Δείκνυσι δὲ καλῶς ὡς ἡ πρὸς τὸν Θεὸν ἐπιστροφὴ μηκέτι πταιόντων δικαιο σύνης ἀρχὴ, διὸ καὶ πελάζει φοβουμένοις ἡ σωτηρία, καὶ η ν ἀφῆκας, ἀπολαμβάνουσι σὺν εὐκλείᾳ πατρίδα. 84.10 Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐ τὸν τὸ σωτήριον αὐτοῦ. Εἰ ἀρχὴ σοφίας φόβος Κυρίου, σοφία δὲ ἡμῶν ἐστιν ὁ Χριστὸς, καλῶς ου ν λέγεται ὁ σωτὴρ ἐγγὺς ει ναι τῶν φοβουμένων αὐτόν. 85.1 Προσευχὴ τῷ Δαυίδ. Προσευχή ἐστιν ἡ μετὰ δοξολογίας περὶ μειζόνων ἀναπεμπομένη. 85.2 Σῶσον τὸν δοῦλόν σου, ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ. Δοῦλος Θεοῦ, ὁ μὴ δουλεύων ἁμαρτίᾳ, μη δέ τινι πάθει ὑποκείμενος, ἐν μόνῳ δὲ ἐλπί ζων Θεῷ. ᾿Εγὼ η λπισά σοι, δέσποτα, δὸς ἐλπίδι τῆς σωτηρίας ἀντίδοσιν. –῾Η γνῶ σις τοῦ Θεοῦ σωτηρία ἐστὶ ψυχῆς. ᾿Επειδὴ ο σιος ἑαυτῷ κατηγόρευσεν, ἐπὶ τὸ ταπεινὸν πάλιν καταφέρει τὸν λόγον, δοῦλον ἑαυτὸν ἀπογραφόμενος τοῦ Θεοῦ, καὶ ἐπ' αὐτῷ μό νῳ τὴν ἐλπίδα τῆς σωτηρίας ε χειν ἐπαγγελ λόμενος. 85.4 Ευ φρανον τὴν ψυχὴν τοῦ δούλου σου, ο τι πρὸς σὲ, Κύριε, ῃ ρα τὴν ψυχήν μου. Ευ φρανον, η τοι διὰ ζωήν. Διδάσκει ἡμᾶς ὁ λόγος, ὡς τὸν βουλόμενόν τε παρὰ τοῦ Θεοῦ λαβεῖν ἀγαθὸν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀδιάλειπτον δεῖ ει ναι εἰς προσευχήν. Αι ρει πρὸς Κύριον τὴν ἑαυ τοῦ ψυχὴν, ὁ διὰ πράξεως καὶ θεωρίας κου φίζων αὐτήν. 85.5 Οτι σὺ, Κύριε, χρηστὸς καὶ ἐπιεικὴς καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε. Ἀντὶ τοῦ ἐπιεικὴς Ἀκύλας καὶ Θεοδο τίων ἱλαστὴς εἰρήκασιν· ὁ δὲ Σύμμαχος· Καὶ ἀφιείς. Ἐπήγαγε δὲ τοῦτο θεραπεύων τὸ δοκοῦν φορτικόν. 85.8 Οὐκ ε στιν ο μοιός σοι ἐν θεοῖς, Κύ ριε. Τίνι γὰρ ει πεν ποτὲ ὁ Πατήρ· Κάθου ἐκ δεξιῶν μου; 85.9 Πάντα τὰ ε θνη ο σα ἐποίησας, η ξου σι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ο νομά σου, Κύριε. Εἰ πάντα τὰ ε θνη η ξει καὶ προσκυνήσει τὸ ο νομα Κυρίου, η ξει δηλονότι καὶ τὰ ε θνη τὰ τοὺς πολέμους θέλοντα· εἰ δὲ ου τω πᾶσα α ρα φύσις λογικὴ προσκυνήσει ἐνώπιον Κυ ρίου, ε πειτα δὲ καὶ δοξάσει τὸ ο νομα αὐτοῦ, ο περ σημαίνει τὸν ἐν αὐτῷ ὑπάρχοντα Πα τέρα. 85.11 Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. Ἐγώ εἰμι ἡ ὁδὸς, φησὶν ὁ Χριστός. Καὶ πάλιν· Ἐγώ εἰμι ἡ ἀλήθεια. Ευ χεται τοίνυν πρῶτον μὲν ἐν αὐτῷ γενέσθαι, ὡς ὁδὸν τὸν Χριστὸν, τουτέστιν ὡς ἀρετὴν, ε πειτα δὲ ὡς ἀλήθειαν, ο περ ἐστι τῆς θεωρίας. 85.17 Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀ γαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν, ο τι σὺ, Κύριε, ἐβοήθησάς μοι, καὶ παρακάλεσάς με. Οὐχ ἁπλῶς σημεῖον, ἀλλὰ σημεῖον ἀγα θὸν, ἀντὶ τοῦ· Ποίησον σημεῖον ἐμοὶ φέρον τὸ σωτήριον. Καὶ ἰδέτωσαν οἱ μισοῦντές με, τὴν εἰς ἐμὲ τοιγαροῦν πρόνοιαν δυσμενεῖς θεασάμενοι αἰσχύνης ἀναπληθήσονται, καὶ ἐπονείδιστοι παρὰ πᾶσι γενήσονται. Ση μεῖα ἀγαθά ἐστιν τὰ χαρίσματα τοῦ Πνεύ ματος τοῦ ἁγίου, ταῦτα γὰρ μάλιστα αἰσχύ νονται καὶ οἱ δαίμονες. –Καὶ παρεκάλε σάς με. Παράκλησίς ἐστιν ἀνάκτησις ψυχῆς ἀπὸ πολλῶν κόπων. Η ἐστί· Βεβαιώθημαι καὶ παρακέκλημαι. 86.1 Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς. Ἐπινίκιος ου τός ἐστιν, ἀπαλλαγείσης τῆς πόλεως· προθεσπίζει δὲ καὶ τὴν κληρονο μίαν καὶ σωτηρίαν τῶν ἐθνῶν. 86.2 Οἱ θεμέλιοι ἐν τοῖς ο ρεσι τοῖς ἁγίοις. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάν τα τὰ σκηνώματα Ἰακώβ. Θεμέλια τῆς εὐσεβείας τὰ θεῖα παιδεύμα τα· ο ρη δὲ α για, ἐφ' ω ν ταῦτα πέπηγε τὰ θεμέλια, οἱ τοῦ Σωτῆρος ἀπόστολοι. Περὶ τούτων γὰρ ε φη καὶ Παῦλος· Ἐποικοδομη θέντες εἰς τὸ θεμέλιον τῶν ἀποστόλων καὶ προφητῶν· ἐπὶ τούτων τῶν ἁγίων ο ρεων ὁ δεσπότης Χριστὸς κατέπηξε τὰ τῆς εὐσεβεί ας θεμέλια. Η θεμελίους Θεοῦ τοὺς τῆς πόλεως θεμελίους καλεῖ, ὡς δι' αὐτὸν οὐκ ἀνατραπέντας. Ορη δὲ α για, τὴν Σιὼν καὶ τὴν Ἱερουσαλὴμ, ὡς τοῦ ἁγίου Θεοῦ δείξαν τος ἐκεῖ τὴν ἑαυτοῦ κατοικίαν, δι' η ν οὐ πα ρεδόθη καὶ αὐτὰ τοῖς Ἀσσυρίοις. Διό φη σιν· Εστηκα καὶ α παντα σῶα ἐπὶ τῆς οἰ κείας ε δρας. –Ἡγοῦμαι καλῶς μὴ προσ κεῖσθαι τὸ τίνος οἱ θεμέλιοι αὐτοῦ, ι ν' ἐπι ζητήσαντες ευ ρωμεν ἐν τοῖς ἐφ' ἑξῆς τὸν λεγόμενον τεθεμελιωκέναι τὴν Σιὼν α νδρα, ο ς καὶ ἐγεννήθη ἐν αὐτῇ, καὶ ἐθεμελίωσεν αὐτήν. Ὁ δὲ Ἀκύλας· Θεμελίωσις αὐτοῦ ἐν ο ρει ἡγιασμένῳ. Σημαίνει δὲ τὸ ἑδραῖον τῆς τῶν Ἑβραίων πολιτείας, καὶ τὸ οἰκεῖον καύ χημα ἐν τῷ ο ρει τῆς Σιὼν ει ναι, ου καὶ ὁ ναὸς ι δρυτο. Ορεα δὲ καὶ πόλιν ει πε, σεμνύ νων τὸ Σιὼν ο ρος. Ἀγαπᾷ Κύριος καὶ τὸν πρακτικὸν καὶ τὸν θεωρητικόν. Ἰακὼβ γὰρ πτερνιστὴς ἑρμηνεύεται, ἡ δὲ Σιὼν σκοπευ τήριον. 86.5 Μήτηρ Σιὼν ἐρεῖ· Ανθρωπος, καὶ α νθρωπος ἐγεννήθη ἐν αὐτῇ. Μητέρα ε καστος τὴν Σιὼν ὀνομάζει, καὶ πᾶς α νθρωπος ἐρεῖ· Μήτηρ Σιών. Ὁ μὲν παῖς Ἰησοῦς γεννᾶται ἐν βηθλεέμ· ὁ δὲ α ν θρωπος ἐν τῇ Σιὼν, διὰ τὸ πρᾶξιν μὲν τίκ τεσθαι ἐν τῇ ψυχῇ, σοφίαν δὲ γεννᾶσθαι ἐν τῷ νῷ. 86.6 Κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόντων τούτων τῶν γεγενημένων ἐν αὐτῇ. Τοῦτο ὁ Σύμμαχος ου τως· Κύριος ἀριθ μήσει γράφων λαοὺς, ου τος ἐτέχθη ἐκεῖ. Ὁ γὰρ τοὺς ἐν αὐτῇ πολιτευομένους λαοὺς τῆς παρ' αὐτοῦ γραφῆς ἀξιῶν, ἐν αὐτῇ ἐγεννήθη, Κυρίος ω ν καὶ Θεός· ταύτην δὲ τὴν ἀρίθμη σιν καὶ ὁ Κύριος ἐδίδαξεν, εἰπών· Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς ἠρίθμηνται. Η τῶν λαῶν, φησὶ, καὶ τῶν ἀρχόντων, τῶν ἐν αὐτῇ τῇ ἐκκλησίᾳ γεγεννημένων, ἀρίθμη σιν ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κύριος διηγήσεται, τὴν γενομένην ἐν τοῖς οὐρανοῖς, η ν αὐτὸς αὐτοῖς διηγήσατο, λέγων· Χαίρετε, ο τι τὰ ὀνόματα ὑμῶν ἐγγέ γραπται ἐν τοῖς οὐρανοῖς. – Η καὶ ου τως· ʼΑναστήσει, φησὶ, τὰ πάτριά σου πάλιν, καὶ ε σονταί σοι σύνοδοι ἐν τῷ ναῷ, καὶ ἀναγ νωσθήσονται θεῖαι γραφαὶ, δι' ω ν ὁ Θεὸς τοῖς λαοῖς δοκεῖ διαλέγεσθαι· ἐν αι ς συνόδοις, φη σὶν, καὶ α ρχοντες ε σονται, πάλιν λέγων δι δασκάλους καὶ ἱερεῖς. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; φησὶν ου τως· Εστι πεπολισμένη καὶ πληθύνουσα, ὡς α ν πόλις οἰκισθείη πα ρὰ τῶν ἀνθρώπων ἀλύπως διαγόντων ἐν αὐ τῇ καὶ μετὰ πλείστης εὐφροσύνης. 86.7 ʽΩς εὐφραινομένων πάντων ἡ κατοι κία ἐν σοί. ʽΗ γὰρ ἐν οὐρανῷ πολιτεία πάσας ἀθυ μίας κεχώρισται. – Η ου τως· ο ταν σοι, φησὶ, πάντων τῶν ἐν τῇ ἐκκλησίᾳ ἡ κατοι κία γένηται, τότε καὶ εὐφροσύνης ε σονται πλήρεις. 87.3 Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευ χή μου. ʽΩσπερεὶ ζώσης τῆς ἑαυτοῦ προσευχῆς ἀξιοῖ, ο πως ε λθοι ἐνώπιον τοῦ Κυρίου. 87.4,5,6 Οτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾳ δῃ η γγισε, προ σελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον· ἐγεννήθην ὡς α νθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος. Τὸ δέ· ἐπλήσθη κακῶν ἡ ψυχή μου, ὁ Χριστὸς λέγει, τὰς ἁμαρτίας ἡμῶν φέρων ἐν τῇ ψυχῇ αὐτοῦ, καὶ πλήρης ω ν [κακῶν]· ὁ περὶ ἡμῶν ὀδυνάμενος, προσελογίσθη με τὰ τῶν καταβαινόντων εἰς λάκκον. –Εἰ αὐτὸς τὰς ἁμαρτίας ἡμῶν ἐβάστασε, καὶ περὶ ἡμῶν ὀδυνᾶται, εἰκότως κακῶν ἐνε πλήσθη, φησίν. ʼΕὰν μεταλάβῃς τὸν ᾳ δην εἰς τὸν θανόντα, γνῶθι πῶς ὁ θάνατος δια φέρει ζωῆς ἀνθρώπου· τὸ πλῆθος ἠντομό λησε τῶν περιστοιχιζόντων με θεωρῆσαι κα κῶν· παρ' αὐτὸν γὰρ ει μι τὸν θανόντα, καὶ τῆς σῆς δέομαι βοηθείας. –ʽΩς ἀβοήθητος μὲν, οὐ μὴν ἀληθῶς ἀβοήθητος, ὡς ἀπὸ τοῦ Πατρὸς, εἰ καὶ ει πεν· ʽΟ Θεὸς, ὁ Θεός μου, ι να τί ἐγκατέλιπές με; Μόνος γὰρ ὁ ʼΙησοῦς, εἰ καὶ ἀπέθανεν ὑπὸ τῶν ἁμαρτιῶν τοῦ λαοῦ, ἀλλ' ἐν νεκροῖς μόνος η ν ἐλεύθερος, ὡς τό· Ερ χεται ὁ α ρχων, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν. Διὸ οὐκ ε χων τοὺς τῆς ἁμαρτίας δεσμοὺς, ὡσεὶ ἐλεύθερος, ἀνέστη ἐκ νεκρῶν, ἐξουσίαν ε χων μόνος πάλιν λαβεῖν αὐτὴν [τὴν ζωήν]. ʽΟ βουλόμενος τοῦτο ἐπὶ τοῦ Σωτῆρος λαβεῖν, νοησάτω ου τως· εἰ πᾶς ὁ ποιῶν τὴν ἁμαρ τίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας, ὁ δὲ αὐτὸς ου τος καὶ νεκρός ἐστι· ψυχὴ γὰρ ἡ ἁμαρτά νουσα, αὐτὴ καὶ ἀποθανεῖται. Καὶ καλῶς λέγεται ὁ Σωτὴρ ἐν νεκροῖς ει ναι ἐλεύθερος, ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δό λος ἐν τῷ στόματι αὐτοῦ. 87.8 Καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπ' ἐμὲ ἐπήγαγες. Μετεωρισμοὺς τὴν μετὰ σφοδρότητος ἐ πενεχθεῖσαν τῷ τῶν ἀνθρώπων γένει ὑπὲρ τῆς παραβάσεως δίκην φησί· σημαίνει δὲ πάλιν τὸν θάνατον. 87.9 ʼΕμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐ μοῦ, ε θεντό με βδέλυγμα ἑαυτοῖς. Οἱ ʼΙουδαῖοι ε θεντο αὐτὸν βδέλυγμα ἑαυ τοῖς· ἐπὰν δὲ μακρύνῃ τις ἑαυτὸν ἀπὸ Χρισ τοῦ, τότε καὶ ἀπὸ Θεοῦ μακρύνεται κατ' ἀ ναλογίαν ου ἑαυτὸν μακρύνει· ὁρῶν δέ τις ʼΙούδαν η ἀλλοτριουμένους ʼΙησοῦ Χριστοῦ τοῦ Θεοῦ, τεθειμένους αὐτὸν βδέλυγμα ἑαυ τοῖς, ο ψεται πῶς ταῦτά ἐστιν ἀληθῆ. 87.10 Οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας. Καὶ πρὸς τούτοις, φησὶν, ὑπὸ τῶν πολλῶν δακρύων· ἐξεῤῥύη μου τὸ διοριστικόν. ʽΟ γὰρ Σύμμαχος ου τως· ʽΟ ὀφθαλμός μου ἐ ξέῤῥευσεν ἀπὸ τῆς κακώσεως. Δακρύων, φη σὶ, τοὺς ὀφθαλμούς μου κατεδαπήνησα, κλαί ειν ὑπὸ τῆς ὀδύνης ἀναγκαζόμενος. –Διὰ τὴν πτωχείαν, η ν ἐπτώχευσεν πλούσιος ω ν, ὡς ἐσταυρώθη, ου τως καὶ τῷ ὀφθαλμῷ ἠσ θένησεν· οὐ γὰρ ε ωρα, ὡς ο τε ἐν μορφῇ Θεοῦ ὑπῆρχεν, ἀλλ' ὡς μορφὴν δούλου λαβὼν, ε βλεπε· καὶ α λλως δὲ πτωχὸς οὐχ ὑφίσταται ἀπειλήν· καὶ οὐκ ἰσχυροῖ ὁρᾶν· διὸ ἐπεὶ ἐν Κορίνθῳ πολλοὶ ἀσθενεῖς, οὐδὲ βρῶμα λαβεῖν δύνανται, οὐδὲ βλέπειν τὸ τῆς γνώσεως αὐ τοῦ φῶς. 87.12,13 Μὴ τοῖς νεκροῖς ποιήσεις θαυ μάσια; η ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολο γήσονταί σοι; μὴ διηγήσεταί τις ἐν τῷ τά φῳ τὸ ε λεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ; Ετι μοι ζῶντι, φησὶ, τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σὴν δεῖξον θαυ ματουργίαν· ἀποθανὼν γὰρ ταύτην οὐκ ο ψο   μαι, οὐκ ε στιν ἰατρὸς ἀπαλλάξαι θάνατον δυνάμενος· η τὰς αἰτίας ἡμᾶς διδάσκει Χρισ τὸς τῆς εἰς τὸν θάνατον αὐτοῦ καθόδου, μο νονουχὶ λέγει ο τι ου τε ἐν νεκροῖς δυνατὸν, φησὶ, ποιήσασθαι θαυμάσια, ου τε ἰατροὺς ἀναστῆσαι, ι να ἐξομολογήσωνταί σοι, ου τε μὴν οἱ ἐν τῇ ἀπωλείᾳ δυνατοὶ η σαν γνῶναί σου τὴν ἀλήθειαν· τούτου χάριν, Πάτερ, καὶ τοῖς ἐν ᾳ δου καταλελόγισμαι, ι να ἀναστάν τες οἱ ἐν τῇ ἐπιλελησμένῃ γῇ, καὶ τῶν θαυ μασίων σου πεῖραν λάβοιεν, καὶ διηγήσων ται οἱ πάλαι ἐν τῷ σκότει τὴν ἀλήθειάν σου. ᾽Απώλειαν δέ φησι τὸ τῶν νεκρῶν χωρίον, διὰ τὸ ἀνέλπιστον τῆς ζωῆς. – Η τις τά φος κεκωνιαμένος καὶ μνημεῖον α δηλον ε χει λάρυγγα τάφου ἀνεῳγμένου, ἐν τούτῳ οὐκ ε σται, οὐκ ε σται διήγησις ἐλέου Θεοῦ· ο ταν ἐν τοῖς μυστηρίοις συναγώμεθα, ἀπολλυμέ νοις οὐ παραδοτέον τὴν ἀλήθειαν. –Γῆ ἐ πιλελησμένη ἐστὶν ἡ ψυχὴ λογικὴ, τῶν τοῦ ἁγίου Πνεύματος ἐστερημένη καρπῶν. – Ωσπερ ἐν τοῖς ἀπολολόσιν οὐκ ε στιν ἀλήθεια, ου τως ἐν τοῖς ἐσκοτισμένοις οὐκ ε στι θαυ μασία. Οὐ δυνατὸν, φησὶ, τοὺς εἰς κόνιν δια λυθέντας νεκροὺς, καὶ ἐν τῷ ζόφῳ τοῦ θα νάτου διάγοντας, καὶ λήθῃ παραδεδομένους, τῆς σῆς αι σθεσθαι φιλανθρωπίας, καὶ τῶν σῶν θεαμάτων θεατὰς καταστῆναι. 87.14 Κἀγὼ, Κύριε, πρὸς σὲ ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε. ᾽Απαλλαγῆναι τῶν ἐπικειμένων ποτνιῶ μαι, καὶ φθάνω τῇ δεήσει τὸν ο ρθρον. ῾Ο δὲ Σύμμαχος ου τως· ᾽Εμοῦ δὲ πρὸς σὲ, Κύριε, ἡ οἰμωγὴ, καὶ κατ' ο ρθρον προσευχή μου προφθάσει σε. – Διὰ ταῦτα, φησὶ, λείψα νον ε τι κἀγὼ τῶν ζώντων ὑπάρχων, ταχέως τυχεῖν σου τῆς φιλανθρωπίας παρακαλῶ· τὸ γὰρ πρωῒ ἐπὶ τοῦ τάχους λαμβάνει, η ο τι φθάνω τῇ δεήσει τὰ ἐλπιζόμενα. 87.15 Ινα τί, Κύριε, ἀπωθεῖς τὴν προ σευχήν μου. Εως ποτὲ, δέσποτα, ἐπιτείνεις μοι τὰ κα κὰ, καὶ τῆς εὐμενείας οὐ μεταδίδως; τὸ γὰρ μὴ τὰς ἱκεσίας τὰς ψυχικὰς προσίεσθαι τὸν Θεὸν, α πωσιν αὐτὴν καὶ ἀπόῤῥιψιν ὀνομάζει. 87.16 Πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου. Δι' ἡμᾶς γὰρ ἐπτώχευσεν, ι να ἡμεῖς τῆς ἐκείνου πτωχείας πλουτήσωμεν. 87.19 ᾽Εμάκρυνας ἀπ' ἐμοῦ φίλον, τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας. Ταλαιπωρίαν τοῦ πάθους τὸν καιρὸν κα τασημαίνει· λέγει ου ν ὡς παρὰ τὸ πάθος αὐτὸν καὶ οἱ φίλοι καὶ οἱ γνώριμοι ἐγκατέ λιπον. ᾽Επειδὴ γὰρ γεγονὼς ὑπήκοος τῷ Πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, ἐν δὲ τῷ σταυρῷ καταλέλειπται ὑπὸ τῶν μαθητῶν, τούτου χάριν τὸν Πατέρα αὐτοῦ μακρῦναι τοὺς φίλους καὶ τοὺς γνωρίμους λέγει. 88.2,3 Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶ να ᾳ σομαι, εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου, ο τι ει πας· Εἰς τὸν αἰῶνα ε λεος οἰκοδομηθήσε ται, ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλή θειά σου. Προφητεύει ὁ Σωτὴρ οἰκοδομὴν ἐλέου, ω σ περ ὑπὸ ἀρχιτέκτονος Θεοῦ, σοφῶς τῶν εὐερ γετουμένων ε λεον οἰκοδομοῦντος· ε σονται γὰρ τῶν εὐπεισομένων ἐλέου θεμέλιον, καὶ τὰ μετὰ τὸν θεμέλιον, καὶ ἐλέου πύλαι, καὶ οι κοι, καὶ θύραι, καὶ θυρίδες, καὶ κιόνες, καὶ στοαὶ, καὶ ναὸς ἀπ' ἐλέου, καὶ θυσιαστή ριον, καὶ καταπέτασμα, καὶ πόλις. Καὶ ἐπὶ γῆς μὲν οὐ πᾶς α νθρωπος ῥύστης, καὶ οὐκ ε στι καθαρὰ ἀλήθεια· ἀλλὰ δι' ἐσόπτρου ἀλήθεια, καὶ ἐν αἰνίγματι· ἐν οὐρανοῖς καὶ ω ν ἐστιν ἡ βασιλεία, ἑτοιμάζεται αὐτὴ, ι να οἱ τὸ εἰκῇ πολίτευμα ε χοντες ἐν οὐρανοῖς, αὐτὴν θεάσωνται, φορέσαντες τὴν εἰκόνα τοῦ ἐπουρανίου· ἐπείπερ ἐπὶ γῆς βλέπομεν δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι, διὸ καὶ ει τις δοκεῖ ἐγνωκέναι, ου πως ε γνωκε ὡς δεῖ γνῶ ναι· διὰ τοῦτο ἐν τοῖς οὐρανοῖς ἑτοιμασθή σεται ἡ ἀλήθεια τοῦ Θεοῦ. ᾽Ελέη τοῦ Θεοῦ καλεῖ τὴν τῷ Δαυὶδ δο θεῖσαν ἐπαγγελίαν, ὡς ἐκ φιλανθρωπίας πα ρέσχεται· ᾳ σομαι ου ν, ἀντὶ τοῦ μιμνήσομαι ταύτης διηνεκῶς, τοῦτο γὰρ εἰς γενεὰν καὶ γενεάν· οὐχ ε να ε λεον, τὸν αἰῶνα ἐσόμενον, ἀλλὰ πολλοὺς τοὺς καὶ μετὰ τὸν αἰῶνα δο θησομένους· ᾳ σεται ὁ σωτὴρ εἰς τὸν αἰῶνα, εἰς τὰς δύο γενεὰς, τοὺς ἐξ ἐθνῶν καὶ τοὺς ἐκ περιτομῆς, ἀπαγγέλλει ὁ σωτὴρ τὴν ἀλή θειαν τοῦ Θεοῦ, ἐν σώματι γενόμενος, διὰ τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στόματος αὐτοῦ. Εἰπὼν δὲ ο τι μνησθήσομαι τῆς ἐπαγγελίας, ἐπάγει καὶ αὐτοῦ τὰ ῥή ματα· δυσώπει γὰρ τὸν δεσπότην α ει πεν ὁ Θεός. Εἰς οἰκτιρμὸν τὰ αὐτοῦ ῥήματα προσ φερόμενα, ἐπιφέρουσι γοῦν· Οτι ει πας· εἰς τὸν αἰῶνα ε λεος οἰκοδο μηθήσεται. –῾Υπέσχου, λέγει, τὴν τοιαύ την φιλανθρωπίαν οἰκοδομεῖν εἰς τὸν αἰῶνα. Καὶ καλῶς οἰκοδομίαν ει πε τὴν κατὰ μι κρὸν τῆς ἐπαγγελίας αυ ξησιν. Ηρξατο γὰρ ἐξ ἑνὸς τοῦ ῾Αβραὰμ, καὶ διέβη εἰς τὸν ᾿Ισραηλιτικὸν λαὸν, ἐκ τούτου εἰς πᾶσαν τὴν οἰκουμένην. Ην γὰρ τοῦ Θεοῦ ἐπαγγελία πρὸς τὸν Δαυὶδ, φυλάξαι τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα, ο ς ἐστι Χριστός. ῾Η δὲ ε΄ ε κδοσις ει πα ε χει, ὡς ἐκ προσώ που τοῦ προφήτου λεγομένου τοῦ Χριστοῦ. Η τὸ οἰκοδομηθήσεται, ἀντὶ τοῦ ἐγερθή σεται· ἀνίσταται γάρ πως τὸ οἰκοδομούμε νον· τοῦτο δέ ἐστιν ἡ διὰ Χριστοῦ χάρις. ᾿Επεὶ δὲ ε τοιμον ἀεὶ τὸ ἑδραῖον σημαίνει καὶ τὸ βέβαιον, βούλεται εἰπεῖν ο τι ἡ τοιαύτη σου ἐπαγγελία η δρασται, καὶ τὸ βέβαιον ε χει ἐν τοῖς οὐρανοῖς, ω στε αὐτὴν μηδὲν ἐπίγειον παραγίνεσθαι πρᾶγμα. ῾Ο δὲ Σύμμαχος· ἑ δραιωθήσεται. 88.4,5 Διεθέμην διαθήκην τοῖς ἐκλεκ τοῖς μου, ω μοσα Δαυὶδ τῷ δούλῳ μου· Εως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰ κοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρό νον σου. Τῷ ει πας καὶ τοῦτο συνῆπται, ο τι ταύτας πρὸς τοὺς ἐκλεκτοὺς ἐποιησάμην τὰς συνθή κας· ἐκλεκτοὺς δὲ καλεῖ ῾Αβραὰμ, ᾿Ισαὰκ καὶ ᾿Ιακώβ. Πρὸς δὲ τούτοις ε φη ὡμωμοκέ ναι καὶ τῷ Δαυὶδ, ἀνώλεθρον αὐτοῦ φυλάξαι τὸ σπέρμα, καὶ ἐν πάσῃ γενεᾷ τὸν τούτου θρόνον ἀνθήσειν. Ταῦτα δὲ οὐκ εἰς αὐτὸν τὸν Δαυὶδ νοεῖται. Πῶς γάρ; ἀλλ' εἰς Χρισ τὸν τὸν ἐξ αὐτοῦ καταγόμενον, καὶ διηνε κὲς ζῶντα καὶ βασιλεύοντα. Καὶ ποῦ ω μο σεν η ἐν τῷ εἰπεῖν πρὸς αὐτόν· Καὶ ε σται, ο ταν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμη θῇς μετὰ τῶν πατέρων σου, ἀναστήσεται ἐκ τοῦ σπέρματός σου α λλος, ο ς ε σται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω εἰς τὸν αἰῶνα τὴν βασιλείαν αὐτοῦ. Αὐτὸς οἰκοδομήσει οι κον τῷ ὀνόματί μου, καὶ ἀνορθώσω τὴν βασιλείαν αὐτοῦ εἰς τὸν αἰῶνα. ᾿Εγὼ ε σομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ε σται μοι εἰς υἱόν. Οὐ τοῖς κλητοῖς, ἀλλὰ τοῖς ἐκλεκτοῖς ὁ θρόνος τοῦ Δαυὶδ, τουτέστι τοῦ Χριστοῦ ἡ βασιλεία οἰκοδομεῖται εἰς γενεὰν, τοῖς ἐκ πε ριτομῆς, καὶ γενεὰν, τοῖς ἐξ ἐθνῶν. ῾Ως οἰ κία οἰκοδομεῖται, ου τως ὁ θρόνος τοῦ Δαυὶδ, η ὡς ᾠκοδόμητο ὁ Θεὸς τὴν πλευρὰν η ν ε λαβεν ἀπὸ τοῦ ᾿Αδὰμ εἰς γυναῖκα, ου τως φησὶ καὶ τό· Οἰκοδομήσω εἰς γενεὰν καὶ γε νεὰν θρόνον σου. Εἰ θρόνος ἐστὶ τοῦ Χρισ τοῦ φύσις λογική (ταύτην δὲ πεποίηκεν ὁ Θεὸς), καλῶς λέγεται Χριστὸς κεκαθικέναι ἐπὶ θρόνου Δαυὶδ τοῦ πατρὸς αὐτοῦ. Τὸ δὲ γινώσκεσθαι τὸν Χριστὸν ὑπὸ τοῦ πεφυκότος γινώσκειν αὐτὸν, καθέδραν ὀνομάζει ἡ θεία γραφή. 88.6 ᾿Εξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε, καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων. Σὲ γὰρ προσήκει παρὰ πάντων ὑμνεῖσθαι, οὐχ η κιστα δὲ παρὰ τῶν τὸν οὐρανὸν οἰκούν των, ἀκριβέστερον ἐπισταμένων τὰ σὰ θαυ μάσια. Η ου τως τοῦτό φησι διὰ τοὺς λέγον τας· ᾿Ετέχθη ὑμῖν Χριστὸς Κύριος ἐν πόλει Δαυὶδ, καὶ ο τι γεννηθέντος τοῦ Χριστοῦ, ποιμέσι τοὺς ἀγγέλους εὐαγγέλισθαι, καὶ ἑ τέρους δὲ ἐπουρανίους στρατιὰς ὀφθῆναι λεγόντων· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. Καὶ γὰρ γέγονεν α νθρωπος, φη σὶν, ὁ μονογενὴς, καὶ καθῆκεν ἑαυτὸν εἰς ἑκούσιον κένωσιν, καὶ ε λαβε τὴν τοῦ δούλου μορφήν· ἀλλὰ καὶ ου τός ἐστιν ἀσύγκριτος. ᾿Εν τῷ ιη΄ ψαλμῷ, οἱ οὐρανοὶ διηγοῦνται· νῦν δέ φησιν· ᾿Εξομολογήσονται οἱ οὐρα νοί. Τῶν γὰρ αὐτῶν ἐστι τὸ ἐξομολογεῖσθαι καὶ διηγεῖσθαι τὰ θαυμάσια Κυρίου. ᾿Εξο μολογοῦνται δὲ καὶ εὐχαριστοῦσιν ἐν τῇ ἐκ κλησίᾳ τῶν ἁγίων οἱ οὐρανοί. – Η ου τως ἀντὶ τοῦ ὑπὲρ ταύτης τῆς ἐπαγγελίας καὶ τῆς φιλανθρωπίας εὐχαριστοῦσι καὶ οἱ οὐ ρανοὶ, διὰ γὰρ τῶν οὐρανῶν τὰς οὐρανίους αἰνίττεται δυνάμεις. 88.7,8 Οτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; καὶ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ; ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βου λῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περὶ κύκλῳ αὐτοῦ. Σαφέστερον τὸ κατὰ τὸν Χριστὸν αἰνίττε ται, δι' ω ν συγκρίνει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὲν αὐτὸν τοῖς υἱοῖς τοῦ Θεοῦ, ὑπερτίθησι δὲ πάλιν αὐτῶν καθ' ο σον αἱ νεφέλαι τῆς γῆς ὑψηλοτέραι· οὐχ ο τι κα τὰ τοσοῦτον διαφέρει αὐτοῖς, ἀλλ' ο τι οὐκ ει χεν α λλο μεῖζον ὑπόδειγμα εἰπεῖν. Νεφέ λαι γὰρ τοὺς οὐρανίους λέγει τόπους, ἀπὸ μέρους τὸ πᾶν ὀνομάζων. Καὶ τοῦτο δὲ ἐπι σημαντέον, ὡσεί που αἰνίττεται τὰ κατὰ Χριστὸν, καὶ ἐκκλησίας μνημονεύει, ὡς ἐν τοῖς ἀπὸ βάρεων ἐλεφαντίνων, ἀντὶ τοῦ οι κων λαμπρῶν α γαν καὶ ἐνδόξων. Εἰ γὰρ μὴ παρὰ τοῦ Υἱοῦ η ν, ει πεν α ν ὡς καὶ ἀλλαχοῦ· Τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν θεοῖς; Καὶ γὰρ σαρκωθεὶς καὶ δούλου μορφὴν ὑποδὺς, ἀσύγκριτος η ν. – Η ου τως, ο τι καὶ τῶν ἐπουρανίων καὶ ἐπιγείων ὑπέρκειται, καὶ παρὰ τῶν ἀσυγκρίτων ὑπέρτερος ει , καὶ οὐ δείς σοι τῶν ο ντων παραβληθῆναι δυνήσε ται. –᾿Αλλὰ καὶ ου τός ἐστιν ἀσύγκριτος ὑπὲρ πάσας τὰς οὐρανίους. Αἱ μὲν γὰρ οἰ κετικὸν ε χουσι τάγμα, ὁ δὲ δεσπότης τῶν ο λων ἐστὶ Κύριος. ᾿Αλλ' οὐδὲ ἐν υἱοῖς Θεοῦ ἐστί τις ο μοιος αὐτῷ, ο τι φασίν· ᾿Εκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντα ἐλάβομεν. Οὐκοῦν ὡς Θεὸς ἐξ ἰδίου πληρώματος, οἱ δὲ πλουτοῦσι παρ' αὐτῷ; – Εστι καὶ ὁ Χρισ τὸς ἐν ταῖς νεφέλαις, τοῖς προφήταις καὶ ἀγγέλοις, ἀλλ' οὐκ ἰσοῦνται ου τοι τῷ Κυρίῳ, κα ν αυ ξησιν σπούδοντες ἐπὶ τὴν ἰσότητα αὐ τοῦ· οὐ μόνον ου ν οὐκ ἰσωθήσεταί τις τῶν ἀγγέλων τῷ Κυρίῳ, ἀλλ' οὐδὲ ὁμοιωθήσεται. – Η τὸ τίς ἐπαπορητικῶς ει ρηται, τασσό μενον ἐπὶ τοῦ σπανίου. Ει τα ἐχόμενος τῆς συγκρίσεως, λέγει·᾿Εν βουλῇ τῶν ἁγίων. Βουλὴν τὴν συναγωγὴν λέγει· τὴν συλλογὴν αἰνίττεται ου ν, ο τι με τὰ πάντων τῶν ἁγίων φαινομένων ὑπεραίρει τῇ δόξῃ, ὡς καὶ φοβερὸς ει ναι τῷ κύκλῳ αὐ τοῦ, καὶ φοβερός ἐστι τοῖς τῶν ἐντολῶν αὐ τοῦ παρακούουσι. Καλῶς δὲ ἀποστροφῇ χρῆται, ι να τὴν ἀλήθειαν τοῦ λεγομένου μη νύσῃ· ἐπιφέρει γὰρ ὡς πρὸς αὐτὸν διαλεγό μενος· 88.9 Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, τίς ο μοιός σοι; δυνατὸς ει , Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου. ῾Η μὲν ἀλήθεια, ὁ Χριστὸς κύκλῳ τοῦ Πατρός· οἱ δὲ ἐν Χριστῷ, περὶ κύκλῳ αὐ τοῦ, ἐφ' ου μέγας ἐστι τοῖς καθαρᾷ καρδίᾳ βλέπουσιν αὐτὸν, καὶ φοβερὸς κατὰ πλητ τομένους αὐτὸν, καὶ μὴ χωροῦντας αὐτῷ ἐ νορᾷν. –Οὐδεμία λογικὴ φύσις ὁμοία ἐστι τῷ Χριστῷ· ἡ μὲν γὰρ τῶν γεγονότων θεω ρίαν γινώσκει· ὁ δὲ καὶ αὐτὸν ἐπίσταται τὸν τὰ πάντα ποιήσαντα· ου ὁ Χριστὸς κυκλοῖ τὴν γνῶσιν, τὴν τοῦ Πατρὸς, ἀλλ' αὐτὴ κυκ λοῖ τὸν Χριστόν· πολλὴν δὲ ἐν τούτῳ τῷ ῥη τῷ καὶ βαθυτάτην θεωρίαν ἀποκεῖσθαι νο μίζω, η ν ὁ ἐξαπλῶσαι βουλόμενος, παρελεύ σεται τοὺς τῶν σχολίων κανόνας. 88.11 Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον, καὶ ἐν τῷ βραχίονι τῆς δυνά μεως διεσκόρπισας τοὺς ἐχθρούς σου. Αἰνίττεται ου ν, ὡς δυνατοῦ ο ντος αὐτοῦ τὰ τῶν πολεμίων ὑπερηφανίας καταστέλ λειν. 88.13 Τὸν Βοῤῥᾶν καὶ θάλασσαν σὺ ε κτι σας, Θαβὼρ καὶ ῾Ερμωνιεὶμ τῷ ὀνόματί σου ἀγαλλιάσονται. ῾Ο᾿Ακύλας· Βοῤῥᾶν καὶ δεξιάν.῾Η ε΄ εκδοσις· Βοῤῥᾶν, νότον. Δοκεῖ δὲ διὰ τῶν δύο α κρων τὸν α παντα κόσμον τῆς οἰκουμένης δηλοῦν· ἀπὸ γὰρ τοῦ εἰπεῖν τὸν Βοῤῥᾶν καὶ μεσημβρίαν, σημαίνει πάντα τὰ κλίματα· καὶ διὰ μὲν τοῦ Βοῤῥᾶ τὰ ἀρίστερα μέρη· διὰ δὲ τὴν θάλασσαν τὰ τῆς ἑσπέρας (θά λασσαν γὰρ ἡ γραφὴ τὴν ἑσπέραν καλεῖ) διὰ δὲ τοῦ ῾Ερμωνιεὶμ, τὸν νότον· καὶ διὰ τοῦ Θαβὼρ, τὴν ἀνατολήν· Θαβὼρ καὶ ῾Ερ μὼν ο ρη εἰσὶν ἐν Παλαιστίνῃ.῾Ο δεσπόζων, ε φη, πάντων τῶν κλιμάτων, ευ φρανον τὰ ο ρη ταῦτα τῇ ἐπικλήσει σου, ἐπαγαγὼν ἡμᾶς ἐν αὐτοῖς οἰκοῦντας. –Διὰ τούτων πᾶσαν τὴν γῆν τῆς ἐπαγγελίας ἐδήλωσεν· ταῦτα γὰρ ἐ κείνης εἰσιν ο ρη τῆς γῆς. Οὐ μὴν τὰ ο ρη τοῦ το δράσειν ει ρηκεν, ἀλλὰ τοὺς παρὰ τὰ ο ρη κατοικοῦντας ἀνθρώπους, τοὺς ἐναντιουμέ νους ᾿Ιουδαίους καὶ τὸν κόσμον σὺ πάλιν ἐνε καίνισας. –Αὐτὸς γάρ ἐστιν ὁ ἐπιτιμῶν τῷ ἀνέμῳ καὶ τῇ θαλάσσῃ, καὶ ποιῶν γαλήνην μεγάλην, ι να φθάσαντες οἱ ἐμπλέοντες ἀπελ θεῖν δύνωνται εἰς τὴν γῆν, ἐφ' η ν σπεύδου σιν. Τὸν Βοῤῥᾶν ι στησιν ὁ νότος, τουτέστιν ἐν τῷ πνεύματι ζέων τὸ ἐν κακίᾳ ψυχρόν· ἑαυτῷ δὲ ποιεῖ νοῦς Βοῤῥᾶν καὶ αὐτὴν ψυ χὴν ποιεῖ θάλασσαν· οὐχὶ ου ν Βοῤῥᾶς, οὐδὲ [θάλασσα] καθὸ θάλασσα ἐκτίσθησαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπὸ Θεοῦ, ἀλλὰ κατὰ φύσεως εἰσὶ λογικά; –Διὰ δὲ τοῦ Θεοδοτίονος, πάλιν τὴν ἀνατολὴν [ἐν τῷ Θαβὼρ νόει]. Εστι δὲ ο ρος τῆς φυλῆς ᾿Ισσάχαρ καὶ φυλῆς Νεφθαλεὶμ, ο ριον Ζα βουλών· κεῖται δὲ ἐν τῷ μεγάλῳ πεδίῳ πρὸς ἀνατολὰς τῆς Λεγεῶνος, ο καὶ ᾿Εθαβύριον καλοῦσιν. Θαβὼρ δέ ἐστι τὸ ο ρος τῆς Γαλι λαίας, ἐφ' ου μετεμορφώθη ὁ Χριστός.῾Ερ μωνιεὶμ δέ ἐστιν ο ρος ἐφ' ου κεῖται ἡ πό λις Ναΐν, ἐν ῃ η γειρε τὸν τῆς χήρας υἱὸν ὁ Θεός. 88.14 Σὸς ὁ βραχίων μετὰ δυναστείας, κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου. Σὸς ὁ βραχίων, τουτέστι τὸ δυνατὸν α παντα ἐνεργεῖν· τὸν γὰρ βραχίονα ἐπὶ τῆς ἐνεργείας τῆς δυναστείας, ἐπὶ τῆς δυνάμεως ε λαβεν. Κραταιωθήτω ει πεν, οὐχ ι να λάβοι κράτος λέγει, ει χε γὰρ, ἀλλ' ι να φανερωθῇ πέρας τοῦ μυστηρίου τοῦ δύναμιν λαμβάνον τος, ο πως αὐτὸς ὑπέσχετο· Οταν ὑψωθῶ, λέγει, πάντα ἑλκύσω πρὸς ἐμαυτόν. 88.15 Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου, ε λεος καὶ ἀλήθεια προπο ρεύσονται πρὸ προσώπου σου. Ο αἰνίττεται, τοῦτό ἐστι, διὰ μὲν τῆς δικαιοσύνης καὶ τοῦ κρίματος τὸν δικαστι κὸν κεκοσμῆσθαι θρόνον· διὰ δὲ τοῦ ἐλέου καὶ τῆς ἀληθείας τοῦ Θεοῦ προοδεύειν, ὡς πρὸ πολλῶν γενεῶν τῆς ὑποσχέσεως γενομέ νης, η θρόνον πάντως τοῦ μέλλοντος, διό περ ἑτοιμασίαν ἐμνημόνευσεν· ἐντεῦθεν γὰρ ἀφ' ω ν ἡμεῖς βιοῦμεν, δικαιοσύνην καὶ κρίμα ἑτοιμάζει ἑαυτοῦ ὁ κριτὴς πρὸς τὴν ἑκάσ του κρίσιν ω δέ που μέλλουσαν· ἐπεὶ δικαιο σύνη ἑτοιμασία ἐστι τοῦ θρόνου τοῦ Θεοῦ, τὸ κατ' ἀξίαν ἑκάστου ἀπολήψεται, καὶ ἐπεὶ κρίμα οὐδὲν ἀκρίτως ε σται, κρίματα δὲ α βυσσος πολλὴ, ο τε τις προφθάσει τοῦ ἐλεεῖν παρανόμῳ, οὐ σύνεστι τῶν ἐλέων ἀλήθεια, διὰ οὐδὲ κυρίως ε λεος ὁ τοιοῦτος. –Δύνα ται δὲ ἐντεῦθεν ἡ τῶν ἀρετῶν ἀκολουθία δείκνυσθαι ἀντιστρεφόντως ἀλλήλοις, τοῦ τε ἐκλεκτικοῦ καὶ τοῦ ἀληθοῦς, τοῦτε δι καίου καὶ εἰρηνικοῦ.῾Η δὲ συζυγία καὶ ἐν τῷ· Τὸ ε λεός σου καὶ ἡ ἀλήθειά σου διὰ παν τὸς, καὶ ἐν τῷ·᾿Εξαπόστειλον τὸ φῶς σου καὶ ἀλήθειάν σου. –Τὸ α γιον ε λεος τὴν τοῦ Θεοῦ γνῶσιν σημαίνει, μᾶλλον δὲ τὴν οὐ σιώδη γνῶσιν δηλοῖ. 88.16 Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλα λαγμόν. Μακαρίζει ὁ λόγος τοὺς ἐν νίκαις ο ντας ἀεί.᾿Αλαλαγμὸς γὰρ φωνή ἐστιν ἐπινίκιος. Τοῦτο δέ φησιν· ἐπεὶ αὐτοὶ ᾐττηθέντες ἀν δραποδίσθησαν. 88.18 Οτι τὸ καύχημα τῆς δυνάμεως αὐτῶν ει σὺ, καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθή σεται τὸ κέρας ἡμῶν. Καύχημα τῆς δυνάμεως τῶν λεγόντων· Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χρι στῷ ᾿Ιησοῦ. Διὸ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχυΐ αὐτοῦ, φθάνει μὲν γνῶσις ἀλα λαγμοῦ ἐπὶ λαὸν ο λον, οὐκέτι δὲ καὶ τὰ πολλὰ τῶν μακαριζομένων, ὁποῖόν ἐστι καὶ ἡ τῆς καρδίας καθαρότης. ᾿Αγαπητὸν γὰρ, εἰ καὶ ὀλίγοι τοιοῦτοι εὑρεθήσονται· πλὴν ἀλλ' ἐκλεκτέον, ει ποτε καὶ ἐπ' α λλοις· λά βετε μακαρίζεσθαι, ει ρηται. Ορα δὲ ο σα τῷ μακαριζομένῳ ἐστὶ λαῷ τοῦ Θεοῦ· ἐν τῷ φωτὶ τοῦ προσώπου τοῦ Θεοῦ πορεύσονται, ὡς νῦν ἐν τῷ φωτὶ ἡλίου, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἀγαλλιάσονται ο λην τὴν ἡμέραν ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ ἐν τῇ δικαιοσύνῃ αὐτοῦ ὑψωθήσονται. –Κέ ρας τὸν νοῦν ὀνομάζει· ὑψοῦται δὲ νοῦς διὰ γνώσεως Θεοῦ. 88.20 Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου, καὶ ει πας· ἐθέμην βοήθειαν ἐπὶ δυνατόν. Παρ' ἡμῖν δὲ ὁ λαλῶν ἐν ἀκοῇ, λαλεῖ ἐ κείνῳ πρὸς ο ν ὁ λόγος· ὁ δὲ Θεὸς ἐν ὁράσει τοῖς υἱοῖς τοῖς ἑαυτοῦ λαλεῖ· διὸ πᾶς ὁ λαὸς ἑώρα τὴν φωνήν· τίθεται ου ν ὁ Θεὸς βοή θειαν ἐπὶ δυνατὸν, μᾶλλον η [ἐπὶ] ἀσθενῆ, ο τι καὶ, ει τις τέλειος [ει η] ἐπὶ υἱοῖς ἀνθρώ πων τῆς ἀπὸ τοῦ Θεοῦ σοφίας, ου τος, καὶ δυνάμεως ἀπούσης, εἰς οὐδὲν λογισθήσεται. Καὶ πάλιν·᾿Εὰν μὴ Κύριος οἰκοδομήσῃ πόλιν, εἰς μάταιον ἐπιπονοῦσι οἱ οἰκοδομοῦντες αὐτήν. 88.23 Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐ τόν. Εἰ ο ταν ἁμαρτάνωμεν, τοὺς ἐχθροὺς ἡμῶν ὠφελοῦμεν, ὁ Χριστὸς δὲ οὐχ η μαρτον, διὰ τοῦτο α ρα τοὺς ἐχθροὺς αὐτοῦ οὐκ ὠφελήσει οὐδὲν, εἰ καὶ εἰρήκασι· Δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ σχῶμεν αὐτοὶ κληρονομίαν αὐ τοῦ. ᾿Αλλ' η ν ἀνανόητος ἡ τοῦ Σατανᾶ καὶ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

᾿Ιουδαίων σκέψις, καὶ εἰς α πρακτον ἐκ βέβηκεν αὐτοῖς τὸ ἐγχείρημα· ἀνεβιῶν γὰρ ὁ σωτὴρ τριήμερος, πατήσας τὸν θάνατον, καὶ ἐσκύλευσεν τὸν ᾳ δη. 88.25 Καὶ τὸ ε λεός μου μετ' αὐτοῦ, καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ. Τὸ ε λεός μου μετ' αὐτοῦ, ι να κατὰ τὸ θέλημά μου ἐλεῇ. 88.26 Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ. Δώσω δὲ αὐτῷ κατὰ θάλασσαν καὶ κατ' η πειρον κράτος· διὰ γὰρ τῶν ποταμῶν τὴν η πειρον παρεδήλωσεν. – Η περὶ τοῦ Εὐ φράτου λέγει ποταμοῦ. Ταῦτα γὰρ κατὰ καιροὺς φαίνονται οἰκήσαντες τὰ μέρη δια φόρως ᾿Ισραηλῖται. Η θάλασσαν, ὡς προειρήκαμεν, τὴν ἐν δυσμαῖς χώραν φησι, πο ταμὸν καὶ τὴν μέσην τῶν ποταμῶν, η τοι τὴν ἀνατολήν· φησὶν ου ν ο τι εἰς πᾶσαν τὴν οἰ κουμένην ἡ δι' αὐτοῦ παρουσία ἐκτεθήσεται. –Τὴν μὲν ἑτέραν παρὰ τὴν δεξιὰν χεῖρα ἐν θαλάσσῃ, τὴν δὲ δεξιὰν ἐν ποταμοῖς· ποτα μοὺς δὲ λέγει περὶ ω ν ει ρηται· Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσονται υ δατος ἄλλο μένου εἰς ζωὴν αἰώνιον. 88.34 Τὸ δὲ ε λεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτοῦ, οὐδὲ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου. ᾿Αδικεῖ τὴν κληρονομίαν ὁ ἁρπάζων τοὺς κληρονόμους, καὶ ἁρπάζει τὴν γνῶσιν ὁ ποι ῶν ἀκαθάρτους τοὺς πεφυκότας γινώσκειν αὐτήν. Ταῦτα δὲ πάντα ὁ Κύριος εἰς ἑαυτὸν ἀναδέχεται, ἐκ τῆς πρὸς ἡμᾶς κοινωνίας τὰ ἡμέτερα πάθη ἀναδεχόμενος· αὐτὸς γὰρ τὰς ἀσθενείας ἡμῶν η ρεν, καὶ τὰς νόσους ἐ βάστασεν. 88.36 Απαξ ω μοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυὶδ ψεύσομαι. Ορκος τοῦ Θεοῦ ἡ παρ' αὐτοῦ ὑπόσχεσις, ἀπαράβατος λέγεται, ὡς καὶ τό· Ωμοσα ἐν τῇ ὀργῇ μου. 88.40 ᾿Εβεβήλωσας εἰς γῆν τὸ ἁγίασμα αὐτοῦ. ῾Αγίασμα τοῦ Θεοῦ αἱ λογικαὶ ψυχαί. 88.43 Υψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν. Μόνος ἐν τῇ γνώσει τοῦ Πατρὸς ὑψοῦται Χριστός. 88.45 Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτόν. Ελυσας τὰ πικρὰ τῆς δουλείας δεσμὰ, καὶ τὴν ἐλευθερίαν ἐδωρήσω τοῖς αἰχμαλώ τοις, τὰ πεπλημμελημένα παριδεῖν ἐθέλη σας. Οτι δὲ καὶ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις αἰχμάλωτος η ν, καὶ παρὰ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν τὴν ἐλευθερίαν ἐδείξατο, μάρτυς αὐτὸς ὁ διὰ ῾Ησαίου βοῶν· Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, ου ει νεκεν ε χρισέ με, καὶ τὰ ἑξῆς. Ταύτην γὰρ ἐν τῇ συναγωγῇ τὴν προ φητείαν ἀναγνοὺς ὁ δεσπότης, ε φη πρὸς ᾿Ιουδαίους· Σήμερον ἡ γραφὴ αὐτὴ πεπλή ρωται ἐν τοῖς ω σιν ὑμῶν· ε λυσας τὴν καθ' ἡ μῶν ἀγανάκτησιν, καὶ τὰς εὐμενείας ἐδίδα ξας. ᾿Εντεῦθεν ἱκεσίαν ἀναπέμπει ἐκ προσώ που τοῦ λαοῦ τῶν ᾿Ιουδαίων, ἀξιούντων καὶ αὐτοὺς τυχεῖν τῆς χάριτος. ᾿Εοίκασι καὶ ου τοι κἀκεῖνοι τὰ μὲν εὐαγγέλια τῆς ἐλευθε ρίας δεδέχθαι· μηδέπω δὲ ταύτης τετυχη κέναι· ου δὴ χάριν ἀντιβολοῦσι τελείως τυ χεῖν τῆς φιλανθρωπίας, ο τι ι σμεν σου, δέσ ποτα, τὸ φιλάνθρωπον· ἐπεποίθαμεν ο τι σὺ καὶ τὴν ἐπάνοδον παρέξεις, καὶ τὴν ζωήν· ἡμεῖς δὲ τούτων ἀπολαύσαντες, κατ' εὐδρο σύνην σοι τὸν υ μνον προσοίσομεν. 88.46 ᾿Εσμίκρυνας τὰς ἡμέρας τοῦ χρό νου αὐτοῦ. Δεῖ πρότερον ἡμᾶς γενέσθαι ὡς τὰς ἡμέ ρας τοῦ οὐρανοῦ, τουτέστιν ὁμοίους ταῖς ἁ γίαις δυνάμεσιν, ε πειτα δὲ καὶ αὐτῷ παρεμ φέρειν τῷ τῆς δικαιοσύνης ἡλίῳ. Δεῖ γὰρ πάντως τὴν εὐχὴν τοῦ δεσπότου πληρῶσαι· ᾿Ιησοῦς γάρ ἐστιν ὁ προσευξάμενος· Δὸς αὐ τοῖς, φησὶν, ι να καὶ αὐτοὶ ἐν ἡμῖν ε ν ω σι, καθὼς καὶ ε ν ἐσμεν. Ου τω γὰρ ἐσόμεθα, μὴ αυ ξησιν καὶ μείωσιν κατὰ τὴν γνῶσιν λαμ βάνοντες. 88.51-53 Μνήσθητι, Κύριε, τοῦ ὀνειδισ μοῦ τῶν δούλων σου, ου ὑπέσχου ἐν τῷ κόλ πῳ μου πολλῶν ἐθνῶν. Ου ὠνείδισαν οἱ ἐχ θροί σου, Κύριε, ου ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα. Γένοιτο! Γένοιτο! Κόλπον, τὸ ἀκόρεστον ει πομεν σημαίνειν πολλάκις. Τοῦτο ου ν λέγει· πολλῶν εἰμι, φησὶν, ὀνειδισμῶν ὑποδοχεὺς, καὶ τοσούτων ἀναποβλήτων, σχεδὸν ἡνουμένων, παρὰ τῶν ἐχθρῶν, μνησθεὶς ου ν τούτων, καὶ ο τι τὸ ἀν τάλλαγμα τοῦ Χριστοῦ σου ὠνείδισαν, η τοι τὰ ι χνη· ου τως γὰρ ὁ Σύμμαχος καὶ ὁ Θεο δοτίων ἡρμήνευσαν, ο τι ι χνη τοῦ Χριστοῦ σου τυγχάνουσιν οἱ νῦν βασιλεῖς. Καὶ ο τι ἀν τάλλαγμα, παῦσον η δη,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δέσπωτα, τὰ ὀνεί δη, ἀντάλλαγμα, [η τοι] τὴν μεταβολὴν τοῦ Χριστοῦ σου, η τοῦ Δαυὶδ, καθὸ ἡ ἀρχὴ με τεβλήθη εἰς δοῦλον· τοῦτο ἡμῖν ὠνειδίζον εἰς σὲ καὶ τὸν ἐπαγγελλόμενον ταῦτα τείνει. – Ει η δ' α ν ἀντάλλαγμα Χριστοῦ ὁ κυριακὸς α ν θρωπος καὶ τὸ δοθὲν αὐτοῦ αι μα ἀντίλυτρον τῆς τοῦ κόσμου σωτηρίας. Ει η δ' α ν ταῦτα εἰ πόντες, εὐχῇ τὴν δέησιν ἐπισφραγίζουσι, δει κνύντες ὡς καὶ ἐν πειρασμοῖς δοξάζειν χρὴ τὸν Θεὸν, οὐ δυσχεραίνειν, ἀλλ' εὐχαριστεῖν. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα. Γένοιτο, γένοιτο! – Η ου τως· ἐν τοῖς κόλποις τὰ δῶρα, ο ταν προφέρωσί τινα, μνησθῆναι δὴ παρακαλοῦσι Θεὸν τῆς ὑποσχέσεως, τῆς δο θείσης ἐν τοῖς κόλποις τῶν ἐθνῶν. – Η κόλπον ἐνταῦθα τὴν ψυχὴν λέγει, διά τε καὶ τὴν γνῶσιν τὴν τοῦ Θεοῦ ἀγαθὰ ὀνομάζεσ θαι· ἀγαθὰ δὲ τὰ ἐν κόλποις πέφυκε βάλ λεσθαι· πιστεύω γὰρ, φησὶ, τοῦ ἰδεῖν τὰ ἀ γαθὰ Κυρίου ἐν γῇ ζώντων. 89.3 Μὴ ἀποστρέψῃς α νθρωπον εἰς τα πείνωσιν. Τότε ἀποστρέφεσθαι α νθρωπόν φησιν εἰς ταπείνωσιν, ο ταν διὰ τῆς ἁμαρτίας ἐγκατε λίπῃ αὐτόν. 89.4 Οτι χίλια ε τη ἐν ὀφθαλμοῖς σου ὡς ἡμέρα ἡ ἐχθὲς, η τις διῆλθεν. Οὐ περὶ τὴν γνῶσιν, ου τε περὶ τὸ γινώσ κειν θεωρεῖται ὁ χρόνος· καιρὸς γὰρ καὶ ἡ μέρα καὶ χρόνος τῆς σωματικῆς ἐστι φύ σεως· σωμάτων δὲ δημιουργός ἐστιν ὁ Κύ ριος ἡμῶν Ἰησοῦς Χριστός. 89.6 Τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι. Πρωῒ μὲν τὸν καιρὸν τῆς γενομένης αὐ τοῖς ἐπιφανείας τοῦ Χριστοῦ ἐν τῷ ο ρει Σι νᾷ κατασημαίνει· χλόη δὲ τὴν νομικὴν λα τρείαν δηλοῖ, α τε μικρὸν υ στερον περαίνεσ θαι μέλλουσαν. 89.9 Οτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλι πον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν· τὰ ε τη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων. Οταν πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐκλίπωσαν, καὶ ἐν τῇ ὀργῇ τοῦ Θεοῦ ἐκλίπωμεν. –Καὶ ἐφ' οι ς ἡμάρτωμεν, μελετήσωμεν τὰ ε τη ἡ μῶν, ὡσεὶ ἀράχνη. Οὐδὲν βέβαιον, φησὶν, οὐ δὲ σταθερὸν ἡ ἀνθρωπεία φύσις ε χει, ο τι δί κην ἀράχνης διασπᾶται ῥᾳδίως. 89.10 Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν ἐνιαυ τοῖς ἑβδομήκοντα ε τη· ἐὰν δὲ ἐν δυναστεί αις ὀγδοήκοντα ε τη καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος. Ζήσωμεν οὐχ ἑβδομήκοντα ε τη, τὰ τοῦ σαββάτου, ἀλλὰ ὀγδοήκοντα, τὰ τῆς περιτο μῆς καὶ ἀναστάσεως τοῦ Κυρίου βιωσώμεθα, ω ν τὸ πλεῖον κόπος ἐστὶ καὶ πόνος. 89.11 Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου τοῦ θυμοῦ σου ἐξα ριθμήσασθαι; Σοφίας δὲ χρήζομεν εἰς τὸ γινώσκειν τὸ κράτος τῆς ὀργῆς τοῦ Θεοῦ, ο περ κα ν ἐπὶ πόσον φαντασθῇ, οἱ ἑτερόδοξοι οὐκ α ν κα κῶς ε λεγον τὸν Θεὸν, ου ἐστιν ἡ τὸ δύσ γνωστον κράτος ε χουσα ὀργή. Ἀπὸ κοινοῦ δὲ τό· Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ τίς γινώσκει ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου; 89.12 Τὴν δεξιάν σου γνώρισον, καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ. Πεπαιδευμένοι δὲ τῇ καρδίᾳ ἐν σοφίᾳ οἱ καθαροὶ τῇ καρδίᾳ εἰσίν. Η ἀπὸ κοινοῦ· Γνώρισον τοῖς πιστοῖς πᾶσι τὴν δεξιάν σου, μὴ ἐπὶ κολάσει, ἀλλ' ἐπὶ φιλανθρωπίᾳ γνω ρισθήσεται ἡ δεξιά σου. 89.13 Ἐπίστρεψον, Κύριε, ε ως ποτε; καὶ παρακλήθητι ἐπὶ τοὺς δούλους σου; Ἀντὶ τοῦ· Ἐπανάγαγε ἡμᾶς, δέσποτα, παρακληθεὶς ἐφ' ἡμᾶς, καὶ μὴ ἐπὶ πλεῖστον παρίδῃς ὀδυνωμένους, ἀλλὰ δέξαι τὴν ἱκε σίαν, καὶ φιλανθρωπίαν τοὺς σοὺς ἀξίωσον δούλους, τοὺς ἐκ τῆς περιτομῆς. Καὶ ταῦτα διδάσκει λέγειν μετὰ τὴν ε πτωσιν· Ἐπιστρά φητι, Κύριε, ε ως ποτε κτλ. 89.14,15 Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, καὶ ἠγαλλιασάμεθα, καὶ εὐ φράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν, ἀνθ' ω ν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ω ν ει δομεν κακά. Χόρτασον ἡμᾶς ὀρθρίνου ἐλέους σου, ι να ὑπνώσωμεν καὶ εὐφραινώμεθα ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Ευ φρανον ἡμᾶς ἐπὶ πά σας τὰς ἡμέρας α ς ἐκάκωσας ἡμᾶς. Γενο μένης γὰρ ἀναστάσεως ο ρθρου, ἐπλήσθη πᾶ σα ἡ γῆ τοῦ ἐλέους Χριστοῦ. –Χρήσιμον τοῦτο πρὸς τοὺς ἀπὸ τῆς κακίας μετανοή σαντας καὶ καταξιωθέντας γνώσεως. 89.17 Καὶ ε στω ἡ λαμπρότης Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς. Τῷ φωτὶ τῆς γνώσεως ἐλλαμπόμενος τοῦ το ἐρεῖ. Καὶ οὐ λάμπει τὸ φῶς ε μπροσθεν τῶν ἀνθρώπων. Λαμπρότης ἐστὶ γνῶσις Θεοῦ. Τὸ φῶς τὸ ἀληθινόν ἐστιν ὁ Χριστός·


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

κατασκηνοῖ γὰρ πᾶσι τοῖς πιστοῖς. 90.1,2 ῾Ο κατοικῶν ἐν βοηθείᾳ τοῦ῾Υψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐ λισθήσεται· ἐρεῖ τῷ Κυρίῳ· ᾿Αντιλήπτωρ μου ει καὶ καταφυγή μου, ὁ Θεός μου, ἐλ πιῶ ἐπ' αὐτόν. ῾Ο κατοικῶν ἐν βοηθείᾳ τοῦ῾Υψίστου λέ γει ε ως τοῦ· ἐλπιῶ ἐπ' αὐτόν. ᾿Αληθεύει τὸ ἀντειλῆφθαι τὸν Κύριον, καὶ καταφυγὴν αὐ τοῦ ει ναι τὸν Θεόν. 90.3 Οτι αὐτὸς ῥύσεται ἐκ παγίδος θη ρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους. ᾿Εντεῦθεν λόγον πρὸς αὐτὸν ποιεῖται τὸν πεπιστευκότα τοὺς λόγους, καὶ παραθαῤῥύ νει, λέγων· ὡς οὐ μόνον τῶν προφανῶν πολε μίων ἀποφανεῖ κρείττους, ἀλλὰ καὶ τῶν ἐνε δρευόντων, καὶ λάθρα τυρευόντων ἐπιβουλὴν, διὰ γὰρ τῆς παγίδος τοῦτο δεδήλωκε. –Τὸν δὲ ταραχώδη λόγον ἐπήρειαν λόγου, ὁ Σύμ μαχος ει ρηκε· τοιοῦτοι γὰρ οἱ ψευδεῖς καὶ συκοφαντίας ῥάπτοντες λόγους. Η ου τως λέγει ἐνταῦθα· ἡ γῆ υ εται τὸν Θεὸν βοηθὸν, ὡς ἀπαλλάττειν ἀρκοῦντα πάσης μὲν ἐπι βουλῆς τῶν πολεμίων, πάσης δὲ ἀγελλίας ταράττειν δυναμένης ῥύσασθαι. Ταῦτα δὲ πάντα ἐπ' ᾿Εζεχίου γεγένηται, τῶν ᾿Ασσυρίων πάσας μὲν, ω σπερ θήρατρα, τῇ οἰκείᾳ συλλαβόντων ἐφόδους, καὶ τοὺς μὲν ἀποκ τεινάντων, τοὺς δὲ αἰχμαλώτους λαβόντων· καὶ τούτων δὲ ἰσχύειν δυνηθέντων πλέον οὐ δὲν διὰ τὴν ἐπενεχθεῖσαν αὐτοῖς ἐκ Θεοῦ τιμωρίαν. 90.5,6 Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτε ρινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος διαπορευομένου ἐν σκότει, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. Δαίμονα δὲ μεσήμβριον ὀνομάζει τὴν ἀκη δίαν, η τοι τὴν ὀλιγωρίαν· συμβαίνει δὲ τοῦτό τισιν· ἐσθότε σύμπτωμα τοίνυν πάσχουσι τινὲς, ο ταν ὁ νοῦς ἐκλάσῃ πρὸς φιληδονίαν, ο ταν ἀτονήσῃ καρδία, κατενέχθῃ πρὸς φιλο σαρκίαν, ο ταν ἀκηδιάσῃ πρὸς τὰ τῆς εὐσε βείας ε ργα, καὶ ἐνγηράσῃ πρὸς πόνους τοὺς ὑπὲρ τῆς ἀρέτης· ἀλλὰ καὶ τότε συνζεῖ Θεῷ· ἀπολλάττει γὰρ συμπτώματος ἐξ ἀκη δίας, τουτέστι δαιμονίου μεσημβρίου. 90.10 Οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγύει τῷ σκηνώματί σου. Ει τις βούλοιτο μὴ περιπεσεῖν μάστιγι, γενέσθω οι κος Θεοῦ. Κρείττων ε σῃ τῶν δια βολικῶν προβολῶν, καὶ βλάβην ἐκεῖθεν οὐ δέξῃ, καὶ δυναστεία τοῦ διαβόλου οὐ κυριεύ σει σοι. 91.2 ᾿Αγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυ ρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Υψιστε. Πρότερον μετανοήσαντα ἐξομολογήσασ θαι δεῖ, ει τα καθαρεύσαντα ψάλλειν· εἰ ου ν τῶν ποιητέων ἀγαθόν ἐστι τὸ ἐξομολογεῖσ θαι τῷ δικαίῳ, ποιητέα δὲ ἀγαθὰ ει ρηται ἐν τοῖς· Εκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀ γαθὸν, καὶ οὐδὲν τῶν ἀγαθῶν εὐκόλως γίνε ται, ζητητέον ἐξομολογεῖσθαι, ο ἀγαθόν ἐσ τι, μήποτε ου ν μόνος καὶ ὡς ὁ μηκέτι ἁμαρ τάνων ἐξομολογεῖται.῾Ομοίως εἰ ἀγαθόν ἐστι τὸ ψάλλειν τῷ ὀνόματι τοῦ῾Υψίστου, πνευμα τικῶς ψαλτέον· οὐ γὰρ ὁ ἐκκλίνων ἐν τοῖς αἰσθητοῖς, ψάλλειν τὴν φωνὴν ἀγαθὸν πε ποίηκε, πολλῶν δὲ φαυλοτάτων τοῦτο ποι ούντων. 91.4 ᾿Εν δεκαχόρδῳ ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ. Δεκάχορδον ψαλτήριον τὸ σῶμά φησι. Τοιούτοις ὀργάνοις εἰώθασιν τὸν Θεὸν ἀνυ μνεῖν· λέγει τοίνυν ο τι καὶ τοῖς νενομισμέ νοις ἀνακρουόμενος ὀργάνοις, καὶ τῆς γλώτ της μελῳδίαις χρώμενος, σοὶ προσφέρω τὸν χαριστήριον υ μνον. ῾Ορῶν γάρ σου τὰς δη μιουργίας καὶ τὰς ἀῤῥήτους οἰκονομίας, ἀ γάλλομαι καὶ γάννυμαι, καὶ τῇ τῆς ψυχῆς ἡδόνῃ τὴν γλῶτταν εἰς ὑμνῳδίαν κινῶ.᾿Εγὼ μὲν γὰρ, φησὶ, τὰ σὰ ε ργα ἀνυμνῶ, καὶ τῷ βάθει τῶν σῶν λογισμῶν ἐκπλήττομαι, ω ν ἐν τῇ οἰκονομίᾳ εἰργάσω. ᾿Αλλ' οἱ α φρονες οὐ συνίασιν τοῦ μυστηρίου τὸ βάθος. 91.8 ᾿Εν τῷ ἀνατεῖλαι τοὺς ἁμαρτωλοὺς ὡσεὶ χόρτον. Τὸ πῦρ, ο η λθεν βάλλειν ὁ Κύριος ἡμῶν εἰς τὴν γῆν, κατακαίει ξύλα, χόρτον, κάλα μον. 91.12 Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμέ νοις ἐπ' ἐμὲ πονηρευομένοις εἰσακούσεται τὸ ου ς μου. Χρήσιμον τὸ ῥητὸν πρὸς τοὺς ἐμφανιζο μένους δαίμονας ἡμῖν καὶ πειρωμένους ἡ μᾶς ἐκφοβεῖν. Νοσῶν καὶ συνέσεως ε ρημος τούτων οὐδὲν δέχεται. 91.15 Τότε πληθυνθήσονται ἐν γήρει πίονι, καὶ εὐπαθοῦντες ε σονται τοῦ ἀναγ γεῖλαι. ῾Ο ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γήρᾳ πίων, πολλὰ ἀγαθὰ πληθύνε ται ἐν γήρᾳ πίονι, καὶ εὐπαθοῦντες ἐν ταῖς καλουμέναις εὐπαθείαις ε σονται, οἱονεὶ ἐν τῇ χαρᾷ καὶ εὐλαβείᾳ τοὺς τῆς ἀρετῆς στε φάνους κομιζόμενοι. 92.1,2 ῾Ο Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. ᾿Ενεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο, καὶ γὰρ ἐστερέωσε τὴν οἰκου μένην, η τις οὐ σαλευθήσεται. Ετοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ ει . Οἱ μὲν πρῶτοι τρεῖς στίχοι παρ' αὐτοῦ τοῖς ἀκούουσι λέγονται, διδάσκοντες ἡμᾶς τί ἐνεδύσατο καὶ περιεζώσατο βασιλεύσας, καὶ πῶς τὴν μὲν σαλευομένην οἰκουμένην ἐστε ρέωσεν. ῾Ο δὲ ἑξῆς πρὸς αὐτὸν, η ᾿Ιησοῦ ψυχὴ κοσμησαμένη τῷ πρωτοτόκῳ πάσης κτί σεως, ο ντι δυνάμει, ὡς καὶ ὁ ᾿Απόστολος ἐδίδαξεν. Οι μαι δὲ ο τι καὶ εὐπρέπεια Κύριός ἐστιν ο ς ἐβασίλευσε, καὶ εὐπρέπειαν ἐνεδύσατο. Χρεία γὰρ η ν, ὡς διὰ τὸ μέγεθος περικε χύμενον αὐτὸν, ου τω τὴν δύναμιν μέγισ τον ου σαν χιτῶνα στεῖλαι τῇ ζώνῃ (μέγας γὰρ ὁ κόσμος) καὶ ἐσταλμένην αὐτὴν χωρῆ σαι ἠδύνατο. Τῷ σώματι χιτῶνα ζώννυταί τις, ι να εὐσταλῶς ῃ περικείμενος. Αλλοι δὲ οἰήσονται χιτῶνα καὶ ζώνην ει ναι τὴν δύναμιν, οἰκουμένην δὲ στερεωθεῖσαν ὑ πὸ τοῦ βασιλεύσαντος Κυρίου, καὶ μὴ σαλευ θεῖσαν νομίζω ει ναι τὴν ἐκκλησίαν. Δείκνυ σιν τὰ ἐντεῦθεν γενόμενα κατορθώματα· ε δ ραιε, φησὶ, τὸν οι κόν μου, ἀπέφηνε καὶ στεῤ ῥὰν καὶ τὸ βέβαιον τῆς ἀληθείας ε χουσαν· οὐκέτι γὰρ οἱ α νθρωποι νῦν μετὰ τούτους, νῦν δὲ ἐκείνους τοὺς θεοὺς προσκυνοῦσι, ἀλλὰ τῷ ἀληθινῷ Θεῷ τὸ σέβας προσνέμουσι. Δεῖ γὰρ αὐτὸν βασιλεύειν α χρις ου πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ [ὑπέταξεν]. Ετοιμος, ἀντὶ τοῦ ἑδραῖος καὶ ἐν τῷ ἀ μετατρέπτῳ ἱδρυμένος. Καὶ τό· ἀπὸ τότε, ἀντὶ τοῦ α νωθεν καὶ ἀπ' ἀρχῆς, ὡς καί· ἀ πὸ τότε ἡ ὀργή σου, ἀντὶ τοῦ· ἐξ ἀρχῆς προέγνωστό σοι τὰ τῆς τιμωρίας τοῦ πολε μίου. Ει τα ἐπεὶ ει πεν, ο τι ἐξ ἀρχῆς βασι λεύεις, ἐπήγαγε βεβαιῶν, ο τι ἀπὸ αἰῶνος σὺ ει . Οὐ νῦν, φησὶ, τὴν τῆς βασιλείας ἐδέ ξω χειροτονίαν, ἀλλ' ἀΐδιον ε χεις τὴν βασι λείαν. Η ε τοιμος ὁ θρόνος σου, διὰ τὸ προορισθῆναι ἀπὸ καταβολῆς κόσμου τὴν τοῦ ἀνθρωπείου γένους σωτηρίαν διὰ τῆς παρουσίας αὐτοῦ. Θρόνος γὰρ τὴν ἀνάστα σιν σημαίνει, τὴν ἑτοίμην εἰς τὸ κρίνειν τοὺς ἀδικήσαντας ἡμᾶς δαίμονας. Τὸ δέ· ἀπὸ τό τε, ἀορίστως, ἀντὶ τοῦ ἀεί· τὴν γὰρ υ παρ ξιν ἀΐδιον κέκτηται. 92.3 ᾿Επῆραν οἱ ποταμοὶ, Κύριε, ἐπῆ ραν οἱ ποταμοὶ φωνὰς αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν. Ποταμοὺς δὲ καλεῖ καὶ τὰ στρατόπεδα τῶν ἐχθρῶν, διὰ τὸ σφοδρὸν τῆς ὀργῆς· διὰ τοῦτο γὰρ ει πεν ἀπὸ ὑδάτων πολλῶν, ἀντὶ τοῦ· πολλοὶ ο ντες. Ποταμοὺς γὰρ ἐκείνους εἰπὼν, τῇ τροπολογίᾳ ἐπέμεινεν. 92.4 ᾿Αροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐ τῶν. Ποταμοὺς δὲ [νόει] τοὺς ἱεροὺς ἀποστό λους καὶ τοὺς εὐαγγελιστὰς, οἱ τὴν τοῦ Θεοῦ ἐκκλησίαν τοῖς πνευματικοῖς κατηύφραναν νάμασι· ου τοι τοίνυν οἱ ποταμοὶ ἐπῆραν αὐ τῶν τὴν φωνὴν, τὰ θεῖα κηρύττοντες δόγ ματα, καὶ τὰς οἰκείας πορείας πορευόμενοι. ᾿Επιτρίψεις γὰρ τὰς τρίβους αὐτῶν ἐκάλεσε. Τουτέστιν οἱ πρῶτοι πιστευθέντες τὸ κήρυγ μα, ἐπειδὴ πέφυκε τῶν ὑδάτων ἡ φύσις τρί βειν τὴν ὑποκειμένην γῆν καὶ πόρειαν ἐρ γάζεσθαι, εἰκότως τρίψιν ποταμῶν τὴν πο ρείαν ἐκάλεσε. Θαυμαστὸς ἐν ὑψηλοῖς Κύριος, τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. Τῷ οι κῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μα κρότητα ἡμερῶν. Οὐκοῦν ἐν τοῖς τυχοῦσι, ψεκτῶς ταπει νοῖς, θαυμαστὸς ὁ Κύριος; καὶ ι να δὲ ἡ μαρτυρία σου πιστὴ, σοφίζουσα νήπια; – Η καὶ ου τως· προκατηγγέλλετο γὰρ παρὰ τῶν προφητῶν, ὡς ταῦτα πείσονται ἁμαρτά νοντες. –Τῷ οι κῳ σου πρέπει ἁγίασμα, Κύριε. Οι κος Κυρίου, ψυχὴ καθαρὰ· ἐνοική σω γὰρ, φησὶν, ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω. 93.1 Θεὸς ἐκδικήσεων Κύριος, Θεὸς ἐκ δικήσεων ἐπαῤῥησιάσατο. ῾Ο τῶν ἐκδικήσεων Θεὸς, κολάζων καὶ ἐκδικῶν τῷ δικαίως ταῦτα ποιεῖν παῤῥησιά ζεται, ἐπιδεικνύμενος τῇ κτίσει τοὺς θαυμα σίους παρὰ τούτων λόγους, καθ' ου ς τὰ τῶν ἐκδικήσεων ἐνεργεῖ. 93.2 ῾Υψώθητι, ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις. Οὐ θαυμαστὸν, εἰ ὑψοῦται ἐπὶ τοὺς ὑπὲρ γῆν ὁ Κύριος, ἀλλ' ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ κρίνειν τὴν γῆν, τῆς ὑψηλοτάτης αὐτοῦ φανερουμένης καὶ ἐπὶ τῷ κρίνεσθαι τοὺς ἐπὶ τῆς γῆς, φυλασ σώμεθα ἀπὸ ὑπερηφανίας, εἰδότες ο τι σφό δρα ὁ Θεὸς τοῖς ὑπερηφάνοις ἀντιτάσσεται, ω ν ἀρχηγός ἐστιν ο ς λέγεται διάβολος. Τῇ ἰσχύϊ ποιήσω, καὶ τῇ σοφίᾳ τῆς συνέσεως ἀ φελῶ ο ρια ἐθνῶν. 93.3,4 Εως πότε ἁμαρτωλοὶ, Κύριε, ε ως πότε ἁμαρτωλοὶ καυχήσονται; φθέγξονται, καὶ λαλήσουσιν ἀδικίαν, λαλήσουσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Τὸ ου ν ε ως πότε ἀπὸ κοινοῦ, ι ν' η τὸ ο λον τοιοῦτον· ε ως πότε ἁμαρτωλοὶ, ε ως πότε λαλήλουσιν πάντες οἱ ἐργασάμενοι τὰς ἀνο μίας; πολλὴ δὲ ἀναισθησία τῶν ἰδίων κα κῶν τοῖς καυχωμένοις ἁμαρτωλοῖς, μάλιστα ει τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαινούσαις διδασκαλίαις, ταῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλὰ τετύφλωται, μηδὲν ἐπιστάμενος, νοσῶν περιζητήσεις καὶ λογομαχίας· ἐκεῖνος ου ν ἐπὶ ταῖς ἰδίαις κα τὰ ψευδοδοξίαν βλασφημίαις καὶ ἁμαρτίαις καυχᾶται, ὡς ἐπ' ἀληθείᾳ καὶ σοφίᾳ καὶ φθέγγεται, καὶ λαλεῖ ἀδικίας εἰς τὸ υ ψος, ἐν οι ς κατηγορεῖ τοῦ δημιουργοῦ. 93.5 Τὸν λαόν σου, Κύριε, ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν. Πρότερον ἐν ὑψηλοῖς ο ντα τὸν λαὸν ἐτα πείνωσαν οἱ ἁμαρτωλοὶ, αι τιοι αὐτῷ γενό μενοι τοῦ κατελθεῖν εἰς τὸ σῶμα τῆς ταπει νώσεως καὶ τὴν κληρονομίαν τοῦ Θεοῦ, ι να τῇ ἐναντίᾳ καταστάσει τῆς κακώσεως τυγ χάνῃ κακῶσαι. –Κληρονομίαν ει ρηκεν φύ σιν τὴν λογικὴν, η τις πέφυκε κληρονομεῖν Θεὸν, ἀντὶ δὲ τοῦ κληρονομοῦντος κληρονο μίαν ὠνόμασεν· ε θος γὰρ τοῦτο τῇ γραφῇ. 93.6 Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν, καὶ προσήλυτον ἐφόνευσεν. Χήραν ψυχὴν καὶ προσήλυτον νοῦν ἀπο κτείνει ὁ κακῶς τὰς θείας γραφὰς ἐξηγού μενος· ὀρφανός ἐστι νοῦς ἐστηρουμένος τοῦ ἐπουρανίου πατρός· αὐτὴ τῆς ἀσεβείας ἐπί τασις· ταῦτα γὰρ, φησὶ, τολμῶσιν, οὐχ ἡ γούμενοι σὲ ἐφορᾷν, οὐδὲ προμηθεῖσθαι τῶν ἀνθρώπων πραγμάτων. 93.7 Καὶ ει παν· Οὐκ ο ψεται Κύριος, οὐ δὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ. Οὐχ ἁπλῶς δὲ πρόσκειται τό·῾Ο Θεὸς Ἰακὼβ, ἀλλ' εἰς αυ ξησιν τῆς κατηγορίας· πολλὴν γὰρ περὶ τὸν λαὸν τοῦ Θεοῦ κατα μαθόντες πρόνοιαν, τὴν διὰ τῶν προφητῶν, τὴν διὰ τῶν ἱερέων, τὴν ἐν πολέμῳ, τὴν ἐν εἰρήνῃ. 93.8,9 Σύνετε δὴ, α φρονες ἐν τῷ λαῷ, καὶ μωροὶ, ποτὲ φρονήσατε.῾Ο φυτεύσας τὸ ου ς, οὐχὶ ἀκούει; η ὁ πλάσας ὀφθαλμοὺς οὐ κατανοεῖ; Πάλιν ἀπὸ τῆς πονηρίας τῶν ἐχθρῶν διε γείρει εἰς ζῆλον κατὰ τῶν ἀσεβῶν τὸν Θεὸν, ο πως α ν ε ργῳ μάθοιεν, ὡς ὁ ἀπιστωθεὶς παρ' αὐτῶν οὐ περιορᾷ τὰ ἀνθρώπινα· ἀπό κρισιν δὲ ὁ προφήτης ἐπάγει πρέπον αὐτοῖς ο νομα, τὴν ἀφροσύνην καὶ μωρίαν εἰπών. Λέγει δέ· πόθεν αὐτοῖς ἡ τοιαύτη ἀναισθη σία, ὡς μήτε ὁρᾷν, μήτε ἀκούειν, μήτε μὲν ἐλέγχειν ὑπολαμβάνειν τὸν Θεὸν, τὸν καὶ ω τα, καὶ ὀφθαλμοὺς, καὶ σύνεσιν τοῖς ἀν θρώποις παρεσχηκότα;῾Ο γὰρ ἑτέροις ταῦ τα δοὺς πρὸς τὸ ἀκούειν καὶ συνιέναι, οὐ συνιεῖ; ὀψὲ γοῦν, ω ἀνόητοι, συνιδεῖν ἐθε λήσατε καὶ μαθεῖν τῶν πραγμάτων τὴν φύ σιν. Σφόδρα συλλογιστικῶς τὴν διδασκαλίαν προσήνεγκεν. ῾Ο ἐκ πηλοῦ, φησὶν, τὸν ὀφθαλμὸν δια πράσας, καὶ τὴν ὀπτικὴν ἐνέργειαν αὐτῷ δωρησάμενος, καὶ τὰ ω τα ὡσαύτως δημιουρ γήσας, καὶ ἀκουστικὴν αι σθησιν χαρισάμε νος, αὐτὸς οὐχ ὁρᾷ, οὐδὲ ἀκούει; ἀλλὰ τού των δημιουργὸς ἐστήρεται, τῆς ἐνεργείας, η ν τοῖς α λλοις κεχάρισται; 93.10 ῾Ο παιδεύων ε θνη, οὐχὶ ἐλέγξει, ὁ διδάσκων α νθρωπον γνῶσιν. Τὰ ε θνη, φησὶν, α μήτε νόμον ἐδέξατο, μήτε προφητικὰς ἀπέλαβε διδασκαλίας, ὑ ποβάλλει παιδείᾳ, καὶ τὴν ὑμετέραν οὐκ ἐλέ γξαι παρανομίαν; καὶ μὴν τῶν ἀνθρώπων τὴν φύσιν αὐτὸς ἐδημιούργησε λογικὴν, καὶ διὰ τῶν ἐν τῇ κτίσει θεωρουμένων καθ' ἑκάσ την γενομένων ἡμέραν πλείονα τὴν γνῶσιν ἐργάζεται. 93.11-13 Κύριος γινώσκει τοὺς διαλογισ μοὺς τῶν ἀνθρώπων, ο τι εἰσὶ μάταιοι. Μα κάριος ὁ α νθρωπος ο ν α ν παιδεύσῃς, Κύ ριε, καὶ ἐκ τοῦ νόμου διδάξῃς αὐτὸν, τὸν πραΰναι αὐτῷ ἀφ' ἡμερῶν πονηρῶν. Πῶς γὰρ οὐκ εἰσὶ ματαιότητος πλήρεις, αἱ αἰσθήσεις ἐκεῖναι, αἱ τῆς προνοίας τὸ ὠφέλιμον ἐξορίζειν ἐπιχείρουσιν τῷ λόγῳ; –



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ον ἀγαπᾷ, Κύριος παιδεύει, φησὶν ὁ ἀπόστολος. Εἰ δὲ ο ν παιδεύει, μακαρίζει, πᾶς ὁ παιδευόμενος ὑπ' αὐτοῦ ἀπαθὴς γί νηται, τοῦτον γὰρ καὶ ἀγαπᾷ Κύριος· παι δεύειν γάρ ἐστι μετριοπάθεια παθῶν.᾿Εκεῖ νοι μὲν α θλιοι καὶ ταπεινοὶ, φησὶν, οἱ τὴν σὴν μὴ δεχόμενοι παιδείαν· μακάριοι δὲ ου τοι οἱ παρὰ σοῦ παιδευθέντες καὶ ἐκ τοῦ σοῦ διδαχθέντες νόμου· ου τοι γὰρ καὶ ἐν ταῖς θλίψεσι πραϋθέντες, κουφισθήσονται τῶν ἀ νιαρῶν. 93.18 Τὸ ε λεός σου, Κύριε, βοηθεῖ μοι. Ελεος μὲν νοῦ γνῶσίς ἐστι· ε λεος δὲ ψυ χῆς, ἀπάθεια. 93.19 Κύριε, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου, ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου ηυ φραναν τὴν ψυχήν μου. Οὐκ ἀφῆκας, φησὶν, ἀπαραμύθητον, ἀλλ' ο σας θλίψεις ει χον, τοσαύτας καὶ παραμυ θίας ἐδεχόμην παρὰ σοῦ, αι καὶ εἰς εὐφρο σύνην τὰς λύπας μετεσχίαζον. 93.20-23 Μὴ συμπρόσεσταί σοι θρόνος ἀνομίας, ὁ πλάσσων κόπον ἐπὶ προστάγματι; Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, καὶ αι μα ἀ θῶον καταδικάσονται. Καὶ ἐγένετό μοι Κύ ριος εἰς καταφυγὴν, καὶ ὁ Θεός μου εἰς βοη θὸν ἐλπίδος μου. Καὶ ἀποδώσει αὐτοῖς τὴν ἀνομίαν αὐτῶν καὶ τὴν πονηρίαν αὐτῶν.᾿Α φανιεῖ αὐτοὺς Κύριος ὁ Θεὸς ἡμῶν. Κόπον πλάσσει ἐπὶ τῶν προσταγμάτων τοῦ Θεοῦ, βουλόμενος ἡμᾶς παραβαίνειν τὰ προστάγματα αὐτοῦ, καὶ ἐνδελεχῶν ἡ μῖν α μα καὶ παλαίων εἰς τὸ ἐξαπατῆσαι ἡ μᾶς ὁ διάβολος. –Θρόνον δὲ ἀνομίας ὠνό μασεν τὸν διάβολον· ἐπειδὴ θρόνος δικαιο σύνης ὁ Χριστὸς, ο στις ἀντίκειται τῷ διαβό λῳ· τοῦτο προσευχὴ τῶν ἁγίων ἐστὶ ψυχῶν τῶν ὑπὲρ τῆς Θεοῦ ὁμολογίας ἀγωνιζομέ νων, καὶ πρὸς αὐτὸν ἱκετήρια βοώντων· Μὴ ὑψούσθω θρόνος ἀνομιῶν ἐναντίον σου, Κύ ριε, κατὰ τοῦ σοῦ προστάγματος, κόπους ἡμῖν παρεχόμενος, η τοῖς ἁγίοις μάρτυσιν οἱ ἀλάστορες καὶ τῶν εἰδώλων ὑπέρμαχοι. Διὰ τούτου, φησὶν, παρεκάλεσάς μου τὴν καρδίαν ἐν ταῖς θλίψεσιν, ο τι δὴ ου ν οὐ προ σθήσεταί σοι θρόνος ἀνομιῶν, τουτέστι δί καιος ει κριτὴς, ὡς Θεὸς, καὶ οὐκ ε στιν ἀ νομία ἐν ταῖς σαῖς κρίσεσιν.῾Ο γὰρ θρόνος τὴν κρίσιν σημαίνει. Οὐκ ε στιν ου ν, φησὶ, παρὰ τῇ σῇ κρίσει ἀνομία, ω σπερ δὴ καὶ παρ' ἐκείνῳ. ῾Ο κόπον πλάσσων ἐπὶ προστά γματι, ου τος α ν ει η ὁ ἀντικείμενος δαίμων, ο ς καὶ ἐλαφρὰς ου σας τὰς τοῦ Θεοῦ ἐντολὰς βαρείας ποιεῖ, κόπους δι' αὐτῶν τοῖς ἀνθρώ ποις παρέχων. Αἰτίαν πρὸς τὰς ὀδύνας εὐ φροσύνην φησὶν, ο τι μὴ πρόσεστι Θεῷ τῷ ἀγαθῷ καὶ δικαίῳ θρόνος ἀνομίας, διὸ καὶ τὸ πρόσταγμά σου καμάτων ἐστι ποιητικὸν διὰ τὰς μετὰ τοὺς κόπους ἀμοιβὰς τοῖς ἠ γωνισμένοις καλῶς [ἡτοιμασμένας]. Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, καὶ αι μα κτλ. Ου τοι, φησὶν, οἱ πονηροὶ δαίμονες ἐκ παντὸς τρόπου τὴν τοῦ δικαίου θηρεῦσαι ζη τοῦσιν ψυχήν· ἀλλὰ ἐπὶ τούτῳ, φησὶν, κατα κριθήσονται, τοῦτο γὰρ σημαίνει· Καὶ αι μα ἀθῶον καταδικάζονται· λέγει γὰρ ὡς ἀντὶ τοῦ αι ματος τοῦ ἀθώου ἐκχεομένου παρ' αὐ τῶν εἰς κρίσιν, εἰς κόλασιν παραδοθήσονται. ᾿Ερεῖς δὲ καὶ α λλως μικρὸν α νωθεν, ὡς δη μιουργὸς ἡμῶν ὑπάρχων καὶ κηδεμὼν, καὶ πᾶν ἀγαθὸν ἡμῖν ἐκ σοῦ νομίζομεν ει ναι, ἀλλ' ἐπεὶ φαύλους τινὰς ὁρῶμεν τοὺς ἀθώους καταδικάζοντας, μὴ ε τερος θρόνος ἀνομίας σύνεστίν σοι, δι' ο ν οι σοι παραινοῦνται θε ράποντες; ἀλλ' οὐ πρόσεστί σοι ἀνομίας θρό νος· νόμον γὰρ τῶν ἁπάντων ἀνέδειξας βασι λέα, καθ' ο ν τὸ πᾶν διοικεῖται. Κα ν τοίνυν προσταγμάτων σῶν γεγονὼς ἀποστάτης ὁ διάβολος, α ρχειν ἐπιχειρῇ, ἀλλ' οὐ σύνεστιν, οὐδὲ πρόσεστί σοι, μακρὰν δὲ σοῦ λησταρ χῶν, τυραννεῖ κατὰ τῶν ὑπὸ τὴν ὠμότητα τὴν αὐτοῦ τελεῖν ἑλομένων. Θρόνος γὰρ ἀνο μίας ἡμετέρας τυραννίδος ἀρχὴ, διόπερ ω ν ἐπαχθὴς, βαρύτατα προστάττει, συμπλάττων αὐτοῦ τοῖς προστάγμασι κόπον. Αἱ δὲ ἐντο λαί σου τοῦ Θεοῦ βαρεῖαι οὐκ εἰσὶ, κατὰ τὸν ᾿Ιωάννην, ἀλλὰ τὸν ε χοντα μετέωρον εἰς υ ψος αι ρουσιν. Εργον γὰρ τοῖς παρανόμοις τουτοισὶ δικασταῖς πάσῃ μηχανῇ κατὰ τῶν δικαίων κεχρῆσθαι, καὶ τῶν ἀθώων καὶ ἀ ναιτίων καταψηφίζεσθαι θάνατον.᾿Εγὼ δὲ τῆς παρὰ τοῦ δεσπότου προνοίας ἀπήλαυσα, καὶ αὐτὸν ε χω περίβολον ὀχυρόν· ἐκεῖνοι δὲ τρυγήσουσι τοὺς τῶν ἰδίων πόνων καρπούς. Ταῦτα πᾶσιν ἀνθρώποις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγράφη· πάντων γὰρ προμηθούμενος ὁ Θεὸς, τὴν πάντων προφέ ρει θεραπείαν. – Σύμμαχος· Μὴ συναφθή τω σοι θρόνος ἐπηρείας, πλάσσων ταλαιπω ρίαν κατὰ προστάγματος. Μὴ συμπαρέστω θρόνος ἀνομίας ὁ πλάσσων κόπον, ὀνόματι προστάγματος· μὴ μετέξῃ σου θρόνος ἐπι βουλῆς, πλάσσων κόπον ἐπὶ ἀκριβασμόν· μὴ σονισωθήτω σοι θρόνος ἀνομίας, πλάσσων κόπον ἐπὶ πρόσταγμα· οὐ γὰρ ἀρκοῦνται παιδεύειν ἐν ζημίᾳ καὶ μάστιγι, ἀλλὰ καὶ ψήφου θανάτου. –᾿Αλλὰ ἀφανιεῖ αὐτοὺς Κύριος, ὁ Θεὸς ἡμῶν. Τῶν μὲν κακίαν γὰρ ἀφανίζει Κύριος, ὡς δικαιοσύνη· τῶν δὲ α γ νοιαν, ὡς σοφία καὶ γνῶσις. 94.3,4 Οτι Θεὸς μέγας Κύριος καὶ βα σιλεὺς μέγας ἐπὶ πάντες τοὺς θεοὺς, ο τι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, ο τι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ υ ψη τῶν ὀρέων αὐτοῦ ἐστιν. ῾Ο βασιλεὺς τῶν βασιλευόντων ο ντως βα σιλευόντων, βασιλεὺς μέγας ἐστὶν ἐπὶ πᾶ σαν τὴν γῆν· βουληθείς τε καὶ πράγματι ε δειξε τὴν κατὰ πάντων κυριότητα, καὶ ο τι καὶ τὸν γῦρον κρατεῖ τῆς γῆς, καὶ τῶν ὑψη λῶν ἐστιν ὑψηλότερος, καὶ παντὸς στοιχείου δεσπότης ω φθη, τρέπων καὶ μεταβαλὼν, ὡς βούλεται, τὰ πράγματα. –῾Ο ὑψηλὸς τὴν διάνοιαν τοῦ Θεοῦ ἐστιν ὁ ὑψηλὸς ἐν θεω ρίᾳ, ου τος τοῦ Κυρίου λέγεται ει ναι, ὡς μᾶλ λον τῶν α λλων νοῶν περὶ Θεοῦ. 94.6,7 Δεῦτε, προσκυνήσωμεν, καὶ προσ πέσωμεν αὐτῷ ἡμεῖς λαὸς νομῆς καὶ πρόβα τα χειρὸς αὐτοῦ. ᾿Εγώ εἰμι, φησὶν ὁ Χριστὸς, ποιμὴν κα λός. –Τῇ προσκυνήσει τὸν δέσποτα ὁμο λογοῦντες, ἡμεῖς πάντες τοῦ Θεοῦ οἱ τη λυγετότερον προσιόντες ἐσμὲν, λογικὸς μὲν λαὸς νομῆς, οὐ χειρὸς αὐτοῦ, ἀλλὰ αὐτοῦ· α λογοι δὲ, πρόβατα οὐκ αὐτοῦ, ἀλλὰ χειρὸς αὐτοῦ. –Τὰ παρηγγειλμένα, φησὶν ἐπιτε λευταῖον Χριστῷ, διά τε τὰ α λλα, καὶ διότι μέγας φύσει Θεὸς καὶ μέγας ἐστὶ βασιλεὺς, ο τε Μονογενὴς ω ν τοῦ Θεοῦ Λόγος· ἡδέως δὲ ἀντιδιατρίβει διηγούμενος τὸ μέγεθος καὶ τὴν ἐξουσίαν καὶ τὴν δύναμιν. 94.8 Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀ κούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. Τὸ σήμερον τὸν βίον παρόντα σημαίνει. ᾿Ιησοῦς γὰρ χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. 94.10,11 Τεσσαράκοντα ε τη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ ει πα· ἀεὶ πλάνωνται τῇ καρδίᾳ, καὶ αὐτοὶ οὐκ ε γνωσαν τὰς ὁδούς μου, ὡς ω μοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύ σονται εἰς τὴν κατάπαυσίν μου. Τεσσαράκοντα, δυσηρεστήθην ἐν τῇ γε νεᾷ ἐκείνῃ .... μάλιστα δὲ τὰ παιδία γενήσε ται τὸν τεσσαράκοντα ἐτῶν χρόνον ἐν τῇ ἐ ρήμῳ διαγαγεῖν παρεσκεύασεν αὐτοὺς, ε ως αὐτοὶ μὲν κατηναλώθησαν, οἱ δὲ παῖδες ηὐ ξήθησαν. Προσώχθισα γὰρ, φησὶ, τῇ γενεᾷ ἐκείνῃ, τουτέστι δυσηρεστηθεὶς ἐβδελυξάμην, τὸ κοῦφον αὐτῶν καὶ εὐρίπιστον τῆς γνώμης ἰδὼν, ο τι οὐκ ε γνωσαν τὰς ὁδοὺς καὶ τὰς οἰ κονομίας μου· οὐδὲ ταῖς ὁμωμοσμέναις ἀ πειλαῖς προσέχειν ἐθέλησαν, οὐδὲ μεταμε λήσαντες λῦσαι τὴν ἀπειλὴν ἠβουλήθησαν· ου δὴ χάριν τῆς ἐπηγγειλμένης τοῖς πατρά σιν οὐκ ἀπέλαυσαν γῆς· η ν κατάπαυσιν ὀνο μάζει ὁ λόγος, ἐπειδὴ ἐν τῇ ἐρήμῳ μεταβά σεις ἐποιοῦντο συχνὰς τῆς σκηνῆς ἡγουμέ νης ἐν ῃ κατοικεῖν ὁ Θεὸς ἐνομίζετο· ἐν δὲ τῇ γῇ τῆς ἐπαγγελίας καὶ αὐτοὶ τῆς ὁδοιπο ρίας ἐπαύσαντο, καὶ ἡ σκηνὴ τοῖς ἀφιερω θεῖσιν ἐνεπάγη χωρίοις. Αὐτὴ μὲν ἡ ἱστορία· ι δωμεν δὲ τὸν ψαλμὸν καὶ πνευματικώτερον. –῾Οδοί εἰσι τοῦ Κυρίου αἱ πατρικαὶ ἀρε ταὶ, αἱ ἐπάγουσαι εἰς τὴν βασιλείαν τῶν οὐ ρανῶν. ῾Ο μὴ ὁδεύων τὰς ὁδοὺς τοῦ Θεοῦ, οὐκ ε γνω αὐτάς· ἀμήχανον γὰρ γνόντα μὴ ὁδεῦσαι, ἐπείπερ ἐπακτικόν τε καὶ ἀναγκα στικὸν ε χει τὸ κάλλος αὐτῶν θεωρούμενον. Εἰ δὲ τοῦτο ἐπὶ τῶν ὁδῶν λεκτέον, τί φήσο μεν περὶ τοῦ εἰπόντος· ᾿Εγώ εἰμι ἡ ὁδός; τί δὲ περὶ τοῦ Θεοῦ, ο ν οὐδεὶς γνοὺς ἁμαρτά νει ε τι; ο θεν ἐν Βασιλείαις ἐπὶ τῶν ἁμαρ τανόντων λέγεται· Οὐκ ε γνωσαν τὸν Κύ ριον. 95.1 Ασατε τῷ Κυρίῳ ᾳ σμα καινόν. Τοῖς ἀποστόλοις τὸ Πνεῦμα παρακελεύε ται τὸ καινὸν ᾳ σμα, τουτέστι τὴν νέον δια θήκην ἐξηγεῖσθαι τοῖς ἀνὰ πᾶσαν τὴν οἰ κουμένην ε θνεσιν. 95.9 Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶ σα ἡ γῆ. Σαλεύεται ψυχὴ ἀπὸ γνώσεως Θεοῦ εἰς πολύθεον πλάνην ἐκπίπτουσα. –᾿Εθεμε λίωσε γὰρ ἐπὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

τὴν πέτραν τὴν ἐκκλησίαν, καὶ πύλαι ᾳ δου οὐ κατισχύουσιν αὐτῆς. 95.10,11 Κρινεῖ λαοὺς ἐν εὐθύτητι. Εὐ φραινέσθωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ· σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρω μα αὐτῆς. Εὐφραινέσθωσαν οἱ οὐρανοὶ, τουτέστι οἱ κατοικοῦντες ἐν τοῖς οὐρανοῖς· ἐπὶ γὰρ τῇ κατορθώσει τῆς οἰκουμένης, αἱ οὐράνιαι δυ νάμεις ε λεγον· Δόξα ἐν ὑψίστοις Θεῷ. Θά λασσα ἐν τούτοις τῶν ἐθνῶν σημαίνει τὴν πληθὺν, η τις καὶ ἐσαλεύετο, τουτέστι εἰς τὸ ὑποδέξασθαι τὸ κήρυγμα, σεσάλευται. Ὁ δὲ Θεοδοτίων καὶ ὁ Σύμμαχος ου τως· Ἠχήσει ἡ θάλασσα συμπληρώματι αὐτῆς· α πας γὰρ τῶν ἀνθρώπων ὁ βίος ὁ τὴν θαλαττίαν μι μούμενος ζάλην, τῶν θείων κηρυγμάτων δέ ξεται τὴν ἠχήν· προλέγει δὲ καὶ τὰς γεγεν νημένας τῶν ἀπίστων ἐπαναστάσεις κατὰ τῶν κηρύκων τῆς ἀληθείας, ὡς καὶ ἐν ἑτέροις ψαλμοῖς ἀπεδείξαμεν. 95.12 Χαρίσεται τὰ πεδία καὶ πάντα τὰ ἐν αὐτοῖς, τότε ἀγαλλιάσονται πάντα τὰ ξύ λα τοῦ δρυμοῦ. Χαρίσεσθαι δὲ τὰ πεδία λέγει τὸν ὁμα λὸν ἐν ἀρετῇ βίον· πεδία δὲ λέγει, ω ν καὶ Ἡσαΐας ἐν τοῖς ἰδίοις λόγοις α λλῳ μίμνηται τρόπῳ, ἀναπληροῦσθαι μὲν κελεύων τὰς φά ραγγας, καταστέλλειν δὲ τοῦ πονηροῦ τὰ ο ρη· ο περ οὐδ' ε τερόν μοι δοκεῖ, η τὰς ἐλ λείψεις τε καὶ ὑπερπτώσεις τῶν κατ' ἀρετὴν ἐπιτηδευμάτων θεραπεύειν βουλόμενος, ταῦ τα λέγει, ὡς μήτε δι' ἐλλείψεως τοῦ ἀγαθοῦ τὸν τῆς ἀρετῆς λόγον κοιλαίνεσθαι, μήτε ἀνωμαλεῖν διὰ τῆς ὑπερπτώσεως. Διὰ τῶν πεδίων καὶ μὴν διὰ τῶν ξύλων ἁγίας ψυχὰς σημαίνει· οἱ ἐπὶ τῇ τοῦ κόσμου σωτηρίᾳ ἠ γαλλιάσαντο. Ποῖα ἠγαλλιάσθησαν ξύλα λε γέτωσαν οἱ τὴν ἀλληγορίαν παραιτούμενοι; 95.13 Πρὸ προσώπου Κυρίου, ο τι ε ρχε ται, ο τι ε ρχεται κρῖναι τὴν γῆν· κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ. Οὐ τὴν γῆν κρινεῖ, ἀλλὰ τοὺς κατοικοῦν τας ἐπὶ τῆς γῆς, ὁμωνύμως προσαγορευομέ νους τὴν γῆν. – Ηλθε γὰρ καὶ ἐδικαίωσε τὴν κρίσιν ἡμῶν, καὶ τοὺς πονηροὺς τυράν νους ἐξέβαλε, τοὺς ἀκαθάρτους δαίμονας. 96.1 Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσε ται ἡ γῆ. Εὐφρανθήτωσαν νῆσοι πολλαί. Ζητητέον διὰ τί οὐ πᾶσαι, η κα ν πᾶσαι ἀληθὲς τὸ πολλαί. Τάχα δὲ ἐπεὶ πρὸ μὲν τῆς παρουσίας ὀλίγαι νῆσοι εὐφραίνονται, ἀπὸ δὲ τῆς παρουσίας πλείονες, διὰ τοῦτο τὸ ἐσόμενον προφητεύει. 96.2 Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ θρό νου αὐτοῦ. Διὰ τοῦ γνόφου καὶ τῆς νεφέλης τὸ ἀθέα τον ἐδήλωσεν, α μα τε διδάσκει ο τι αὐτὸς ει η ὁ διὰ νεφέλης ἐν Σινᾶ ὀφθεὶς, καὶ ο τι εἰ καὶ ἀδύνατόν ἐστι τὸ κατιδεῖν αὐτὸν, ἀλλ' ου ν διὰ τῆς ἐνεργείας τὴν δύναμιν αὐτοῦ ε νεστι νοῆσαι. Δικαιοσύνην γὰρ πάντας ἀνθρώπους ἐπαίδευσε, καὶ τοὺς ἀδιακρίτως α παντας δρῶντας, μετὰ κρίσεως ὀρθῆς ἐδίδαξε πολι τεύεσθαι. Ταῦτα δὲ ὁ θρόνος αὐτοῦ, ἡ βα σιλεία [η ] κατώρθωται. Αλλο νεφέλη, καὶ α λλο γνόφος. Νεφέλη ἐστὶν ἐκ φωτοβόλου ἀέρος φεγγοβόλον καὶ λεπτότατον υ φασμα. Νέφος δὲ [λ. γνόφος] ἀχλυώδης καὶ ὁμιχλώδης σκοτασμός. Προσ έταξε δὲ τὴν νεφέλην, ο τι πρῶτον ἡ θεότης καὶ τότε ἡ ἀνθρωπότης. Η τὴν λεληθυῖαν αὐτοῦ ἐν ἀνθρώποις κάθοδον σημαίνει. Αἰ τία δὲ γέγονε, φησὶ, τῆς ἀφέσεως τὸ κρῖναι δικαίως τὴν κρίσιν ἡμῶν, η ν ε χομεν δηλαδὴ πρὸς τὰς πονηρὰς καὶ ἀντικειμένας δυνάμεις. Η βούλεται εἰπεῖν ο τι ἀοράτως παρεγένετο τοῖς τόποις τῶν πολεμίων, καὶ ἐδίκασε, καὶ ε δειξε τὴν βασιλείαν αὐτοῦ δικαιοσύνης πε πληρωμένην. Η νεφέλη καθ' ο γινώσκεται, γνόφος δὲ καθ' ο οὐ καταλαμβάνεται. Καὶ γὰρ νεφέλη μὲν φωτεινὴ διδάσκει τὰ περὶ Ἰησοῦ τοὺς ἀποστόλους. Μόνον δὲ Μωσῆς εἰσέρχεται εἰς τὸν γνόφον ο που η ν Θεὸς, ο ς ε θετο σκότος ἀποκρυφὴν αὐτοῦ. Δυνάμει δὲ κατορθοῦσθαι ευ χεται τὸν θρόνον Θεοῦ, ὁ λέγων· Ἐλθέτω ἡ βασιλεία σου. 96.4 Εφαναν αἱ ἀστραπαὶ τῇ οἰκουμένῃ. Ἀστραπή ἐστι διδασκαλία πνευματικὴ ἀπὸ τῶν νοητῶν νεφελῶν γενομένη, αι ς πολλάκις ἐντέλλεται Κύριος ἐργαζομένοις μὴ βρέξαι ἐπ' αὐτοὺς ὑετὸν, ι να γίνηται λι μὸς, οὐκ α ρτου, οὐδὲ δίψα υ δατος, ἀλλὰ λι μὸς τοῦ ἀκοῦσαι λόγον Κυρίου. 96.5 Τὰ ο ρη ἐτάκησαν ὡσεὶ κηρὸς ἀπὸ προσώπου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ Κυρίου. Ὅπερ πήγνυσιν ὁ Βοῤῥᾶς, τοῦτο τήκει ὁ νότος. Διὸ καλῶς λέγει ἡ νύμφη ἐν τοῖς ᾄσμασιν τῶν ᾀσμάτων· Ἐξεγείρου, Βοῤῥᾶ, καὶ ἔρχου, νότε, διάπνευσον κῆπόν μοι, καὶ ῥευσάτω ἀρώματα. 96.7 Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχόμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν. Τὸ γλυπτὸν, ἤτοι διὰ τὴν φύσιν προσκυνητὸν, ἢ διὰ τὸ σχῆμα. Καὶ εἰ μὲν διὰ τὴν φύσιν ἐστὶ προσκυνητὸν, λεγέτωσαν διὰ τί μὴ πάντες οἱ λίθοι προσκυνητοί. Εἰ δὲ διὰ τὴν γλυφὴν τὸ σχῆμα προσκυνητὸν, καὶ οὐχ ἡ φύσις, ἀλλὰ πᾶν σχῆμα σώματος προσδέεται πρὸς τὸ εἶναι. Ὁ δὲ Θεὸς οὐδενὸς χρήζει πρὸς τὸ ὑπάρχειν, οὐκ ἄρα τὸ σχῆμα Θεός· εἰ δὲ μὴ Θεὸς, οὐ προσκυνητόν. Πάλιν τοῦ σχήματος γένος ἡ ποιότης· τοῦ δὲ Θεοῦ οὐκ ἐστὶ γένος ἡ ποιότης· οὐκ ἄρα τὸ σχῆμα Θεός. Καὶ εἰ μὲν τὸ σημαινόμενον ὑπὸ τοῦ γλυπτοῦ λέγοιεν εἶναι προσκυνητὸν, εἰπάτωσαν τί τὸ σημαινόμενον. Πότερον σῶμά ἐστιν ἢ ἀσώματον; καὶ εἰ μὲν σῶμα, οὐ προσκυνητόν· οὐδὲν γὰρ τῶν συνεστώτων ἐκ τῶν τεσσάρων στοιχείων προσκυνητὸν διὰ τὸ εἶναι φθαρτόν. Εἰ δὲ ἀσώματον λέγοιεν, πάλιν ἐρώτησον πότερον ἔχει γνῶσιν ἢ οὐκ ἔχει. Καὶ εἰ μὲν ἔχει γνῶσιν, πεποίηται καὶ διπλοῦν ἐστιν. Εἰ δὲ διπλοῦν, οὐ Θεός. Ἴδιον γὰρ Θεοῦ ἡ ἁπλότης. Εἰ δὲ οὐκ ἔχει γνῶσιν, τυφλόν ἐστι, μηδὲν ἐπιστάμενον. Εἰ δὲ αὐτόγνωσίς ἐστι, λεγέτωσαν πῶς σχῆμα τὸ ἐν τῷ λίθῳ σύμβολόν ἐστι γνώσεως. 96.11 Φῶς ἀνάτειλε τῷ δικαίῳ. Ἐπὰν σπείρῃ ἑαυτῷ εἰς δικαιοσύνην τρυγήσας καρποὺς ζωῆς καὶ φωτίσῃ ἑαυτῷ φῶς γνώσεως, φῶς ἀνατέλλει τῷ δικαίῳ. 97.2 Ἐναντίον τῶν ἐθνῶν, ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. Πάντα μὲν τὰ κατὰ πρόνοιαν δικαιοσύνη Θεοῦ γίνεται, ἐπικεκαλυμμένη δὲ καὶ μὴ νοουμένη, ἕως αὐτὴν ἀποκαλύψῃ καὶ φανερώσῃ ὁ Θεὸς ἐν καιρῷ τοῖς ἁγίοις. Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν. 97.3 Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Ἐὰν μή τις γένηται ἐν τοῖς πέρασι τῆς γῆς, οὐ δύναται ἰδεῖν τὸ σωτήριον τοῦ Θεοῦ· ὁ γὰρ τοιοῦτος οὐκ ἐστὶν ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι. 97.5,6 Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ, ἐν σάλπιγξιν ἐλαταῖς καὶ φωνῇ σάλπιγγος κερατίνης. Ὑψώθη ὁ Θεὸς, κέρας Χριστοῦ αὐτοῦ, φησὶν ἡ μήτηρ Σαμουὴλ Ἄννα. Ἀπὸ τούτου γοῦν τοῦ κέρως ἐστὶν ἡ κερατίνη, ἐν ᾗ ψάλλομεν. Εἰσὶ δὲ καὶ ἄλλαι ἐλαταὶ σάλπιγγες, τῷ ἀργυρίῳ τοῦ λόγου ἐληλασμέναι. Καὶ σαλπίζουσι μὲν ἐλαταῖς οἱ τὸν λόγον τῆς ἀληθείας λαμπρῶς καὶ διαφόρως προφέροντες, τῇ δὲ κερατίνῃ οἱ ἀπομάχεσθαι τῷ λόγῳ δυνάμενοι πρὸς σοφίσματα καὶ λόγους ἀπατηλούς· ἀμυντήριον γὰρ τὸ κέρας τοῖς ἔχουσιν. Ὅταν οὖν καὶ ἐν τοῖς ἐλέγχοις ἱκανῶς καὶ μεγάλως φωνῇ τις κερατίνην σάλπιγγα ἠχεῖ, καὶ ἐπίστησον εἰ ὁ ἐξεγητὴς τῆς θείας παιδεύσεως ἐλατῇ μὲν χρᾶται σάλπιγγι, διδακτικῶς καὶ ἀποδεικτικῶς προφέρων τοὺς λόγους· κερατίνῃ δὲ, ἐπιστομίζων τοὺς ἀντιλέγοντας τῇ ἀληθείᾳ. Ἡ κερατίνη σάλπιγξ σύμβολον νίκης ἐστίν. οἱ γὰρ Ἑβραῖοι νικῶντες ἐν τοῖς πολέμοις τῇ κερατίνῃ ἐσάλπισαν· οὕτως καὶ Ἰωὰβ νικήσας τὸν Ἀβεσσαλὼν, ἐσάλπισεν τῇ κερατίνῃ. Ὅστις οὖν κατὰ τὸν ἀπόστολον δύναται εἰπεῖν· Τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα, οὗτος νικήσας τὸν ζητοῦντα λαβεῖν τὴν βασιλείαν τοῦ Χριστοῦ ἡμῶν τοῦ Δαυὶδ, ἐσάλπισεν τῇ κερατίνῃ. – Ἅμα δὲ καὶ ἰστέον ὅτι πολλαχοῦ τὸ κέρας νοὺς λέγεται τοῦ ἀνθρώπου, ὡς τό· Ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου, τουτέστιν ὁ νοῦς. Ὑψοῦται γὰρ τῷ Θεῷ τῷ ὄντι ἐν τοῖς ὑψίστοις ἀκολουθῶν. Ἰδεῖν διηνεκῶς ἐν ταῖς ἐκκλησίαις πληρούμενον. Τῇ γὰρ πνευματικῇ κιθάρᾳ τοῦ Δαυὶδ τὴν θείαν ἀνακρουόμεθα μελῳδίαν. Ποιῶμεν δὲ ἡμᾶς λογικὴν κιθάραν τὰ ἡμέτερα σώματα, καὶ χρώμεθα ἀντὶ μὲν χορδῶν τοῖς ὀδοῦσιν, ἀντὶ δὲ χαλκοῦ τοῖς χείλεσι. Πλῆκτρον γὰρ παντὸς ὀξύτερον κινουμένη ἡ γλῶττα τὴν ἐναρμόνιον ἀποτελεῖ τῶν κρουμάτων ἠχήν· κινεῖ δὲ τὴν γλῶσσαν ὁ νοῦς, οἱόν τις μουσικὸς ἐπιστήμων, τὴν ταύτης ποιούμενος μετάβασιν ἢ κιθάραν. –Τὸ μὲν οὖν πεπυρωμένον καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκτεταμένον καὶ βεβασανισμέ νον τοῦ εὐαγγελικοῦ κηρύγματος διὰ τῶν ἐλατῶν, ει τουν κεχαλκευομένων σαλπίγγων σημαίνει· διὰ δὲ τῆς κερατινῆς τὸ βασιλι κὸν, καθὸ τῷ κέρατι ἐχρίοντο οἱ βασιλεῖς, ἀλλὰ καὶ ἐν κερατινῇ τῆς βασιλείας τὴν ἐκ φώνησιν ἐποιοῦντο. 97.7 Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλή ρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ οἱ κατοικοῦν τες αὐτήν. Σαλεύεται ου ν τὸ κινούμενον· κινεῖται δὲ τὸ μεταβαλλόμενον. Θάλασσαν ου ν τὸν πα ρόντα βίον καλεῖ, διὰ τὸ ἁλμυρὸν τῶν ἐν αὐ τῷ φροντίδων. Κεκίνηται ου ν ἐκ τῆς προτέ ρας στάσεως, τουτέστι τῆς εἰδωλολατρείας. Η τάχα τῶν υ μνων ἐπιτελουμένων τῷ Θεῷ, πᾶσα ἡ κτίσις σκιρτάτω, καὶ αὐτὰ τὰ στοι χεῖα σκιρτᾶσθαι καὶ ἀγαλλιᾶσθαι ὑφ' ἡδονῆς προτρέπεται. Ει ποι α ν τις σημαίνεσθαι διὰ τούτων καὶ τὴν συντέλειαν τοῦ παντὸς βίου. 97.8 Ποταμοὶ κροτήσουσι χειρὶ ἐπιτοαυτό. Βούλεται γὰρ κατὰ μέρος τὴν κτίσιν α πασαν εἰπεῖν, ὡς διὰ πλειόνων προσώπων πληθυνθῆναι τὸν υ μνον. 97.9 Οτι η κει κρῖναι τὴν γῆν, κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ καὶ λαοὺς ἐν εὐ θύτητι. Οτι ε ρχεται δὲ, ἀντὶ τοῦ ο τι ἐπανέρχεται νικήσας καὶ δικάσας τῇ γῇ τῶν Βαβυλωνίων· καὶ οὐ θαυμαστὸν εἰ Βαβυλῶνα ε κρινεν· αὐ τὸς γάρ ἐστιν ὁ τῇ οἰκουμένῃ δικάζων, καὶ πᾶσι δίκαιαν ἀπονέμων τὴν κρίσιν. 98.2 Κύριος ἐν Σιὼν μέγας, καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς. Καὶ τῶν Ἰουδαίων ἐπανελθόντων, καὶ τὸν θεῖον δειμαμένων ναὸν, τοῦ Θεοῦ δύναμις α πασιν ἀπεδείχθη· διαφερόντως δὲ ὁ τὸν σταυ ρὸν ὑπομείνας, τῆς οἰκουμένης ἁπάσης ἀπε δείχθη δεσπότης, τῶν ἀποστόλων τὸ σωτήριον κήρυγμα προσενεγκάντων τοῖς ε θνεσι. Σιὼν δέ ἐστι ἡ ἐκκλησία ἐν ῃ δοξάζεται καὶ ὑψοῦ ται Χριστός. – Η ἐπεὶ Σιών ἐστιν ὁ ση μαίνει σκοπευτήριον, ου τως δὲ ὀνομάζει καὶ ἡ γραφὴ τὸ θεοσεβὲς πολίτευμα τῶν τὰ οὐ ράνια σκοπούντων, τοῦτο δηλοῖ ου ν τὸν τρό πον. Παρὰ τούτοις ου ν μέγας ἐστὶ Κύριος. Εἰ δὲ καὶ Σιών ἐστιν ἐπουράνιος Ἱερουσαλὴμ κατὰ τὸν ἀπόστολον, ει ποις α ν ἐν τῇ ἐπουρανίῳ Σιὼν μέγαν ει ναι τὸν Κύριον. 98.6 Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ο νομα αὐτοῦ· ἐπεκαλοῦντο τὸν Κύριον, καὶ αὐτὸς ἐπήκουσεν. Ου τος ἐπικαλεῖται τὴν δικαιοσύνην ὁ δι καιοπραγῶν, καὶ ἀλήθειαν ὁ μὴ ψευδόμενος, καὶ τὴν ἀγάπην ὁ μὴ μισῶν. 98.9 Καὶ προσκυνεῖτε εἰς ο ρος α γιον αὐ τοῦ. Μηδεὶς οἰέσθω κάτω τινὰ ο ντα τοῦ ἁγίου ο ρους, ο περ ἐστὶ Χριστὸς, ο λος καὶ σοφία κυρίως καὶ ἀληθῶς προσκυνεῖν τῷ Θεῷ· ἀλλὰ καὶ σημείωσαι ο τι πρῶτον μὲν ἐν τοῖς ἀνωτέρω μετὰ τοῦ ὑψίστου Κυρίου τοῦ Θεοῦ ἡμῶν λέγεται· καὶ προσκυνεῖται τὸ ὑποπό διον τῶν ποδῶν αὐτοῦ· νῦν δὲ δέον μετὰ τὸ αὐτὸ εἰρημένον δεύτερον ἐπιφέρεται εἰς ο ρος α γιον αὐτοῦ. 99.2 Δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ. Ὁ μὲν ἐκ λύπης η ἐξ ἀνάγκης δουλεύων τῷ Κυρίῳ, διὰ τοῦ εἰς φόβον δουλεύειν, πνεύ ματος οὐκ ἐν εὐφροσύνῃ δουλεύει τῷ Κυρίῳ, ὁ γὰρ ἀγαπῶν ἐν ἐνεργείᾳ εὐφραίνεται. 99.3 Λαὸς αὐτοῦ καὶ πρόβατα τῆς νομῆς αὐτοῦ, εἰσέλθατε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, τὰς αὐλὰς αὐτοῦ ἐν υ μνοις. Λαὸς, οἱ κρείττους· πρόβατα, οἱ ὑποβε βηκότες· τῶν μὲν γάρ ἐστι δεσπότης, τῶν δὲ ποιμήν. Σημείωσαι δὲ ο τι τὴν μὲν ἐξ ομολόγησιν ταῖς πύλαις ἀπένειμεν, ει τα κα θαρθέντας εἰς τὰς αὐλὰς εἰσιέναι, καὶ τῶν υ μνων κατατολμᾶν· πύλας καὶ αὐλὰς τὰς ἐκκλησίας καλεῖ· αυ ται γὰρ ἡμῖν τὴν πρὸς αὐτὸν παρέχουσιν ει σοδον, ἐν αι ς τοὺς εἰ σιόντας προσήκει αἰσίως τὰς εὐχαριστίας ἀ ναφέρειν, ἀπογυμνοῦντας διὰ τὰς ὁμολογίας τὰ τραύματα τῷ ἰατρῷ τῶν ψυχῶν· ε πειτα θαῤῥοῦντας αἰνεῖν ο τι χρηστόν ἐστι· τὰ δὲ περὶ χρηστότητος καὶ ἐλέους εἰς πάντα και ρὸν ἀπαγγελλείσθω καὶ ἐν πάσῃ γενεᾷ· ἀ ληθείας γὰρ γέμουσιν οἱ λόγοι αὐτοῦ. Πύλαι Θεοῦ αἱ εἰς τὰς ἀρετὰς εἰσαγωγαί. Δεῖ ου ν τοὺς ἀρχομένους εἰσέρχεσθαι, ἐξομολογεῖσ θαι. Εἰσελθόντας δὲ, ει τα προσκόψοντας ὑ μνεῖν τὸν Θεόν. Πύλας τοῦ Κυρίου τὴν ἐπὶ γῆς ἐκκλησίαν φησιν, ἐν ῃ ἐξομολογεῖσθαι δεῖ πρότερον ἐξαγγέλλοντας τὰ ἁμαρτήμα τα, τάς τε εἰς ἡμᾶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενομένας ἀφηγεῖσθαι εὐεργεσίας. Πύλαι σοφίας αἱ ἀρεταὶ, διὰ γὰρ αὐτῶν εἰσερχόμεθα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. 100.2 Ψαλῶ καὶ αἰνέσω ἐν ὁδῷ ἀμώμῳ. Πότε η ξεις πρὸς μέ. ᾿Εὰν μὴ ἐν ἀμώμῳ [ὁδῷ] γένηταί τις, ἐν βουλῇ ἀσπίλῳ οὐ συνήσει. ο σος γὰρ ἐν ἀμώ μῳ μὴ μένει ὁδῷ, τίς ἐστιν; οὐ συνήσει τόδε· Πότε η ξεις πρὸς μέ; Διηγήσῃ ου τως· θνητὴ φύσις οὐ φθάνει πρὸς Θεὸν, οὐδὲ γὰρ δύνα ται. Διὸ ὁ Θεὸς ε ρχεται πρὸς τὸν α ξιον. Εστι δ' ο τε μονὴν περὶ τῷ τοιούτῳ ποιεῖται μετὰ τοῦ συναϊδίου Υἱοῦ. –῾Ο εἰρηκὼς τῷ Θεῷ· Πότε η ξεις πρός με, τίνα καὶ πόσα εὐτρέπι σεν πρὸς ὑποδοχὴν αὐτοῦ, καταλέγει. Πλὴν τοῦτο ἰστέον, ο τι χωρὶς Θεοῦ τὸν περὶ προ νοίας καὶ κρίσεως λόγον νοῆσαι ἀδύνατόν ἐστιν· διόπερ καὶ ου τος βουλόμενος ἐφα ψᾶσθαι τοῦ λόγου τούτου, Θεὸν καλεῖ πρὸς βοηθείας ἑαυτοῦ, ὡς ε νι μάλιστα μακαρίσαι. 100.5 ῾Υπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. ῾Υπερηφανία ἐστὶν μίμησις μεγαλοψυ χίας. 101.2 Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθάτω. Ει ρηται δὲ ὡς κραυγή ἐστιν οὐχ ἡ ἐν προσφορᾷ, ἀλλ' ἡ τῆς νοήσεως ἐπίτασις. Τὸ τὴν κραυγὴν ἡμῶν εἰσελθεῖν πρὸς τὸν Θεὸν, καλὸν ἡμῖν ἐστιν· ἡ μὲν προσευχὴ τὴν ἱκε τηρίαν ἡμῶν δηλοῖ πρὸς Θεόν· ἡ δὲ δέησις τὴν αι τησιν, τὴν περὶ ω ν βούλεται αὐτῷ τῷ δεομένῳ παρασχεθῆναι· ταῦτα δέ ἐστι τὰ κυρίως ἀγαθὰ, τῷ Θεῷ πρέπον διδόναι, καὶ τοῖς αἰτοῦσι συμφέρει λαβεῖν. 101.3 Μὴ ἀπεστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, ἐν ῃ α ν ἡμέρᾳ θλίβομαι, κλῖνον τὸ ου ς σου πρὸς μὲ, ἐν ῃ α ν ἡμέρᾳ ἐπικα λέσομαί σε, ταχὺ εἰσάκουσόν μου. ᾿Αποστρέφει ου ν τὸ πρόσωπον ὁ Θεὸς ἀπὸ τῶν αἰτούντων, ο ταν αἰτῶσιν λαβεῖν α μὴ προσήκει Θεῷ δοῦναι. ῾Ο δὲ α γιος οὐ τὸ μὴ λυπεῖσθαι ζητεῖ, ἀδύνατον γὰρ τοῦτο· ἀλλ' ω στε ὑπομένειν καὶ χαίρειν. Παῤῥησίας δὲ ἐξ ἀγαθῶν πράξεων, τὸ εἰπεῖν· Μὴ ἀπο στρέψῃς· ἐφ' ου ἀποστρέφει τὸ πρόσωπον ὁ Κύριος, οὐκ ἐρεῖ τό· ᾿Εσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου. –Κλῖνον, λέ γει, διὰ τὸ μὴ ἐφικνεῖσθαι τὴν ἀνθρωπίνην κραυγὴν τοῦ τῆς θεότητος υ ψους. 101.4-6 Οτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡ μέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγισαν· ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ο τι ἐπελαθόμην τοῦ φαγεῖν τὸν α ρτον μου, ἀπὸ φωνῆς τοῦ στε ναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρ κί μου. Τοῦ λογιζομένου ὡς καπνὸν ει ναι τὰ ἀν θρώπινα, ὡς καπνὸς ἐξέλιπον αἱ ἡμέραι, διὸ οὐκ ἐν καυχήματι ταῦτα λέγεται ὑπὸ τοῦ προφήτου· ἀλλὰ τὰ ὀστᾶ συνεφρύγησαν πάν τως ου καθίκετο λόγος. ᾿Αλλαχοῦ δέ φησι· Πάντα τὰ ὀστᾶ μου ἐροῦσιν. –Καὶ ἐξηράν θη ἡ καρδία μου κτλ. Ξηραίνεται νοῦς υ δα τος πνευματικοῦ ἀπορῶν, τοῦ ῥέοντος ἐκ τῆς πηγῆς τῆς ζωῆς. –῾Ο πάσῃ δυνάμει ἐν τῷ λόγῳ τοῦ Θεοῦ τυγχάνων ἐπιλανθάνεται φαγεῖν τὸν τοῦ σώματος α ρτον, τὸ δὲ ἑξῆς ἐρεῖ, ὡς οὐκ ἐλιπάνθη, οὐδ' ἐπαχύνθη, ἀλλὰ στενάζει, ω ν ἐν τῷ σκήνει. 101.7 ῾Ωμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγε νήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ, ἠγρύ πνησα, καὶ ἐγενήθην ὡσεὶ στρουθίον μονά ζον ἐπὶ δόματι. Πάντα λέγει τὰ ο ρνεα τὰ χαίροντα ἐρη μίας· ω ν κατὰ τὴν ὁμοιότητα κἀγὼ μονού μενος, καὶ τὰς νύκτας βοῶν, μισητὸς τοῖς ἀκούουσιν ἐγενόμην, η ἐκκλίνων τὰς τῶν πονηρῶν συνουσίας, ἐμονώθην καὶ ἐξηνθρώ πιζον. Τὸ οἰκόπεδον δὲ ὁ Σύμμαχος ἐρεί πιον ει πεν. Η τῷ ὁμοιωθῆναι πελεκᾶνι πα ρίστησι τὴν ἐρημίαν τοῦ ε θνους, παρ' ου ταῦ τα λέγει. –Πολλαῖς κέχρηται παραβολαῖς, ἀξίως βουλόμενος παραστῆσαι τὰς συμφο ράς· δι' ε καστον δὲ τῶν εἰρημένων ὀρνίθων τὴν δειλίαν δηλοῖ καὶ τοῦ κηδεμόνος τὴν ἐρημίαν. Τό τε γὰρ στρουθίον ὑπ' ἀγωνίας ἐξελαύνει τὸν υ πνον, καὶ ὁ νυκτικόραξ τὰς οἰκουμένας φεύγων τῶν οἰκείων, ταῖς ἐρή μοις προστρέχει καταλελεμμένος· ου τω καὶ τὸ α λλο ο ρνεον ταῖς ἐρήμοις ἐνδιαιτᾶται· διὰ τούτων δὲ παρίστησι τὴν ἐρημίαν καὶ τὴν μόνωσιν αὐτοῦ ὁ προφήτης, ο ς φεύγων τὰς πολυάνδρους τῶν πόλεων, τὴν ἠρεμίαν ἠσπάζετο, διδάσκων καὶ ἡμᾶς, ο τι δεῖ τὰς εὐχὰς ποιεῖσθαι μετὰ σχολαζούσης καὶ γα ληνῆς διανοίας· συμφέρει γὰρ τῇ ψυχῇ τὴν τῶν βιωτικῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πραγμάτων ἐρημίαν με τέρχεσθαι. Εἰ δὲ ἐν ο ρεσι καὶ σπηλαίοις τὸν βίον τῶν ἀσεβῶν ἐξέκλινον οἱ τοῦ Θεοῦ α ν θρωποι, δικαίως ε λεγον τό· Ἐγεννήθην ὡσεὶ νυκτικόραξ· δι' ου δηλοῦται τὸ ὁλονύκτως ευ χεσθαι καὶ ταπεινὸν τῆς καρδίας· οὐκ ἐσ θημάτων γὰρ χρῄζει ὁ μονάζων, ὡς οὐδὲ τὸ στρουθίον οὐκ ἐπιβουλὴν δέδοικε, κατοικεῖ γὰρ ἐν δώματι, καὶ τῶν ἐπιβουλευόντων ἐσ τὶν ὑψηλότερος. –Ει η δ' α ν καὶ ὁ προφη τικὸς χορὸς τὴν ἐρημίαν κλαιόμενος καὶ ἀ πόπτωσιν· καὶ οὐ μόνον, φησὶν, ὑπὸ τῶν ἐχθρῶν ὠνειδιζόμην καὶ ἐμισούμην, ἀλλὰ καὶ οἱ πρότερον θαυμάζοντες τὰ ἐμὰ, ο ρκον ἐποιοῦντο, [διὰ] τὰς ἐμὰς συμφορὰς φάσκον τες· Μὴ τάδε πάθοιμι ὡς ου τος! –Τὸν πε λεκᾶνα τοῦτόν φασιν τῷ οἰκείῳ αι ματι ἐγεί ρειν τὰ τεθνηκότα τῶν τέκνων. 101.12 Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθη σαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην. Σκιὰ γάρ ἐστιν ὁ βίος ἡμῶν ἐπὶ τῆς γῆς. Ἀνωτέρω μὲν περὶ μόνης ει πε τῆς καρ δίας· Ἐπλάγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου· νῦν δὲ περὶ ο λου τό· Καὶ ἐγὼ ὡς χόρτος ἐξηράνθην. 101.13 Σὺ δὲ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γε νεάν. Καὶ τοῦτο δὲ σὲ μάλιστα ἐπικάμψαι ὀφεί λει, Δέσποτα, ο τι τὸ ἡμέτερον ὀλιγοχρόνιον καὶ ἐπίκαιρον καὶ συμφοραῖς συνεζευγμένον, τὸ δὲ σὸν ἀΐδιον καὶ ἀπαράτρεπτον καὶ ἀθά νατον, ω στε δυνατὸν ει ναι χαρίσασθαί μοι τῶν παρόντων μεταβολήν. Διὸ ἐπάγει· 101.14 Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιὼν, ο τι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ο τι η κει καιρός. Οἰκτειρήσεις, ἀντὶ τοῦ· φιλανθρωπώθητι πρὸς τὴν Σιὼν, καὶ ο τι ὁ καιρὸς τὸ ε λεος ἀπαιτεῖ· ὁ γὰρ τῆς ταλαιπωρίας, ἡμῶν χρόνος. Λέγει δὲ τὰ ἑβδομήκοντα ε τη συν τετελέσθαι, καὶ ἐπιποθοῦμεν τὴν ἐκεῖ οι κη σιν καὶ τὰ ἐν αὐτῇ ἐδάφη λίαν, καὶ τῶν ἐκ τῆς πορθήσεως σχισμάτων ἡ μνήμη οι κτον ἡμῖν ἐντίθεται. Τούτου γὰρ γενομένου, φό βος τοὺς περιοικοῦντας λήψεται, καὶ ὡς πολλὰ δυνηθέντες δοξάσουσιν. –Νῦν τὴν Σιὼν τὴν φύσιν λέγει τὴν λογικὴν, τὴν πε φυκυῖαν σκοπεύειν τὰ ἐπουράνια. 101.15 Οτι ηὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρή σουσι. Χοῦν οἰκτειρήσουσι, τουτέστι τοὺς χοϊ κούς. 101.16,17 Καὶ φοβηθήσονται τὰ ε θνη τὸ ο νομά σου, Κύριε, καὶ πάντες οἱ βασιλεῖς τὴν δόξαν σου, ο τι οἰκοδομήσει Κύριος τὴν Σιὼν, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ. Τὰ μὲν ε θνη φοβηθήσονται τὸ ο νομα Κυ ρίου, οἱ δὲ κρείττονες αὐτῶν, οἱ βασιλεῖς τὴν δόξαν αὐτοῦ, ο τι ᾠκοδόμησε τὴν Σιών· ὁ δὲ φόβος ου τος, φησὶ, γενήσεται, ἐπὰν ἀ ρέσῃ σοι τὴν Σιὼν οἰκοδομήσειν, καὶ τὴν σὴν πάλιν δόξαν ἐν τῷ ναῷ δεῖξαι, η ἐπεὶ ἀσθε νείας τοῦ Θεοῦ κατεγίνωσκον, ὡς μὴ ἰσ χύοντος τῆς δουλείας ἐκσπᾶσαι Ἰούδαν. Δό ξαν αὐτοῦ καλεῖ τὴν τῆς πόλεως νεουργίαν, ἀντὶ τοῦ πάλιν τὴν Σιὼν οἰκοδομηθῆναι ἐν τῇ προτέρᾳ δόξῃ· ο ψονται τὸν τῶν ο λων Θεόν. Καὶ τάχα κατὰ τὴν πρώτην ἐπιδη μίαν οἰκοδομήσει Κύριος τὴν Σιὼν, κατὰ δὲ τὴν δευτέραν ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ. Η καὶ ου τως· γενόμενος σὰρξ ο λως, καὶ σκηνώσας ἐν ἡμῖν, ᾠκοδόμησε τὴν ἐκκλη σίαν, πνευματικῶς Σιὼν ὀνομαζομένην. Ὀφ θήσεται δὲ ἐν τῇ δόξῃ αὐτοῦ, ο ταν σκηνώ σαντος ἐν ἡμῖν αὐτοῦ, θεασώμεθα τὴν δό ξαν αὐτοῦ πλήρους χάριτος καὶ ἀληθείας. Ορα δὲ ο πως αι τιόν ἐστι τῆς τῶν βασιλέων ὑποταγῆς καὶ τῆς τῶν ἐθνῶν ἐπιγνώσεως ἡ τῆς Σιὼν οἰκοδομὴ, οὐ τοῦ ἱεροῦ λίθοις, ἀλ λὰ θαύμασι καὶ χαρίσμασι πνευματικοῖς καὶ μυστηρίοις ἐνδόξοις· οἰκοδομὴ ω φθη ἐν τῇ δόξῃ αὐτοῦ, ἡνίκα μέσος τῶν ἀποστόλων ε στη, ἐπὶ τὴν ε ρευναν προτρεπομένου τοῦ Θωμᾶ ἀπιστήσαντος· δόξαν δὲ τὰ πάθη δια φόρως λέγει. – Η καὶ ου τως, ἡ οἰκοδο μουμένη ἀπὸ Κυρίου ἐκκλησία ἡ Σιών ἐστι, σκοπευτήριον ἑρμηνευομένη, ἐν ῃ ὀφθήσε ται ἐν τῇ δόξῃ αὐτοῦ, ει τις οἰκοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσίον, ἀργύριον, λί θους τιμίους. 101.19,20 Καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον, ο τι ἐξέκυψεν ἐξ υ ψους ἁγίου αὐτοῦ. Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέ βλεψε. Λαὸς ὁ κτιζόμενος, ει τις ἐν Χριστῷ και νὴ κτίσις. –Τὸ κτιζόμενον, η τοι πάλιν ἐ στὶν ὁ κόσμος, ἑκατέρων δὲ αὐτῶν ὁ λαὸς, καὶ τάχα νῦν ὁ ἀπὸ τῶν ἐθνῶν. –



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Εἰ μὴ ου ν ἐξέκυψεν ἐξ υ ψους ἁγίου αὐτοῦ ὁ Κύριος, οὐκ α ν η νησεν αὐτὸν λαὸς, ὁ ε τι κτιζόμενος, καὶ ε ως τῆς συντελείας κτιζόμενος, ὡς πά λαι ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ω φθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. 101.21 Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τε θανατωμένων. Πέδαι δὲ ει εν τὸ σῶμα τῆς ταπεινώσεως· υἱοὶ δὲ τῶν τεθανατωμένων λύονται ὑπὸ τοῦ λόγου. Τίνων δὲ υἱοὶ η τῶν ἀντικειμένων δυ νάμεων; οἱ γὰρ πατέρες, ω ν ὡς ζώντων ὁ Θεός ἐστιν, οὐ πεπεδημένων εἰσὶ πατέρες· ἐλεύσεται δὲ ὁ λέγων· Τεθανατωμένων τῇ ἁμαρτίᾳ τῶν πατέρων υἱοὶ δεδεμένοι ὑπὸ τοῦ Λόγου λύονται. 101.25 Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμε ρῶν μου, ἐν γενεᾷ γενεῶν τὰ ε τη σου. Δύο γενεαὶ, δυὸ λαοὶ, ἐν οι ς τὰ τοῦ Θεοῦ ἐστιν ε τη. –Ἀντὶ τοῦ· Δίδαξόν με τὴν φύ σιν τῶν ἐνταῦθα ἡμερῶν, ω ς ἐστιν ἐντελὴς καὶ βραχεῖα καὶ ὀλίγη· καὶ ἐν πληρώματι ἡμερῶν ποιήσας με γενέσθαι, ἀνάγαγέ με ἐντεῦθεν· ὁ ἐντελὴς δὲ ἐξελθὼν ἐν βίῳ καὶ γνώσει, ἐν ἡμίσει ἀνάγεται ἡμερῶν, οἱονεὶ ἐξ ἡμισείας πεφωτισμένος παρὰ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. 102.1 Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου, τὸ ο νομα τὸ α γιον αὐτοῦ. Πᾶσα δύναμις τοῦ ε σω, καὶ κατ' εἰκόνα τοῦ Θεοῦ ἀνθρώπου, οι ον ἡ νοητικὴ, καὶ διανοητικὴ καὶ ἡ ἐπιβλεπτικὴ, καὶ ἡ ὁρμη τικὴ, καὶ ἡ φανταστικὴ, καὶ αἱ λοιπαί. Εσ τι τὸ τὰς θείας χάριτας διὰ τὸ ὑμνεῖν ἀμεί βεσθαι. Ἑαυτῷ ου ν ἐγκελεύεται εὐλογεῖν τὸν Θεὸν, καὶ ὑμνεῖν, καλὸν φάρμακον ἑαυ τοῦ, τὴν εἰς Θεὸν εὐλογίαν τιθέμενος. Διὰ τῶν ἐντὸς, τὸ ἐξ ο λης ἰσχύος δηλοῖ. Η τὸ πάντα τὰ ἐντὸς, ἀντὶ τοῦ πᾶσά μου ἐνθύμη σις καὶ πᾶν νόημα· ἐντὸς γὰρ τοῦ ἀνθρώπου ἐστὶν ἡ νοητικὴ δύναμις, καὶ διανοητικὴ καὶ μνημονευτικὴ, καὶ αἱ λοιπαί. Ἐνδιατρίβει δὲ τῇ παρὰ τὸν υ μνον προτροπῇ, εἰδὼς τοῦ το ο τι ταῦτα ἀντὶ τῶν μεγαλῶν εὐεργεσιῶν ἐποφείλονται. 102.5 Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεό της σου. Τὸν παλαιὸν α νθρωπον, διὸ τῆς ἁμαρτίας ἐνδυσαμένη ἡ ψυχὴ, τὴν νεότητα αὐτῆς ἀ πωλείας καὶ ὡσανεὶ ῥυτίδος ἀνείληφεν· ο τε ου ν ποιεῖ αὐτὴν μηκέτι ε χειν σπῖλον η ῥυτί δα, ἀνακαινίζει αὐτῆς τὴν νεότητα, ὡς ἀε τοῦ. 102.7 Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋ σῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἱ μὴ γνωρίσαντες τὰ θελήματα αὐτοῦ, οὐκ εἰσὶν υἱοὶ Ἰσραήλ. 102.8 Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος. Τούτων δὲ, φησὶν, αι τιον τῶν ἀγαθῶν ἡ τῆς θείας ἀγαθότητος α βυσσος καὶ τῆς φι λανθρωπίας τὸ πέλαγος. 102.9 Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. Ἐντεῦθεν γινώσκομεν ο τι α λλο ὀργὴ, καὶ α λλο μῆνις. 102.10 Οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίη σεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀν ταπέδωκεν ἡμῖν, Ἐλάττους δὲ καὶ τὰς τιμωρίας, οὐ πρὸς ἀξίαν κολάζων. 102.12 Καθόσον ἀπέχουσιν ἀνατολὴ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Θεοῦ ἡμῖν τοῦτο χαριζομένου ο τε πόῤῥω τῆς ἡμῶν ἡμαρτιῶν ἐγενόμεθα καὶ ε ξεως καὶ διαθέσεως, καὶ ο σον κρείττονες γινόμε θα, κατὰ διάμετρον ἱστάμεθα τῆς ἁμαρ τίας· ἐκείνης μὲν γὰρ ἐπὶ δυσμῶν ὁ τόπος, τῶν δὲ ἐναρέτων κατὰ ἀνατολήν· καὶ γὰρ ὁ Χριστὸς, ἡ ζῶσα ἀρετή, ἐστιν κατὰ τὸν Ἱε- ρεμίαν ἡ ἀνατολή. 102.13 Καὶ καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν. Πατρὸς γὰρ ἀγαθότητα δείκνυσιν, ὁ δη μιουργὸς ω ν τε καὶ ποιητής· μακρὸν δὲ τοὺς φοβουμένους αὐτὸν οἰκτείρων, εἰς υἱῶν ε θετο τάξιν. Οὐδὲ γὰρ μισεῖται ου ς κατεσκεύασεν, ἀλλ' ἐπιστάμενος τὰς καρδίας τῶν ἀνθρώ πων, α ς κατὰ μόνας ε πλασεν, οι δεν τί ἑκάσ τῳ συμφέρει, καὶ ω ν ε χομεν δύναμίν τε καὶ ἀφορμὴν, ταῦτα δίδωσιν, ἐπὶ τῷ κατ' ἐνέρ γειαν ε χοντι αὐτὸς, υἱὸς αὐτοῦ γενέσθαι. Λέγοι δ' α ν καὶ ὡς πεῖραν ε λαβεν πλάσμα τος, γενόμενος σὰρξ, καὶ φυσικὴν ε χει διά θεσιν, υἱοὺς ἡμᾶς λογισάμενος. –Καθὼς οἰκτείρει πατὴρ υἱούς· ου ς γὰρ ει δε ποίημα καὶ ε ργα τῶν χειρῶν αὐτοῦ, κατῳκτείρησεν. 102.16,17 Οτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, 102.16,17 καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται εἰς τὸν τόπον αὐτοῦ. Τὸ δὲ ε λεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος ε ως τοῦ αἰῶνος ἐπὶ τοὺς φο



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βουμένους αὐτόν. Μετὰ τὸν θάνατον ἡ ψυχὴ οὐχ ὑπάρχει ἐν τῷ βίῳ τούτῳ. Εἰ μὲν ου ν φύσις ἡμῶν ἐστὶν ἐπίκηρος, ἡ δὲ θεία φιλανθρωπία τὸν μακραίωνα χαρίζεται βίον, καὶ μέχρις ἐκγό νων διατηρεῖ τὴν τοῖς προγόνοις ὀφειλομέ νην τῆς δικαιοσύνης ἀντίδοσιν. 103.1 Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε, Κύριε, ὁ Θεός μου, ὡς ἐμεγαλύνθης σφόδρα.᾿Εξομολόγησιν καὶ εὐπρέπειαν ἐνε δύσω. ᾿Εν μὲν τοῖς πρὸ τούτου ψαλμοῖς διὰ πλειόνων προτρέπεται τὴν ἑαυτοῦ ψυχὴν εὐλογεῖν τὸν Κύριον ὁ προφήτης, καὶ διεξέρ χεταί τινα περὶ αὐτοῦ ἐν αὐτῇ· η οὐδὲν λέ γων πρὸς αὐτὸν, ἐν τοῖς μεγάλοις Θεὸς μεγα λύνεται, ὁποῖος η ν ὁ προβαίνων ᾿Ισαὰκ, καὶ γενόμενος μείζων, ε ως γένηται μέγας σφόδρα, σφόδρα· καὶ Μωσῆς ὁ μέγας παρὰ πάντας ἀνθρώπους τοὺς ἐπὶ τῆς γῆς. Οὐκ οι μαι δὲ αὐτὸν ἐν τοῖς μικροῖς καὶ ἐπιδεχομένοις, διὰ τὴν μικρότητα, τὸ σκανδαλίζεσθαι, περὶ ω ν εἰσδεόμενοι, ἐντολῆς α νευ, κατευφρονήσω μεν α ν αὐτοῖς· μανθάνωμεν ου ν μὴ κατα φρονεῖν τῶν μικρῶν τούτων ... ᾿Εξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω. –Ἀντὶ τοῦ πάντα τὰ ε ργα σου εὐχαρισ τίας πεπλήρωται καὶ μεγέθους, καὶ μεγα λοπρέπειαν τοῖς πᾶσι ἐδείκνυσας, ὡς ἐξ ἱμα τίων καθαρῶν πολλάκις οἱ α νθρωποι τοῖς ὁρῶσι. Τοῦτο γὰρ αἰνίττεται τὸ ἐνεδύσω. – Γνησίως ἐξομολογούμενοι, καθ' ἑκάτερον ση μαινόμενον παρὰ τοῦ ἐξομολογεῖσθαι, ὑφαί νομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν ἐξομολόγησιν η ν ἐνδύεται. Μετὰ δὲ τὴν ἐξομολόγησιν, πάντα εὐπρεπῶς τὰ δέοντα πράξαντες, καὶ ευ ξαν τες, καὶ εὐπρεπείας ε τερον χιτῶνα ὑφαίνο μεν Κυρίῳ τῷ Θεῷ. – Η ου τως· ὁ Σύμ μαχος· Υμνον καὶ δόξαν ἠμφιέσω. Οὐκ ε σ τιν γὰρ σὲ ἀγνοοῦσιν, [ἀλλὰ] τοῖς τῶν σῶν ἀπολαύσασι ἀγαθῶν· οὐδὲ τοῖς εἰδώλοις τὸ σὸν σέβας προσφέρουσιν, ἀλλὰ σὲ ὑμνοῦσι καὶ σοὶ τὸ τῆς δοξολογίας ἐκτείνουσι χρέος. – Η ου τως· ἀφορῶντες εἰς τὴν σὴν πρό νοιαν, [σὲ] ω δέσποτα, μεγαλύνομεν, τῆς σῆς προνοίας τὸ μέγεθος ἐκπληττόμενοι· ου τως τὴν ἡμετέραν ἐξομολόγησιν καὶ εὐ πρέπειαν, τουτέστι μετὰ αι νου δοξολογίαν, ω σπερ τι περιβόλαιον ἀμφιέννυσαι, η τὸ ἐν μεγάλοις καὶ ὑπεραίρουσιν ε χων τὸ πρέπον. ᾿Εξομολόγησις δὲ τὸ πᾶσαν συμφωνίαν τῶν ἐναρμονίων ε χει παραυτά· ἀλλὰ καὶ ἐνδύ σασθαι μεγαλοπρέπειαν καὶ τὴν ἐξομολόγη σιν φησίν. 103.2 ᾿Αναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκ τείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν. Γινόμενοι δὲ φῶς, ω στε λάμψαι τὰ ε ργα ἡμῶν ε μπροσθεν τῶν ἀνθρώπων, α λλο ἱμά τιον τῷ Κυρίῳ κατασκευάζομεν εἰς δόξαν αὐτοῦ, ο ντος ἡμῶν Πατρὸς τοῦ ἐν τοῖς οὐ ρανοῖς. –᾿Εκτείνων τὸν οὐρανὸν ὡς δέῤῥιν. Τὴν τῆς δημιουργίας εὐκολίαν διὰ τούτων ἐδήλωσεν; ὡς γὰρ ἀνθρώπῳ ῥᾴδιον δέῤῥιν ἐκτεῖναι πρὸς τὸ ποιῆσαι σκηνὴν, ου τως ὁ τῶν ο λων Θεὸς τὰ μεγάλα τῶν οὐρανῶν διε πέτασε κύτη, λόγῳ μόνῳ χρησάμενος. 103.5 ᾿Εθεμελίωσε τὴν γῆν ἐπὶ τὴν ἀσφά λειαν αὐτῆς. ῾Ο δὲ᾿Ακύλας καὶ ὁ Σύμμαχος·᾿Επὶ τῆς ε δρας αὐτῆς. 103.6 Αβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ. Εἰπὼν τὰ περὶ τῆς γῆς, μετέβη ἐπὶ τὸ υ δωρ, ἑβραϊκῷ η θει ἀῤῥενικῶς εἰπὼν τὸ α βυσσος, διὸ ἐπήγαγε τὸ αὐτοῦ. Καὶ γὰρ᾿Α κύλας καὶ Θεοδοτίων· Αβυσσον ὡσεὶ ε νδυ μα περιέβαλες αὐτὴν, η τοι τῇ ὑγρᾷ οὐσίᾳ τὴν γῆν περιέσχες· πανταχόθεν γὰρ υ δασι περιέχεται. Τὴν γὰρ ὑγρὰν οὐσίαν α βυσσον ἐκάλεσε, η τις πάσῃ τῇ γῇ ὡς ἱμάτιον περι κέχυται. Οι ον καὶ τὴν α βυσσον, φησὶν, ου τως συνέχεις καὶ περιβάλλεις, ὡς ει τις πε ριβολαίῳ καὶ ἱματίῳ περιβάλοι τι πρᾶγμα καὶ συνέχοι αὐτὸ ἐν τῷ μέσῳ· διὰ ταύτην ου ν τὴν αἰτίαν ὡς συνεχομένη μὲν ὑψοῦται, ἁπλωθῆναι δὲ πέρα τῶν οἰκείων ο ρων οὐ δύ ναται. ἀλλ' ο ταν ὑψωθῇ, ω σπερ ἐπιτίμησιν δεχομένη, δειλιᾷ καὶ συστέλλεται· μήποτε δὲ οι δεν αὐτὴν ἀκίνητον καὶ ἐν τῷ κέντρῳ. Τοῦτο καὶ οἱ ἑξῆς στίχοι δηλοῦσιν. 103.7,8 ᾿Επὶ τῶν ὀρέων στήσονται υ δα τα, ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσωσιν. ᾿Αναβαίνου σιν ο ρη καὶ καταβαίνουσιν πεδία εἰς τὸν τό πον, ο ν ἐθεμελίωσας αὐτῷ. Υδατα, ἀντὶ τοῦ· ὑψούμενα μὲν, ο ρη μι μοῦνται, καὶ ὡς ο ρος ε στηκεν. Καὶ τί τὸ με τὰ ταῦτα; ἐπιτιμᾷς αὐτοῖς, βροντὰς ἐπάγων, καὶ τρόπον τινα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δειλιῶντα εἰς τὴν οἰκείαν τάξιν ἀποκαθίσταται. Ὑψοῦται μὲν γὰρ τὰ κύματα ὡς ο ρη. Λείπει γὰρ τὸ ὡς, ι ν' ῃ· Ἀ ναβαίνουσιν ὡς ο ρη τὰ υ δατα ὑπὸ τῶν ἀνέ μων ἐξοιδαινόμενα. Οὐ μὴν καὶ διαμένουσιν ου τως, ἀλλὰ καταστορούμενα πάλιν πεδίοις, ὁμαλέσιν ἀφομοιοῦνται, καὶ ταῦτα, φησὶ, γίνεται ἐν τῷ τόπῳ ἐν ῳ τὴν θάλασσαν πε ριγεγράφθαι προσέταξας. –Στήσονται υ δα τα, ἐπὶ τῶν ἐν ἀγνοίᾳ ο ντων στήσεται ἡ γνῶσις. 103.10,11 Ὁ ἀποστέλλων πηγὰς ἐν φά ραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται υ δατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ο ναγροι εἰς δίψαν αὐτῶν. Καὶ τοῦτο τῆς σῆς προνοίας ἐστὶν ε ργον, τὸ μὴ μόνον διὰ τῆς περὶ χειμάῤῥους ω ρας ἐν ταῖς φάραγξι καὶ τοῖς θάλπουσι τόποις υ δατα δίδοσθαι, ἀλλὰ γὰρ καὶ ἀνὰ μέσον τῶν ὀρέων, ο πως α ν τῶν ἀγρίων ζώων τὰ η μερα διαδιδράσκονται, ἐν ω ρᾳ δ' ἀναπαύσονται. Κατὰ μέρος δοξολογῶν, ἐπέρχεται τῇ προ νοίᾳ, καὶ τὴν μετὰ σοφίας τεθαύμακεν ἀ γαθότητα, καὶ τῆς τῶν ἀλόγων ζώων πε φροντικότος διαμονῆς τοῦ Θεοῦ. Ποιήσας γὰρ αὐτὰ καὶ τρέφει τε καὶ ποτίζει. Διὸ τὰ ο ρη τεμὼν παρόδους τοῖς υ δασιν ἐτεκτήνατο πρὸς ὠφέλειαν ἀνθρώπων τε καὶ κτηνῶν καὶ ο ρνεων. Ὁ δὲ Σύμμαχος ἐξέδωκεν· Ἀνακτήσεται ο ναγρος δίψαν αὐτοῦ. –Περὶ δὲ τῆς μέχρι τούτων προνοίας, ε λεγεν ὁ σωτήρ· Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ ο τι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνά γουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. Ου τω καὶ τῶν ἀλό γων ζώων καὶ ἑρπετῶν καὶ θηρίων προνοεῖ, ὡς καὶ τούτοις τὸ πρὸς ζωὴν χρήσιμον ἐπι χωρηγεῖν. Ποτίζει γὰρ ο ρη καὶ πεδία, οὐκ ἀπὸ τῶν ἐν ταῖς φάραγξι πηγῶν, η τῶν φε ρομένων κατὰ γῆς ποταμῶν, ἀλλ' α νωθεν τοὺς αὐτάρκεις ἐπιχορηγῶν ὑετούς. –Λο γικάς τινας διὰ τῶν λογικῶν τούτων αἰνίτ τεται φύσεις. –Ὁ διδοὺς γνῶσιν τοῖς κε νωθεῖσιν ὑπὸ τῆς ἀγνοίας, δίκην φαράγγων κοιλανθεῖσιν ὑπὸ τῆς κακίας. 103.12 Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει. Κατασκηνοῖ ἐπ' αὐτοὺς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἐπειδὴ ε σχον πίστιν, ὡς κόκκον σινάπεως. 103.13 Ἀπὸ καρποῦ τῶν ε ργων σου χορ τασθήσεται ἡ γῆ. Καρπὸς τῶν ε ργων ἐστιν ἡ θεωρία τῶν γεγονότων. 103.14 Ἐξανατέλλων χόρτον τοῖς κτήνε σι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, τοῦ ἐξαγαγεῖν α ρτον ἐκ τῆς γῆς. Ωσπερ τῶν ὑδάτων δέδωκεν τὴν χορη γίαν, ου τω καὶ ἀπὸ γῆς τρέφεσθαι παρεσ κεύασεν· διὰ τοῦτο ἐφρόντισας τῶν κτηνῶν, ι να δι' αὐτῶν γεωργοῦντες τὰ πρὸς ζωὴν ευ ρωμεν. Τάχα ἡ λέξις χόρτος καὶ ου τος μὲν α ρτος γῆς. Εστι δέ τις α ρτος οὐρανοῦ περὶ ου ει ρηται· Αρτον οὐρανοῦ δέδωκεν αὐτοῖς. –Χόρτος· ὁ γὰρ ἀσθενὴς λάχανα ἐσθίει. 103.16,17 Χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου α ς ἐφύτευσεν. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν. Δείκνυσιν καὶ τὰ ἐν δρυμῷ αυ ξοντα ξύλα, οι ον κέδροι, καὶ τὰ ε τερα τοῖς αὐτοῦ νεύμα σιν αὐξηθήσονται. Γέγονε δὲ ταῦτα καὶ δι' ε τερα μὲν πλεῖστα, ω ν καὶ τὴν πεῖραν ε χομεν καὶ τῶν στρουθίων εἰς καλιάς. – Ωσπερ ε στι τινὰ ξύλα τοῦ παραδείσου, ου τω καὶ ξύλα τοῦ πεδίου. 103.18 Ορη τὰ ὑψηλὰ τοῖς ἐλάφοις· πέ τρα καταφυγὴ τοῖς χοιρογρυλλίοις. Ει τις, φησὶν, ε ροιτο· Διὰ τί ο ρη; διὰ τί πέτραι; μανθανέτω ο τι ταῦτα ἀναγκαίως ἐ δημιουργήθη. Εἰ γὰρ δι' ο λου η πλωτο πεδίας ἡ γῆ, μὴ ε χουσα ο ρη, οὐκ α ν τὰ ποικίλα συνέστη τῶν ζώων γένη, θᾶττον τῶν ἰσχυ ροτέρων τοῖς ἀσθενεστέροις ἐπιπηδώντων. Νῦν δὲ ἡ τῶν ὀρέων σύστασις καταφυγὴ γέ γονε, τοῦ μὴ ἀσθενέστερα ὑπὸ τῶν ἰσχυρο τέρων ἁλίσκεσθαι, καὶ μάλιστα κατὰ τὸν τοῦ υ πνου καιρόν· ἀλλὰ καὶ λαγωοῖς η χοιρο γρυλλίοις (ἀμφότερα γὰρ φέρεται ἐν τῇ ἀ ναγνώσει) τίς η ν α λλη καταφυγὴ, εἰ μὴ πέ τραι καὶ σπηλαῖα ὡς χηραμοὶ συνέστησαν, εἰς α ς διαδιδράσκοντα σώζεται, καθάπερ α ν θρωποι πρὸς οἰκίας καὶ τείχη. –Ὁ ε λα φος, ο φει πολέμιος· τοιοῦτοι καὶ οἱ τοῦ Χρισ τοῦ μαθηταὶ, ἑτοίμως ε χοντες ἐκδικεῖν πᾶ σιν παρακοὴν, οἱ καὶ πατεῖν ἐπάνω ο φεων η κουσιν. 103.19-21 Ἐποίησε σελήνην εἰς καιροὺς, ὁ η λιος ε γνω τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δύσιν αὐτοῦ. Εθου σκό τος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ, σκύμνοι ὠρυό μενοι ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς. ᾿Ανατρέχει πάλιν ἐπὶ τὴν ἐν τοῖς οὐρα νοῖς πρόνοιαν· δι' ου δὲ ἑτέρου γεγενῆσθαι τὴν σελήνην φησὶν, η πρὸς ἀριθμὸν καὶ διά γνωσιν μηνῶν τε καὶ ἡμερῶν; ῾Ο η λιος ε γνω τὴν δύσιν αὐτοῦ, θείῳ καὶ αὐτὸς προστάγ ματι δηλονότι πειθόμενος· οὐχ ὡς ε μψυχος δὲ η λιος ε γνω τὴν δύσιν αὐτοῦ, κατὰ δὲ τὸν θεῖον ο ρον ὁδεύων. ᾿Απ' ἀμφοτέρων μὲν ἀμ φότερα εὑρίσκεται, καιρούς τε γὰρ ὁ η λιος ποιεῖ, καὶ δύσει καὶ ἀνατολῇ ὁμοίως κέ χρηνται, ἀλλὰ διεῖλεν αὐτὰ κατ' ι διον οι κη μα· καιροὺς δὲ καλεῖ τὰ μέτρα ἡμερῶν καὶ μηνῶν, τὰς γὰρ τῆς σελήνης ἀλλοιώσεις με τρεῖσθαι τὸν χρόνον παρεσκεύαζε· ἀλλὰ καὶ ὁ η λιος φωτίζειν μόνον μαθὼν, ο τε προσε τάχθη, πρὸς δύσιν χωρεῖ· ε δει γὰρ καὶ νυκ τὸς εἰς ἀναχώρησιν μὲν τῶν ἡμέρων ζώων· εἰς πρόοδον δὲ τῶν ἀγρίων τὰς τοῦ ἡλίου κατὰ θείαν πρόνοιαν ἀποστέλλεσθαι αὐγὰς, ἡ γὰρ α ν καὶ αὐτοῖς ἐπετίθετο· διὸ τὸ χρή σιμον τῆς νυκτὸς ὑπογράφων φησίν· ῾Ηλίου δὲ ἀντισχόντος, τὰ μὲν [θηρία] εἰς τὰς οἰ κείας καταδύσεις χωρεῖ· οἱ δὲ α νθρωποι τὸν τῆς προτέρας ἡμέρας πόνον ἀποθέμενοι, προθύμως πάλιν ε τι τοῖς ε ργοις διημερεύου σι. –Οὐδὲ τὸ ζητῆσαι δὲ τροφὴν, κυρίως κεῖται· λογικῶν γὰρ ἡ ζήτησις· δηλοῖ δὲ καὶ τούτοις τὸν Θεὸν τὴν ἀναγκαίαν παρέ χειν τροφήν. 103.25 Αὐτὴ ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχορος. Τὸν βίον τοῦτον σημαίνει. 103.29 ᾿Αντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν ἐπιστρέψουσιν. Οἱ ἐκπίπτοντες δὲ τοῦ παρὰ τοῦ Θεοῦ δο θέντος αὐτοῖς πνεύματος, γίνονται χοϊκοί. 103.30 ᾿Εξαποστέλλεις τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρό σωπον τῆς γῆς. Ην Παῦλος ε κστασιν ει ρηκεν, ταύτην Δαυὶδ ἀνακαινισμὸν προσηγόρευσεν. 104.5 Μνήσθητε τῶν θαυμασίων αὐτοῦ, ω ν ἐποίησε, τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίμα τα τοῦ στόματος αὐτοῦ. Οτε ἐποίει ἐργασίας ἐν υ δασι πολλοῖς, ἐθεώρουν τὰ ε ργα τοῦ Κυρίου· τούτων, ε φη, μνήσθητε καὶ πάλιν ποιεῖτε ἐργασίαν ἐν υ δασι πολλοῖς. –Τὰ τέρατα λέγει, ω ν πε ποίηται ἐν τῇ παρουσία θεοσημείων. 104.12 ᾿Εν τῷ ει ναι αὐτοὺς ἀριθμῷ βρα χεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ. Τὸ βραχεῖς ἐπὶ ὀλίγων ει πε· τὸ δὲ βραχὺ ἐπὶ μεγέθους, τὸ δὲ ὀλίγον ἐπὶ ἀριθμοῦ τέ τακται. –Πάροικοί εἰσιν οἱ μηδὲν ι διον τῶν τοῦ κόσμου τούτου νομίζοντες. 104.13 Καὶ διῆλθον ἐξ ε θνους εἰς ε θνος. Τὰ κατὰ τὴν ἀποδημίαν διηγεῖται τοῦ ῾Αβραὰμ, καὶ τοὺς σκυλμοὺς τοῦ ῾Αβραὰμ, ᾿Ισαὰκ καὶ ᾿Ιακώβ· παροικοῦντες γὰρ οἱ πα τριάρχαι διετέλουν, καὶ οὐδὲ ἐφ' ἑνὸς ἱδρυ μένοι τόπου, ἀλλὰ νῦν μὲν ω δε, ἐκεῖ δὲ α λ λοτε τὰς σκηνὰς μεταφέροντες. Η ο τι πολ λὰ ε θνη μετῆλθον, μέχρις ο τε τῆς ἐπαγγελ θείσης αὐτῆς γῆς τὸν κλῆρον παρέλαβον· Η ἀπολογίαν δοκεῖ ε χειν τὴν ἐν τοῖς προ κειμένοις διδασκαλίαν, τοῦ μὴ ἀκρίτως ἀπο δοκίμασθαι τὸν ἐκ περιτομῆς λαόν· εὐλογεῖ δὲ ταῦτα πεπονθέναι, ο τι μυρίων καταξιωθέν των πρὸς τοῦ Θεοῦ εὐεργεσιῶν αὐτοὶ ἑαυ τοὺς ἐναντίους κατέστησαν καὶ ἐχθροὺς τῆς τοῦ Θεοῦ προαιρέσεως. 104.16 Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, πᾶν στήριγμα α ρτου συνέτριψεν. Τὸ δοκοῦν κακὸν, ὁ ἐν Αἰγύπτῳ λιμὸς, ἀρχὴ γέγονε τῶν ἐν ῾Εβραίοις οἰκονομιῶν ἀγαθῶν. Ου τως καὶ πᾶν τὸ δοκοῦν κακὸν, ἀλλὰ καὶ τὸ ἀληθῶς κακὸν, διὰ τὸ υ στερον ἀγαθὸν γίνεται· κακὸν γὰρ, ὁ κατὰ τοῦ ᾿Ιω σὴφ ζῆλος τῶν ἀδελφῶν, καὶ ἡ ἐπιθυμία τῆς δῆθεν δεσποίνης τοῦ ᾿Ιωσήφ. –Πᾶν στήριγμα κτλ. ἀντὶ τοῦ πᾶν διαθρέψαι δυ νάμενον, σπανίσαι πεποίηκεν, οὐ μόνον σῖτον, ἀλλὰ καὶ ο σπρια, καὶ τ' α λλα, δι' ω ν βιο τεύουσιν α νθρωποι. 104.19 Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ, τὸ λόγιον τοῦ Κυρίου ἐπύρωσεν αὐτόν. Πολλοὺς πειρασμοὺς ἐπάγει τοῖς ἁγίοις ὁ διάβολος, μέχρι τοῦ ἐλθεῖν τὸν λόγον τοῦ Θεοῦ τὸν πυροῦντα καὶ καθαρίζοντα τὰς καρδίας αὐτῶν. –Δύο πυρώσεις εἰσὶ γενι καί· ἡ μὲν ἀστεία, ο τε τὸ λόγιον Κυρίου πυ ροῖ τινα, ι να τῆς σοφίας ἐρασθεὶς καὶ παν τὸς καλοῦ πυρωθεὶς, ἐπ' αὐτῷ γένηται πῦρ Κυρίου. ῾Η δὲ φαυλὴ, ο τε τις τέτρωται ὑπὸ τῶν πεπυρωμένων βελῶν τοῦ πονηροῦ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ι να σωματικῶν ἐπιθυμῇ· ἐπεὶ τοίνυν καὶ τὸν ᾿Ιωσὴφ τὸ λόγιον Κυρίου ἐπύρωσεν, οὐκ ἠ δυνήθη αὐτὸν ὁ πονηρὸς ἐπὶ τῇ δεσποίνῃ πυρῶσαι. 104.20 ᾿Απέστειλε βασιλεὺς καὶ ε λυσεν αὐτὸν, α ρχων λαῶν καὶ ἀφῆκεν αὐτόν ... Οὐκ α λλος ὁ βασιλεὺς, καὶ α λλος ὁ α ρχων· ἀλλ' ἀναδιπλώσει χρῆται γραφικῷ ε θει, ὡς τό· πορευόμενοι ἐπορεύοντο· τὸν Φαραὼ δὲ λέγει ἐπὶ τὴν τῶν ὀνειράτων ἀπορίαν, ο τε καὶ λύεται, καὶ καθίσταται ὁ κύριος· τὴν δὲ ἀπὸ τῆς οἰκονομίας αὐτοῦ δεικνὺς ὠφέ λειαν, ἐπάγει· 104.22 Τοῦ παιδεῦσαι τοὺς α ρχοντας αὐ τοῦ ὡς ἑαυτὸν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι. ᾿Επίσημος γὰρ διὰ τῆς ἐπίλυσιν τῶν ὀνει ράτων γενόμενος εἰς σύνεσιν, ἐπαιδοτρίβει τοὺς ἐγχειρισθέντας τοῦ ζηλῶσαι αὐτόν· αυ τη, φησὶν, ἡ αἰτία τοῦ εἰσελθεῖν ᾿Ισραὴλ εἰς Αι γυπτον, κἀνταῦθα δὲ ἀναδιπλώσει χρῆ ται. 104.23 Καὶ εἰσῆλθεν ᾿Ισραὴλ εἰς Αι γυπ τον, καὶ ᾿Ιακὼβ παρῴκησεν ἐν γῇ Χάμ. Χὰμ δὲ τὴν Αι γυπτον λέγει· Χὰμ γὰρ ἐγέννησε τὸν Χαναὰν, ὁ δὲ Μεστραῒμ, ο ς ἑρ μηνεύεται Αι γυπτος· εἰκὸς γὰρ πάππον ο ντα τοῦ Μεστραῒμ τὸν Χὰμ, ἐν Αἰγύπτῳ οἰκῆ σαι, τοῦ Χαναὰν ἐν Παλαιστίνῃ οἰκήσαντος. Κατελθόντων δὲ οὐκ ἠμέλησε, φησὶν, ἀλλὰ κἀκεῖ αὐτοὺς ηυ ξησε, καὶ τῆς οἰκείας εὐλο γίας μετέδωκε. –Ει τίς ἐστιν ὡς ἀληθὴς ᾿Ιακὼβ, οὐ κατοικεῖ ἐν γῇ Χὰμ ἐκεῖνος, ἀλλ' ἐν αὐτῇ παροικεῖ. 104.24 Καὶ ηυ ξησε τὸν λαὸν αὐτοῦ σφό δρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχ θροὺς αὐτοῦ. Ωστε λέγειν τὸν Φαραὼ, ο ς οὐκ η δει τὸν ᾿Ιωσήφ· ἰδοὺ πολυπληθεῖ νῦν τὸ ε θνος, καὶ ἰσχύει ὑπὲρ ἡμᾶς, οὐκ α ν δὲ αὐξηθέντες ἐ κραταιώθησαν, καὶ μὴ τῆς ᾿Ιωσὴφ ε τυχον προστασίας καὶ τῆς τοῦ Φαραὼ δεξιώσεως. Χωρὶς γὰρ τῆς ἀρετῆς καὶ γνώσεως, οὐκ α ν τις γένοιτο τῶν ἐχθρῶν ἰσχυρότερος. 104.26,27 ᾿Εξαπέστειλε Μωσῆν τὸν δοῦ λον αὐτοῦ, ᾿Ααρὼν, ο ν ἐξελέξατο αὐτόν. Εθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐ τοῦ καὶ τῶν τεράτων ἐν γῇ Χάμ. Ηδεσαν Μωσῆς καὶ ᾿Ααρὼν μόνοι τοὺς λόγους ω ν ἐποίησεν ἐν Αἰγύπτῳ, σημείων τε καὶ τεράτων, πῶς τε αὐτὰ ποιήσωσι καὶ τί νος συμβουλῇ. 104.28 Καὶ παρεπίκραναν τοὺς λόγους αὐτοῦ. Οἱ ἀκούοντες τῶν λόγων τοῦ Θεοῦ, καὶ μὴ ποιοῦντες αὐτοὺς παραπικραίνουσιν τοὺς λόγους αὐτοῦ. 104.29 Μετέστρεψε τὰ υ δατα αὐτῶν εἰς αι μα, καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν. Οὐ γὰρ τὴν χροιὰν τῶν ὑδάτων μόνην, ἀλλὰ καὶ αὐτὴν μετέβαλε τῆς γενέσεως ποι ότητα, ω στε α παντα διαφθαρῆναι τῶν ἰχ θύων τὰ γένη. 104.35 Καὶ κατέφαγε πάντα τὸν χόρτον ἐν τῇ γῇ αὐτῶν, καὶ κατέφαγε τὸν καρπὸν τῆς γῆς αὐτῶν. ᾿Ογδόη αὐτὴ πληγὴ πάντα χόρτον Αἰ γύπτιον, καὶ πάντα τὸν καρπὸν τῆς Αἰγύ πτου κατεσθίουσα· καὶ γὰρ τοιαῦτα η ν, ὡς τῶν εὐτελεστάτων ζώων ει ναι τροφὴ, ἀχρί δων ὡς καὶ βρούχου, τῶν ου τ' ἐν λόγῳ, ου τ' ἐν ἀριθμῷ. Καὶ ὁ ᾿Ισραὴλ μέντοι, ἐὰν μὴ κατὰ νόμον Θεοῦ πολιτευόμενος γεωργῇ, ἀκούσε ται· τὰ κατάλοιπα τῆς κάμπης καταφάγε ται ὁ βροῦχος, καὶ τὰ κατάλοιπα τοῦ βρού χου κατέφαγεν ἡ ἐρυσίβη. 104.36,37 Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐκ τῆς γῆς αὐτῶν, ἀπαρχὴν παντὸς πόνου αὐτῶν, καὶ ἐξήγαγεν αὐτούς. Τὴν τῶν πρωτοτόκων πληγὴν ἀπαρχὴν παντὸς πόνου αὐτῶν ἐκάλει, τῶν Αἰγυπτίων δηλονότι. Οι ον γὰρ ἀνταπόδομα η ν ἡ πληγὴ αυ τη ω ν εἰς τοὺς ῾Εβραίους καὶ τὰ α ρσενα αὐτῶν ἐποίησαν, ο τε πονῆσαι αὐτοῖς ὑπὸ τὴν πληνθείαν καὶ τοὺς α λλους παρεσκεύασε πό νους· αὐτὴ γὰρ μόνη ἡ πληγὴ αὐτῶν Αἰγυ πτίων καθίκετο καὶ ἀποστεῖλαι κατήπειξεν. Οθεν ἐπάγει· καὶ ἐξήγαγεν αὐτούς. –᾿Εν τῇ δεκάτῃ μάστιγι πατάσσονται Αἰγυπτίων ῥίζαι καὶ ἀρχαὶ, καὶ πρωτότοκα καὶ ἀπαρ χαὶ πόνων αὐτῶν λέγονται. 104.37 Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ. ᾿Εν ἀργυρίῳ καὶ χρυσίῳ, ἀντὶ τοῦ μετ' ἀρ γυρίου καὶ χρυσίου, α περ σύμβολά ἐστιν τῆς ε ξωθεν σοφίας. 104.39 Διεπέτασε νεφέλην εἰς σκέπην αὐ τοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα. ῾Η νεφέλη φύσιν ἁγίαν δηλοῖ, καὶ ὁ στύ λος τοῦ πυρὸς ὁμοίως δύναμιν σημαίνει νοη ράν. 104.40 Καὶ α ρτον οὐρανοῦ ἐνέπλησεν αὐ τούς. ᾿Εγώ εἰμι ὁ α ρτος, ὁ ἀπὸ τοῦ οὐρανοῦ κα ταβὰς, ἐν τοῖς εὐαγγελίοις φησίν. 104.43 Καὶ ἐξήγαγε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν λαὸν αὐτοῦ ἐν ἀγαλ λιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφρο σύνῃ. Εἰ ὁ λαὸς ἐξῆλθεν ἐν ἀγαλλιάσει, οἱ δὲ ἐ κλεκτοὶ αὐτοῦ ἐν εὐφροσύνῃ τῆς ἀγαλλιά σεως, ἐπεὶ καὶ μείζονες οἱ ἐκλεκτοὶ τοῦ λαοῦ. 104.44 Καὶ πόνους λαῶν ἐκληρονόμησαν. Νῦν τὸ ἀποτέλεσμα πόνου, πόνον ὠνόμα σεν. 104.45 Καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν. Εἰ ὁ νόμος πνευματικός ἐστι, χρῄζει πρὸς τὸ γνῶναι καὶ ζητῆσαι αὐτόν. 105.1 Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ο τι χρησ τός. Ἐπεὶ τὸ κυρίως ἐξομολογεῖσθαι τοῦ μη κέτι ἁμαρτάνοντός ἐστι, διὰ τοῦτο ὡς μὴ ἀ κούουσιν ἡμῖν τὸ ἐξομολογεῖσθαι· ἁμαρτά νομεν γὰρ συνεχέστερον. Λέγεται τὸ ἐξομο λογεῖσθαι τῷ Κυρίῳ η τοῖς ἀπογινώσκουσι διὰ τὰ πολλὰ ἡμαρτηκέναι, περὶ σωτηρίας ταῦτα λέγεται. Ει τα ἐπάγει· 105.2 Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυ ρίου; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; Τὸ Τίς ἐνταῦθα, οὐ τὸ ἀδύνατον, ἀλλὰ τὸ σπάνιον δηλοῖ· ε στι δ' ο τε καὶ τὸ ἀδύνατον δηλοῖ σημαίνειν, ὡς τό· Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; – Ὡσεὶ ε λεγε· Τίς δύναται ἀξίως τὴν τοσαύτην ἀγαθότητα διηγήσασ θαι; Ἑκάστη γὰρ πρᾶξις τοῦ Κυρίου αἰνέ σεως γέμει. – Η τάχα μὲν αἱ δυναστεῖαι τὰ θαυμάσια περιέχουσι· τὰ δὲ χαρίσματα τῶν ἰαμάτων τὰς αἰνέσεις αὐτοῦ· ο σα γὰρ ὑπὲρ φύσιν ποιεῖ θνητὴν, δυναστεῖαι τοῦ Κυρίου εἰσίν. Ἀλλ' ἐπεὶ, φησὶ, τὸ ὑμνεῖν αὐτὸν ἀ ξίως οὐκ ε στι, ἐκεῖνοι μακάριοι, ο σοι δι' αὐ τὸν τὰ τῆς δικαιοσύνης ε ργα ἐπιτάττουσι· γίνεται γὰρ τούτων ὁ βίος υ μνος τῷ Θεῷ· ου τοι γὰρ μόνοι α ξιοι τὰς δυναστείας λαλεῖν τοῦ Κυρίου, οἱ κρίσει πάντα ποιοῦντες καὶ λελογισμένως· ου τοι καὶ ποιηταὶ δικαιοσύ νης εἰσίν. 105.3 Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ. Ἐφ' ἑκάστης ἀρετῆς τό· ἐν παντὶ καιρῷ, λεκτέον, ποιοῦντες τὴν σωφροσύνην, ποιοῦν τες ἀνδρείαν, ποιοῦντες ἀγάπην, μακροθυ μίαν ἐν παντὶ καιρῷ, καὶ ἐπὶ τῶν α λλων ὡσ αύτως. 105.5 Τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονο μίας σου. Ου τος ἐπαινετὸς ὁ κληρονομήσας τὴν φύ σιν τὴν τοῦ Θεοῦ· ἐν τῷ Κυρίῳ ἐπαινηθήσε ται ἡ ψυχή μου, τουτέστιν ἐν δικαιοσύνῃ, καὶ ἐν σοφίᾳ, καὶ ἐν γνώσει, καὶ ἐν ἀγάπῃ· ταῦτα ἡμῶν κατ' ε παινον ὀνομάζεται. 105.7 Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συ νῆκαν τὰ θαυμάσιά σου, καὶ οὐκ ἐμνήσθη σαν τοῦ πλήθους τοῦ ἐλέους σου. Ορα εἰ μὴ βέλτιόν ἐστι τοῦ ἰδόντος τὰ ἐν Αἰγύπτῳ θαύματα, καὶ μὴ νοήσαντος τὸν περὶ αὐτῶν λόγον, ὁ μὴ ἑωρακὼς μὲν αὐτὰ, συνιεὶς δέ. Ἐνταῦθα ἀπὸ τοῦ τόπου τὴν κα τηγορίαν συνίστη· οὐ γὰρ δὲ χρόνος διέλει πε πολὺς, καὶ τῶν εὐεργεσιῶν τοῦ τόπου εὐ θέως ἀμνημονήσαντες, τῶν οἰκείων τρόπων πάλιν κέχρηται. Θεασάμενοι γὰρ τοὺς Αἰ γυπτίους διώκοντας, Μωσῇ κατεβόων· Πα ρὰ τὸ μὴ ε χειν μνήματα ἐν γῇ Αἰγύπτῳ, ἐξήγαγες ἡμᾶς θανατῶσαι ἐν τῇ ἐρήμῳ; καὶ τὰ ἑξῆς. Ἀλλ' ο μως καὶ ἀγνώμονας φα νέντας τῆς σωτηρίας ἠξίωσας. 105.8 Καὶ ε σωσεν αὐτοὺς ε νεκεν τοῦ ὀνό ματος αὐτοῦ, τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ. Εὐκολίαν δεδήλωκεν τῇ τῆς ἐρήμου πε ριβολῇ. 105.9 Καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσ σῃ. Καὶ ἐν τοῖς εὐαγγελίοις ὁ Χριστὸς ἐπετί μησεν τῷ ἀνέμῳ καὶ τῇ θαλάσσῃ, καὶ ἐγέ νετο γαλήνη μεγάλη. 105.12 Καὶ ἐπίστευσαν τοῖς λόγοις αὐτοῦ, καὶ ῃ νεσαν τὴν αι νεσιν αὐτοῦ. Τοῦτο ἀναφέρεται εἰς τό· ἐπίστευσαν τῷ Θεῷ καὶ Μωσῇ τῷ θεράποντι αὐτοῦ· τὸ δὲ ἑξῆς εἰς τὴν ἐν ἐξόδῳ ᾠδήν· ου τως ου ν η ν, φησὶν, ὑπερβάλλον τὸ θαῦμα ὡς ἡττηθῆναι αὐλῶν τὴν ἀπιστίαν, καὶ α κοντας εἰς υ μνον τοῦ θαυματουργήσαντος τραπῆναι, καὶ θαυ μάσαι τὴν αι νεσιν ἐκείνην, καὶ ᾳ σαι· Ασω μεν τῷ Κυρίῳ. Σημειωτέον, ο τι ἐξῆλθον αἱ χορεύουσαι μετὰ Μαριὰμ, λέγουσαι· Ασω μεν κτλ. Ει τα ἐπιφέρει· 105.13,14 Ἐτάχυναν, ἐπελάθοντο τῶν ε ργων αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐ τοῦ, καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ. Δι' ἀγαθότητα γὰρ τοῦ Θεοῦ προστεθέν των καὶ τῶν ἐν τῇ θαλάσσῃ κυμάτων, πα ραχρῆμα μὲν πιστεύσαντες ῃ σαν αὐτῷ τὴν ᾠδὴν ἐν Ἐξόδῳ κειμένην, ει τα πάντα πα ρέδωκεν λήθῃ. Ου τω, φησὶν, ὀξεῖα ω φθη τοῦ θαύματος ἡ λήθη, ὡς δοκεῖ μηδὲ γεγενῆσ θαι. Τίς ἡ ἀπόδειξις; ἠβουλήθη, φησὶν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δο κιμάσαι αὐτοὺς ἐν τῇ ἐρήμῳ· οἱ δὲ δοκιμα σίαν καθάπαξ οὐχ ὑπέμειναν, ἀλλ' ἐπεθύ μησαν ἐπιθυμίαν· λέγει δὲ τὴν τοῦ υ δατος ἀντιλογίαν. Καὶ ἐπὶ τούτῳ καὶ ἐπιφέρει· Καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ. Ἰστέον δὲ ο τι ὡς ἀπὸ τῶν ἐσχάτων η ρξατο θαυμάτων, τοῦτο δὲ καὶ ἐν τῷ οζ΄ πεποίηκεν, ἐπεὶ ἐ πέταξε πέτραν, εἰπών· 105.15 Καὶ ε δωκεν αὐτοῖς τὸ αι τημα αὐ τῶν, καὶ ἐξαπέστειλε πλησμονὴν εἰς τὴν ψυ χὴν αὐτῶν. Ὁ δὲ καὶ τοῦτό φησι· παριδὼν τὸ πλημ μέλημα, παρέσχεν αὐτοῖς τὸ αἰτηθὲν, ἀντὶ τοῦ· Δέδωκεν αὐτοῖς υ δωρ εἰς πλῆθος, ω στε τὸ περιττὸν ποταμὸν ἐκτελεῖν, η αι τημα τὴν ἐπιθυμίαν ει πεν, οὐ γὰρ ῃ τησαν, ἀλλὰ κατε λάλησαν. 105.16 Καὶ παρώργησαν Μωϋσῆν, ἐν τῇ παρεμβολῇ, καὶ Ἀαρὼν τὸν α γιον Κυρίου. Οἱ τὰς ἐντολὰς τοῦ Θεοῦ παραβαίνοντες, Μωϋσῆν παροργίζουσιν· οἱ δὲ τὴν πίστιν ἀ θετοῦντες, τὸν Ἀαρὼν παροξύνουσιν. Ὁ μὲν γὰρ πρᾶξιν, ὁ δὲ θεωρίαν σημαίνει. 105.17 Ἠνοίχθη ἡ γῆ καὶ κατέπιε Δαθὰν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών. Σημειωτέον ο τι τὸ πρῶτον περὶ Δαθὰν γενόμενον, καὶ Ἀβειρὼν ἐν Χωρὴβ κατὰ τὴν μοσχοποΐαν υ στερον ει πεν, ι να μὴ τα ράττῃ ἡμᾶς τοιαῦτα ὁρῶντας, καὶ τὸ ἐν τού τοις ε θος τῆς γραφῆς. 105.23 Καὶ ει πε τοῦ ἐξολοθρεῦσαι αὐτούς. Οτε ει πεν· Εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁ μαρτίαν, α φες· εἰ δὲ μὴ, ἐξάλειψόν με ἐκ τῆς βίβλου σου. 105.26 Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐ τούς. Ωσπερ ὀφθαλμὸς Κυρίου, καὶ χεῖρες ὀνο μάζονται δυνάμεις τινὲς νοεραί. 105.28 Καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ. Ει δωλον τοῦτο Ἀμμονιτῶν, ὁ καλούμενος παρ' Ελλησι Κρόνος. 105.29 Καὶ ε φαγον θυσίας νεκρῶν. Η διὰ τὸ νεκρομαντείας τὰ περὶ τὰ ξόα να τελετὰς ποιεῖν, η διὰ τὸ νεκρῶν ἀνδρῶν μνήμας ποιεῖσθαι. Νεκροὶ γὰρ, οἱ περὶ τὸν Κρόνον. 105.30 Καὶ ε στη Φινεὲς, καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις. Οτε ἀνεῖλεν τὴν Ἀμμανίτιν μετὰ τοῦ πορνεύσαντος· διδάσκει δὲ ἡμᾶς ὁ λόγος πόσον δύναται ἑνὸς ἀνδρὸς εὐσέβεια πρὸς Θεόν. 105.32 Καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς. Ἀντὶ τοῦ προσέκρουσε Θεῷ. 105.34 Οὐκ ἐξωλόθρευσαν τὰ ε θνη α ει πε Κύριος αὐτοῖς. Ὁ ἀποθέμενος τὰ πάθη, ου τος ἐξωλόθρευ σεν τὰ ε θνη α ει πε Κύριος. 105.45 Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ. Διὰ γὰρ τὰς πρὸς πατέρας ἐπαγγελίας τὸν ε λεον ἐχορήγησεν· μεταμέλειαν δὲ κα λεῖ τῆς παιδείας τὴν παῦλαν. Ὁ γὰρ Θεὸς τῆς μεταμελείας οὐκ ε χει τὸ πάθος, οὐδὲ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις ἀρέσκεται, ἀλλὰ σοφῶς α παντα πρυτανεύων, καὶ παι δείας ἐπάγει καὶ φιλανθρωπίαν ὀρέγει. 105.47 Καὶ ἐπισυνάγαγεν ἡμᾶς ἐκ τῶν ἐθ νῶν· τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ. τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου. Τούτους συνάγει ἀπὸ τῶν ἐθνῶν ὁ Θεὸς ου ς ἀφίστησιν ἀπὸ κακίας καὶ ἀγνωσίας. Ὁ Κύριος ἡμῶν ἡ αι νεσίς ἐστιν, ει γε ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω. 106.3 Καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐ τοὺς ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης. Ὁ μὲν ἀπὸ ἀνατολῶν ἐξελθὼν, ου τος πέ παυται τοῦ ἐπιθυμεῖν καὶ ὀργίζεσθαι, ἀπα θὴς γεγονώς. Ὁ δὲ ἀπὸ δυσμῶν συναχθεὶς, ἀπέχεται μοιχείας καὶ φόνου καὶ τῶν κατ' ἐνέργειαν τέως ἁμαρτιῶν. Εἰ δέ τις τοῦ βοῤῥᾶ καὶ τῆς θαλάσσης ἀπήλλακται, ου τος ἐν ἀληθέσι δόγμασιν ω ν, οὐκέτι περιφέ ρεται παντὶ ἀνέμῳ διδασκαλίας, οὐδὲ περὶ τὴν πίστιν ναυαγεῖ, κυβέρνησιν θείαν κτη σάμενος διὰ τῆς χάριτος τοῦ Χριστοῦ. 106.4 Ἐπλανήθησαν ἐν τῷ ἐρήμῳ ἀνύδρῳ, ὁδὸν πόλεως κατοικητηρίου οὐχ ευ ρον. Οὐ γὰρ η ν ἐν αὐτοῖς πολιτεία χρηστὴ, ἀλλ' η σαν ἐν πλάνῃ πολλῇ. 106.5 Πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐ τῶν ἐν αὐτοῖς ἐξέλιπεν. Οὐδὲ γὰρ ει χον α ρτον τὸν στηρίζοντα καρδίαν αὐτῶν, οὐδὲ τὸ υ δωρ τὸ ζῶν, περὶ ου λέγεται· Ὁ πίνων ἐκ τοῦ υ δατος, ου ἐγὼ δώσω αὐτῷ, ου μὴ διψώσει εἰς τὸν αἰῶνα. 106.6 Καὶ ἐκέκραξαν πρὸς Κύριον, ἐν τῷ θλίβεσθαι αὐτούς. Καθὸ τὰς ὑπὲρ αὐτῶν ἱκετείας ἀνέφερον οἱ προφῆται. 106.7 Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐ θεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητη ρίου. Πόλις κατοικητηρίου ἐστὶν ἡ γνῶσις τοῦ Θεοῦ. 106.10



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σι δήρῳ. Καθὸ φῶς ἐστιν ὁ Κύριος, ἐξάγει ἡμᾶς ἐκ σκότους· καθὸ δὲ ζωὴ, ἐκ σκιᾶς θανά του· καὶ πάλιν ὡς δυνατὸς, διαῤῥήξει δεσ μούς. –Κάθηνται μὲν ἐν σκότει καὶ σκιᾷ θανάτου οἱ ἀγνοίᾳ συζῶντες· πεπέδηνται δὲ σιδήρῳ οἱ ἐν κακίᾳ διάγοντες. 106.11 Οτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ, καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παρώξυναν. Βουλὴ Κυρίου λέγεται φύσις ἁγία, ἡ πα ροξυνομένη ἐπὶ τοῖς ἁμαρτάνουσιν. 106.12 Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρ δία αὐτῶν, ἠσθένησαν, καὶ οὐκ η ν ὁ βοη θῶν. Οἱ ἐν κοσμικοῖς κόποις, ταπεινοῦνται τὴν καρδίαν· ἠσθένησαν, ὡς καὶ τὸ παρὰ Παύ λῳ· Πολλοὶ ἀσθενεῖς. Καί· Ἀντέχεσθε τῶν ἀσθενῶν, καὶ τὸν ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε. 106.16 Οτι συνέτριψεν πύλας χαλκᾶς καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. Δεσμοὺς, πύλας χαλκᾶς, η τοι τὰς κακίας λέγει, η τοὺς ἐνεργοῦντας αὐτὰς δαίμονας. Διὰ δὴ τοῦ μοχλοῦ τὸ δυσκαμπὲς πρὸς τὴν ἀρετὴν τοῦ ἡγεμονικοῦ δεδηλῶσθαι νομίζου. 106.18 Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, καὶ η γγισαν ε ως τῶν πυλῶν τοῦ θα νάτου. Βρῶμα τοῦ νοητοῦ α ρτου φησί. –Πύλας θανάτου, σκιὰν θανάτου καὶ σκότος τὴν εἰ δωλολατρείαν φησί. 106.20 Ἀπέστειλε τὸν Λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς, καὶ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. Ἰάσατο αὐτοὺς ὁ Λόγος κατὰ τὴν ἐπίνοιαν ἰατροῦ· ἐῤῥύσατο, ἀναιρέσει νομικῆς λα τρείας. 106.21,22 Ἐξομωλογησάσθωσαν τῷ Κυ ρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Καὶ ἐξαγγελλάτω σαν τὰ ε ργα αὐτοῦ ἐν ἀγαλλιάσει. Ὁ τοὺς περὶ προνοίας ἐπιστάμενος λό γους, ου τος δοξάζει τὰ ἐλέη τοῦ Κυρίου. –Ἐξαγγέλλει δὲ τὰ ε ργα αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ πᾶς ὁ τὰ εἰς αὐτὸν γινόμενα ἐξαγγέλ λων, καὶ πεῖραν ἐσχηκὼς τῆς αὐτοῦ ἐργα σίας, οὐχ ὁ ἁπλῶς τὰ ἑτέροις γενόμενα διη γούμενος. 106.23 Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν υ δασι πολ λοῖς. Παραβολικῶς ταῦτα τέθεικεν ὁ προφή της· λέγει δὲ τοῦτο, ο τι καθάπερ οἱ ναυ τιλλόμενοι, καὶ τὰ μεγάλα διαπερῶντες πε λάγη, διαφερόντως τὰς θείας μεγαλουργίας ὁρῶσι· κλύδοσι μὲν χαλεπῶς περιπίπτοντες, παρὰ πᾶσαν δὲ ἀνθρωπίνην ἐλπίδα τῆς σω τηρίας ἀπολαύοντες· ου τως καὶ Ἰουδαῖοι ταῖς συμφοραῖς ἐκείναις περιπεσόντες, καὶ τὴν ἐλευθερίαν ἀπειληφότες, τὴν θείαν κατέμα θον δύναμιν. Καὶ μὲν δὴ καὶ πάντες α νθρω ποι τὴν ξένην τῶν πραγμάτων ὁρῶντες με ταβολὴν, καὶ τῆς προτέρας [συμφορᾶς] τὴν παῦλαν, καὶ τῶν ψυχῶν τὴν γαλήνην, καὶ τῆς ἀναστάσεως τὸν λιμένα, τὸν τούτων θαυμάζουσι χορηγόν. – Η καὶ περὶ τῶν ἀποστόλων φησὶν, ο τε [ἐβόων]· Καὶ ἐλέησον, Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα. Καὶ ἐπε τίμησεν τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη. 106.28,29 Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκαίων αὐτῶν ἐξήγαγεν αὐτούς. Καὶ ἐπέταξε τῇ κα ταιγίδι, καὶ ε στη εἰς αυ ραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς. Τρίτον τὸ ἐκέκραξα λέγεται, καὶ ὁ ἑξῆς στίχος, ἐπὰν κραξάντων ἡμῶν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι [ι να] ἐπακούσας ῥύσηται ἡ μᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν, καὶ στήσῃ τὴν τῶν πειρασμῶν καταιγίδα εἰς αυ ραν, καὶ ἡσυ χάσῃ τὰ καθ' ἡμῶν κύματα τοῦ βίου. –Εἰ τὰ κύματά εἰσιν οἱ πειρασμοὶ, τῶν δὲ πειρασ μῶν οἱ μὲν ἀναγκάζουσιν ἡμᾶς βλασφημεῖν εἰς τὸν Θεὸν, οἱ δὲ καὶ εἰς ζῶντας καὶ εἰς νεκροὺς ἐξαμαρτάνειν, καλῶς ου ν λέγεται τὰ κύματα ἀναβαίνειν ε ως τῶν οὐρανῶν, καὶ καταβαίνειν ε ως τῶν ἀβύσσων· τινὲς δὲ ταῦ τά φάσιν ὑπερβολικῶς λαλεῖν τὸν Δαυίδ. 106.30 Καὶ ὁδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτῶν. Λιμὴν μὲν ψυχῆς ἡ ἀπάθεια· λιμὴν δὲ νοῦ, γνῶσις σωμάτων καὶ ἀσωμάτων. 106.33 Εθετο ποταμοὺς εἰς ε ρημον. Ου τοι οἱ ποταμοί εἰσιν περὶ ω ν ει πεν ὁ Σωτὴρ ἐν τοῖς εὐαγγελίοις· Οἱ καταστρέ φονται οι κον τοῦ μωροῦ τοῦ οἰκοδομήσαντος ἐπὶ τῆς ψάμμου. 106.34 Γῆν καρποφόρον εἰς α λμην ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. Οσον ἐκ τοῦ ῥητοῦ, γινώσκομεν ο τι οὐ καρποφορεῖ πολλάκις ἡ γῆ διὰ τὴν κακίαν τῶν κατοικούντων ἐν αὐτῇ. 106.37,38 Καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ε σπειραν ἀγροὺς, καὶ ἐ φύτευσαν ἀμπελῶνας, καὶ ἐποίησαν καρπὸν γεννήματος, καὶ εὐλόγησεν αὐτούς. Οἱ ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα μεταβάλλοντες διὰ τὰς τῶν ἀποστόλων πα ραδόσεις, ἐν ταῖς τῶν ἀνθρώπων κατασπεί ρουσι ψυχαῖς, φυτεύουσί τε ἀμπελῶνας, τὰς ἁπανταχοῦ γῆς ἐκκλησίας. Οὐ πάντες οἱ γεωργοῦντες καρποὺς αἰσθητοὺς, εὐλογοῦν ται, ἀλλ' οἱ ποιοῦντες καρποὺς πνευματι κούς· ὁ γὰρ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χάρα, εἰρήνη, μακροθυμία, πίστις, πραΰτης, ἐγκρατεία. 106.40 Καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ. Οἱ Ἰουδαῖοι παρῃτήσαντο τὴν ἐφ' η ν ἐκ λήθησαν, εὐθεῖαν ὁδόν· πλάνην μὲν γὰρ ὁ Θεὸς οὐκ ἐπάγει, τοὺς δὲ μὴ πειθομένους ἀκυβερνήτους ἐᾷ, καὶ πανταχοῦ πλανῶνται, τὸν ὁδηγοῦντα ἀποβαλόντες. Ὁ δὲ Σύμμαχος μελλητικῶς, οι ον· καὶ πλανήσει αὐτοὺς ἐν ματαιότητι διανοίας. 106.41 Καὶ ἐβοήθησαν πένητι ἐκ πτω χείας, καὶ ε θετο ὡς πρόβατα πατριάς. Τίς δὲ ὁ βοηθηθεὶς πένης; ὁ ἐξ ἐθνῶν λαός· τῇ γὰρ τοῦ Χριστοῦ πτωχείᾳ ἡμεῖς ἐπλουτίσθημεν· πατριὰν δὲ ὀνομάζει τὸ σύσ τημα τῶν τὸν θεῖον κατάλογον συμπληρούν των, τουτέστι συντελούντων. [Ὁ μὲν Ἀκύλας· θήσει ὡς ποίμνιον συγγενείας]. Ὁ δὲ Σύμ μαχος· Τάξει ὡς ποίμνια τὰς συγγενείας, τὰς κατὰ πόλεις καὶ χώρας ἐκκλησίας, ἐκ διαφόρων συνεστῶσας συγγενειῶν. Ταῦτα δὲ μέλλοντα ε σεσθαι ου πως δὲ κατὰ τὸν ἐν ῳ προυφήτευσε καιρὸν, ο ντα προεθέσπισεν. Διό φησιν· 106.42 Οψονται εὐθεῖς, καὶ εὐφρανθήσον ται· καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς. Οψονται εὐθεῖς· τί ο ψονται; τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν. Τότε ἡμεῖς γενόμεθα πρόβατα, ο ταν ὁ Κύριος γένηται ποιμήν. Τὸν α νομον ἀνομίαν ὀνομάζει. 107.2 Ἑτοίμη ἡ καρδία μου, ὁ Θεὸς, ἑτοί μη ἡ καρδία μου· ᾳ σομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Ἐπείπερ οὐ τοῦ τυχόντος ε στιν ᾳ δειν καὶ ψάλλειν, ἀλλὰ τοῦ καθαροῦ τῇ καρδίᾳ καὶ τεθαῤῥηκότος· τὸ γὰρ δὶς ἑτοίμη ἀναφέρε ται, τὸ μὲν διὰ τὴν θεωρίαν, τὸ δὲ διὰ τὴν πρᾶξιν· καὶ διὰ μὲν τὴν θεωρίαν, τὸ ᾳ σο μαι· διὰ τὴν πρᾶξιν δὲ, τὸ ψαλῶ. Ἐν τῇ δό ξῃ δέ τις γενόμενος, ᾀδέτω καὶ ψαλλέτω. 107.3 Ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ο ρθρου. Τοῦ νοῦ μὲν σύμβολόν ἐστι τὸ ψαλτή ριον, τῆς δὲ ψυχῆς ἡ κιθάρα. Καὶ νοῦς μὲν ἐγείρεται ἀποβάλλων α γνοιαν, ψυχὴ δὲ κα κίαν. Ψυχὴν δὲ λέγω τὸ παθητικὸν μέρος τῆς ψυχῆς, ο περ ἐστὶ τὸ θυμικὸν καὶ τὸ ἐ πιθυμικόν. –Ἀλλὰ καὶ οι ς ἀνετείλετο φῶς τὸ ἀληθινὸν, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως πε ριπατοῦντες, ἐναρμονίως μελῳδοῦσι τῷ Σω τῆρι Θεῷ. 107.5 Καὶ ε ως τῶν νεφελῶν ἡ ἀλήθειά σου. Τὴν τοῦ Θεοῦ ἀλήθειαν αἱ λογικαὶ νεφέ λαι γινώσκουσιν, αι ς ἐντέλλεται μὴ βρέξαι ἐπὶ τοὺς ἁμαρτωλοὺς ὑετόν. 107.6 Ὑψώθητι ὑπὸ τοὺς οὐρανοὺς, ὁ Θεός. Οτε ὁ Χριστὸς εἰρηνοποίησε διὰ τοῦ αι ματος τοῦ σταυροῦ αὐτοῦ, ει τε τὰ ἐπὶ γῆς, ει τε τὰ ἐν τοῖς οὐρανοῖς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἐπέφανεν ἐν ταῖς ἐκκλησίαις ἡ δόξα τοῦ Θεοῦ, ὑψώθη ἐπὶ τοὺς οὐρανοὺς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα Κυρίου. 107.8 Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ. Ὁ α γιος τοῦ Θεοῦ ἐστίν. 107.10 Μωὰβ λέβης τῆς ἐλπίδος μου, ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. Εἰς πρόσωπον ει η τοῦ Σωτῆρος, ὁ ταῦτα λέγων· ἐπεὶ μεταλαμβάνεται Ἰδουμαία εἰς τὰ γήϊνα, ἐρεῖ ἐπὶ τὴν γῆν καὶ τὰ γήϊνα τὴν πορείαν ποιήσεσθαι· σύμβολον γὰρ κεκα λυμμένον πορείας τὸ ὑπόδημα. Πάλιν μὲν γὰρ γυμνῇ τῇ πορείᾳ ε χρητο, κτίζων, προ νοούμενος· νῦν δὲ μετὰ σαρκὸς η ς παράκει ται, καὶ ὑπόδημα αὐτοῦ τυγχάνει. –Εἰ ὁ α ρχων τοῦ κόσμου τούτου ἐξηβλήθη ἀπὸ τοῦ Σωτῆρος ε ξω, πόσῳ μᾶλλον οἱ ἀρχόμενοι δαίμονες ὑπ' αὐτοῦ. 107.13 Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπων. Ἡ σωτηρία τῆς λογικῆς φύσεως πνευμα τικὴ γνῶσίς ἐστι, διὸ καλῶς γέγραπται ο τι παρὰ ἀνθρώπων σωτηρία ματαία ἐστίν. 108.3 Καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. Λόγους μίσους ὠνόμασεν, η τοι τοὺς ἀπὸ μίσους προσφερομένους, η τοὺς μισητοὺς ἡ μᾶς ποιοῦντας παρὰ Θεῷ. 108.4 Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσηυχόμην. ᾿Εντεῦθεν γινώσκομεν ο τι, τινὸς κατηγο ρουμένου ἡμᾶς, δεῖ προσεύχεσθαι ὑπὲρ τῶν ἐχθρῶν, ι να μήποτε μνησικακίᾳ περιπεσόν τες, ἐκκρουσθῶμεν ἀπὸ τῆς γνώσεως. 108.7 Καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Οταν αἰτῶμεν ἐπίγεια, καὶ οὐκ ἐπουρά νια, ἡ προσευχὴ ἡμῶν γίνεται εἰς ἁμαρτίαν. 108.8 Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλί γαι. Αἱ ὑπὸ τοῦ νοητοῦ ἡλίου τῆς δικαιοσύνης γινόμεναι [οὐκ εἰσὶν ὀλίγαι]· περὶ γὰρ τοῦ ῾Αβραὰμ ε χει ο τι ἀπέθανε πλήρης ἡμερῶν. Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ε τερος. Τὸ περὶ τοῦ Ματθία φησίν· αὐτὸς γὰρ ἐλογίσθη εἰς τὸν κλῆρον. Τοῦτον τὸν στίχον ἐπὶ τοῦ ᾿Ιούδα ὁ Πέτρος τέθεικεν ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων. 108.9,10 Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρ φανοὶ, καὶ ἡ γυνὴ αὐτοῦ χήρα· ἐκβλήτω σαν ἐκ τῶν οἰκοπέδων αὐτῶν. Εστιν ε τι τῷ ῥητῷ καὶ ου τως χρήσασθαι, ο τι πᾶς ὁ διδάσκων, ὡς ᾿Ιησοῦ τὰ ἀλλότρια αὐτοῦ, προδίδουσι τὸν ᾿Ιησοῦν ὡς ὁ ᾿Ιούδας· ου γυνὴ μὲν ἡ τῶν πονηρευομένων ἐν τοῖς λόγοις αὐτοῦ ἐκκλησία, τέκνα δὲ ὁ καθ' ε να τῶν μα θητευομένων. Τὰ ου ν λεγόμενα περὶ γυναι κὸς ᾿Ιούδα καὶ τέκνων, τούτοις ἐφαρμώσεις. ᾿Ιούδας μὲν ὁ κατὰ ᾿Ιησοῦ παρὰ ᾿Ιουδαίοιςλόγος, γυνὴ δὲ ἡ συναγωγὴ, τέκνα δὲ ὁ κα θεῖς ἐκ τῶν μισούντων ᾿Ιησοῦν τοῦ λαοῦ. Καὶ τάχα νῦν ἐπώνυμοί εἰσιν, οὐκέτι τοῦ πατριάρχου ᾿Ιούδα, ἀλλὰ τοῦ προδότου. ᾿Εξεβλήθησαν δὲ ᾿Ιουδαῖοι ἐκ τῶν οἰκοπέδων αὐτῶν, α τινα η ν ῾Ιερουσαλήμ. 108.11 ᾿Εξερευνησάτω δανειστὴν πάντα ο σα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλ λότριοι τοὺς πόνους αὐτοῦ. Οἱ τὰ ὀκτὼ τάλαντα εἰληφότες, ο μὲν πέντε, ὁ δὲ δύο, ὁ δὲ ε ν, καὶ οἱ μίαν μνᾶν πεπιστευμένοι, ἐπὶ τῷ δανείζειν ταῦτα εἰ λήφασιν, ὡς δῆλον ἐκ τοῦ· Εδει σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, καὶ ἑξῆς. ἀλλὰ καὶ ὁ δίκαιος ο λην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει, καὶ ἐν ἐπαγγελίᾳ λέγεται· Δανείζει ἐν ε θνεσι πολλοῖς. Κατὰ δὲ ταῦτα ζητήσεις, εἰ τῶν μὴ ἀποδιδόντων α ἐδάνει σαν τό· ἐξερευνᾷ ὁ δανειστὴς πάντα τὰ ὑ πάρχοντα αὐτῷ. 108.12 Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ. Μηδεὶς ἐλεήσῃ τὰ ἐκ τῶν ἐπισπειρομένων ζιζανίων γεννήματα. Ει τις ἐξετάζοι α πε πόνθασιν οἱ ᾿Ιουδαῖοι μετὰ τὴν παρουσίαν Χριστοῦ, ο ψεται πῶς τῷ ᾿Ιούδᾳ οὐχ ὑπῆρξεν ἀντιλήπτωρ, οὐδὲ ἐγεννήθη οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ. 108.14 ᾿Αναμνησθείη ἡ ἀνομία τῶν πατέ ρων αὐτοῦ ε ναντι Κυρίου, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη. Πατέρας αὐτῶν καλεῖ τοὺς κατὰ διαφό ρους καιροὺς δυσσεβήσαντας· μητέρα δὲ, τὴν ῾Ιερουσαλὴμ, ἐν ῃ τῆς κατὰ τοῦ δεσπό του Χριστοῦ μιαιφονίας ἐτολμήθη τὸ μῦσος. –Η αὐτοῦ τοῦ λαοῦ [ἡ ἀνομία]· συνάπτει γὰρ τῷ προδότῃ τὸν παράνομον λαὸν, καὶ ἁμαρτίαν τῶν πατέρων φησὶ τὸ ἀποκτεῖναι τοὺς προφήτας, κατὰ τὸ εἰρημένον ἀπὸ Κυρίου, ο τι πᾶν αι μα δίκαιον ἐκχυθὲν ἀπὸ τοῦ Αβελ ε ως Ζαχαρίου τοῦ προφήτου ἐκ δικηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. Μητέ ρα δὲ τοῦ ἀσεβοῦς λαοῦ τὴν πονηρὰν ἐκεί νην νοήσεις συναγωγὴν, τὴν πολλάκις πα ραπικράνασαν τὸν Θεόν. –Πατέρων ἀρετὴ πολλάκις καὶ πλημμελήσαντας ὠνήσει παῖ δας, ὡς τοὺς ᾿Ιουδαίους τοῦ ῾Αβραὰμ ἡ πίστις· πονηρία δὲ πατέρων τοῖς ὁμοίοις παισὶν ἐπάξει τὴν τιμωρίαν. Τοῦτο τοίνυν αἰνίττε ται ὁ προφητικὸς λόγος, ο τι οἱ ᾿Ιουδαῖοι τὴν πανολεθρίαν ὑπομείναντες πρὸς ταῖς οἰκεί αις ἀσεβείαις, καὶ τῇ μνήμῃ τῶν πατρῴων κακῶν φανήσονται βδελυρότεροι. 108.15 Γενηθήτωσαν ἐναντίον Κυρίου δια παντὸς, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημό συνον αὐτῶν. ᾿Αντὶ τοῦ· Ταῦτα, φησὶ, τὰ ὑπ' αὐτῶν τολ μήματα παράνομα ἀεὶ θεώμενος ὁ Θεὸς, οὐδεμίας αὐτοὺς ἀξιώσει φείδους, ἀλλὰ πα νολεθρίᾳ παραδώσει· ἐξολοθρεύθη γὰρ ἐκ γῆς τὸ μνημόσυνον τῶν ἀρχόντων ἐκείνων, τῶν κατὰ τοῦ Κυρίου συστάντων, ὡς μηδὲ σπέρ μα αὐτῶν εἰς μνημόσυνον μεῖναι. 108.17 Καὶ ἠγάπησε κατάραν, καὶ η ξει αὐτῷ, καὶ οὐκ ἐθέλησεν εὐλογίαν, καὶ μα κρυνθήσεται ἀπ' αὐτοῦ. Εἰ τῷ ἀγαπῶντι τὴν κατάραν ε ρχεται ἡ κατάρα, δηλονότι καὶ τῷ ἀγαπῶντι τὴν εὐ λογίαν, ε ρχεται ἡ εὐλογία. –Καὶ πάλιν, εἰ τῷ μὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θέλοντι τὴν κατάραν, οὐκ ε ρχεται ἡ εὐλογία, καὶ τῷ μὴ θέλοντι τὴν κατάραν, οὐκ ε ρχεται ἡ κατάρα. Καὶ τίς θέλει ἐλθεῖν αὐτῷ κατάραν; Οὐδεὶς μὲν τῷ λόγῳ, πλὴν δὲ δι' ω ν πράττουσι, θέλουσι τὴν κατάραν. Εἰ γὰρ καὶ μὴ ε θελον, οὐκ α ν τι τῶν κατάρας ἀξίων κα τειργάσαιντο. Καὶ ὡσαύτως καὶ ἐπὶ τοῦ θέ λειν τὴν εὐλογίαν νοητέον· οὐ γὰρ ὁ λόγῳ θέλων τὴν εὐλογίαν, ου τος εὐλογεῖται, ἀλλ' ὁ παρέχων ἑαυτὸν α ξιον τῆς εὐλογίας Κυ ρίῳ δι' ε ργων ἀγαθῶν. 108.19 Καὶ ἐνεδύσατο κατάραν, ὡς ἱμά τιον. Εἰ ἐνδύονται κατάραν, ὡς ἱμάτιον, οἱ λα λοῦντες πονηρὰ κατὰ τῆς ψυχῆς τοῦ Σωτῆ ρος, οἱ δὲ αἱρετικοί εἰσιν οἱ λαλοῦντες πονη ρὰ κατὰ τῆς ψυχῆς τοῦ Χριστοῦ, ἀναιροῦν τες αὐτὸν, α ρα ἐνδύσονται κατάραν, ὡς ἱμά τιον, καὶ διπλοΐδα αἰσχύνην αὐτῶν. – Ωσ περ τοὺς Χριστὸν ἐνδυσαμένους διὰ τῶν κα κῶν ἐκδύει ὁ Σατανᾶς, ου τως καὶ τοὺς κα τάραν ἐκδυσαμένους διὰ τῶν ἀρετῶν ἐνδύει ὁ Χριστός. 108.22 Καὶ ἡ καρδία μου τετάρακται ἐν τός μου. Εἰ καὶ τετάρακταί μου ἡ καρδία, ἀλλ' οὐχ ω στε μου καὶ ε ξωθεν φθάσαι τὴν ταραχὴν αὐτῆς ἐπὶ λόγον η πρᾶξίν μου· τοιοῦτόν ἐσ τιν καὶ τό· Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐτα ράχθη. 108.23,24 Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν, ἀντανηρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες. Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας. Τὸ σφοδρὸν τῆς ἐπιβουλῆς τῶν ἀδικησάν των λέγει, τὴν κακουχίαν τὴν α φατον, καὶ τὴν παρ' ἑαυτοῦ πάλιν γενομένην ἐν τοῖς τοιούτοις σπουδήν. Τὰ γόνατά μου, φησὶν, ἠσθένησαν ἀπὸ νηστείας. Ὁρᾷς αὐτὸν οι α κατασκευάζει ο πλα πρὸς τὰς ἐπιβουλὰς καὶ πρὸς τὴν τοῦ αὐχμοῦ κακουχίαν, διὰ τούτων τὸν θάνατον παρεδήλωσε· σκιᾷ γὰρ, φησὶ, κλιθείσῃ καὶ ἀναιρεθείσῃ, παραπλησίως ἐδε ξάμην τοῦ βίου τὸ τέλος· ἀλλὰ καὶ δίκην ἀκρίδων ὑπὸ ἀνέμων ῥιπτομένων. καὶ τῇδε κἀκεῖσε περιφερομένων, ἀεὶ διετέλεσα. – Ἀπὸ νηστείας, ο τε τεσσαράκοντα ἡμέραις ἐνήστησε καὶ τεσσαράκοντα νυξί. 108.25 Ει δοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν. Τοῦτο γέγονε κατὰ τὸν καιρὸν τοῦ σταυ ροῦ· ἐκίνουν γὰρ οἱ Ἰουδαῖοι τὰς κεφαλὰς αὐτῶν λέγοντες· Αλλους ε σωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. 108.29-31 Ἐνδυσάσθωσαν οἱ ἐν διαβάλ λοντές με ἐντροπὴν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν· ο τι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν κατα διωκόντων τὴν ψυχήν μου. Ἐντροπὴν ἐνδύονται οἱ ἐνδιαβάλλοντες τὸν δίκαιον. –Ὁ μὲν Σαμουὴλ ἐνδύεται διπλοΐδα, η ν πεποίηκεν αὐτῷ ἡ α νω Ἱερου σαλὴμ, η τις ἐστὶ μήτηρ ἡμῶν· οἱ δὲ ἅμαρ τωλοὶ ἐνδύονται διπλοΐδα αἰσχύνην αὐτῶν. –Ἡ ἐξομολόγησις τὴν εὐχαριστίαν σημαί νει, η ν ποιεῖται διὰ τῶν εἰς αὐτὸν πιστευόν των ἐθνῶν· κεφαλὴ γὰρ τῆς ἐκκλησίας τυγ χάνων, τὸν αὐτῆς οἰκειοῦται υ μνον. –Πα ρέστη δὲ Πατὴρ ἐκ δεξιῶν Υἱοῦ τοῦ πτωχεύ σαντος, ἀχώριστον τὴν οἰκίαν ποιησαμένου, διὰ τὴν τοῦ Υἱοῦ πρὸς τὴν ἀνθρωπότητα ε νωσιν, κα ν συνεχώρει τὸ πάθος, ἐπειδὴ δι' αὐτοῦ τὸ τοῦ κόσμου σωτήριον γίνεσθαι ε μελλεν. Ἀντὶ δὲ τούτων ἁπάντων ἀμοιβὰς ἀνατίθεται τῷ Θεῷ, τὴν ὑμνολογίαν, τὴν εὐ χαριστίαν, τὸ παράπασιν ἀπαγγέλλειν αὐτοῦ τὰ κατορθώματα, τὸ ἐν μέσῳ θεάτρῳ κήρυ κα γενέσθαι τῶν αὐτῷ ὑπαρξόντων. Τοῦτο γὰρ θυσία, τοῦτο προσφορὰ, τὸ τὰς εὐεργε σίας τοῦ Θεοῦ διὰ παντὸς ἐπὶ μνήμης φέ ρειν καὶ ἐγκολάπτειν τῇ διανοίᾳ, καὶ ἐπὶ στόματος ἀνακηρύττειν. –Ει τίς ἐστι δε ξιὸς, ου τος πάντως καὶ ἐν δεξιᾷ παρίσταται τῷ δικαίῳ· εἰ δέ τις ἐν δεξιᾷ παρίσταταί τι νι, ου τος οὐ πάντως ἐστὶ καὶ δεξιός· καὶ γάρ· Ὁ διάβολος, φησὶ, στήτω ἐκ δεξιῶν αὐτοῦ. 109.1-6 Ει πεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ε ως α ν θῶ τοὺς ἐχ θρούς σου ὑποπόδιον τῶν ποδῶν σου. –Ῥάβ δον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιὼν, κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. –Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμε ώς σου, ἐν τοῖς λαμπρότησι τῶν ἁγίων σου, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. – Ωμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ. –Κύριος ἐκ δεξιῶν σου, συ νέθλασε ἐν ἡμέρᾳ ὀργῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ βασιλεῖς. – Κρινεῖ ἐν τοῖς ε θνεσι, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν. Χάριτι Θεοῦ αὐτοῦ μὲν ἀκούει ὁ προφήτης α ει πε Χριστῷ, ἐν τοῖς πρώτοις δύο στίχοις καὶ τοῖς μετὰ τὸν τρίτον τέτταρσι· κινούμε νος δὲ ὑπὸ τοῦ ἁγίου Πνεύματος, λέγει τὰ ἐκ προσώπου αὐτοῦ τρία στιχία τοῖς μετὰ τὸν ε βδομον. Εἰς τὸν Κύριον ἡμῶν καὶ Θεὸν τὸν Χριστὸν ει ρηται, τὸν μονογενῆ καὶ πρωτό τοκον· πρωτότοκον μὲν κατὰ τὴν σάρκα, μονογενῆ δὲ κατὰ τὴν θεότητα· ει ς γὰρ σὺν ἀμφοτέροις καὶ Υἱὸς καὶ Κύριος. ᾿Επιτρέ πεται δὲ καθίσαι οὐχ ὡς μονογενὴς, κατὰ τοῦτο γὰρ συναΐδιος, ἀλλὰ ὡς πρωτότοκος καὶ κληρονόμος. Δηλωθέντος γὰρ διὰ τοῦ προλαβόντος ψαλμοῦ τοῦ πάθους, νῦν τὰ μετὰ τὴν ἀνάληψιν ὁ παρὼν προθεσπίζει. Τοῦτο καὶ Πέτρος εἰς τὸν Κύριον ἐξελά βετο, καὶ αὐτὸς ὁ Σωτὴρ, οὐκ ἐκβάλλων τὸ ει ναι υἱὸν τοῦ Δαυὶδ τὸν Χριστὸν, ἀλλὰ τῷ ὁμολογουμένῳ τὸ ἀγνοούμενον προστιθείς· (Τὸ μὲν γὰρ ει ναι υἱὸν τοῦ Δαυὶδ τὸν Χριστὸν οἱ Φαρισαῖοι ἐγίνωσκον, ο τι δὲ κύριος η ν τοῦ Δαυὶδ ἠγνόουν). Κάθου ἐκ δεξιῶν μου, ἀντὶ τοῦ· μετέδωκε τῷ Κυρίῳ μου ὁ Κύριος τῆς ἐκ δεξιῶν καθέδρας, μετέδωκε δὲ διὰ τὴν σάρκα, τὴν μὴ ε χουσαν τοῦτο πρὸ τού του, οὐ διὰ τὴν θεότητα, τὴν ἐκ φύσεως τοῦτο κεκτημένην. Οὐδεὶς γὰρ τῷ ε χοντι δίδωσι α ε χει· καὶ ᾿Ιουδαίων γὰρ ψιλὸν α ν θρωπον αὐτὸν ὑπολαμβανόντων, ὡς ἐκ Δα υὶδ ε δειξεν, αὐτὸς Κύριος ω ν διὰ τὴν θεό τητα ἐν εὐαγγελίοις. Τὸ δὲ ε ως α ν θῶ, οὐ κατὰ περιορισμὸν, ἀλλὰ κατὰ περιουσίαν λέγει, οὐ δὲ γὰρ ε ως τότε κάθηται, ε ως τεθῶσιν οἱ ἐχθροὶ ὑποκά τω, μετὰ δὲ τοῦτο τῆς τιμῆς ἐξίσταται· ε δει γὰρ αὐτὸν μᾶλλον, τοῦ πολέμου ἐνεστῶτος, ι στασθαι καὶ ἀγωνιᾶν, ι να καὶ ἀνθρωπίνως ει πω, μετὰ δὲ τὴν νίκην κατῆσθαι. ᾿Αλλ' ο περ ει πον, κατὰ περιουσίαν τοῦτο καὶ ἐπί τασιν λέγει, ὡς τό· ᾿Εγώ εἰμι, καὶ ε ως ου γηράσητε, ἐγώ εἰμι· οὐ γὰρ μετὰ τὸ γηρᾶ σαι ᾿Ιουδαίους, οὐκ ε μελλεν ε σεσθαι. Εἰς τό· ἐκ δεξιῶν μου, ἐπεὶ ε στι τι καὶ ἐξ εὐωνύμων τοῦ Θεοῦ, παραθησόμεθα ἐκ τῆς τρίτης τῶν βασιλειῶν ταῦτα· Ει δεν Θεὸν ᾿Ισραὴλ καθήμενον ἐπὶ θρόνον αὐτοῦ, καὶ πᾶσα ἡ στρατειὰ τοῦ οὐρανοῦ εἱστήκει περὶ αὐτὸν ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ ἀριστερῶν. Ιδε εἰ δύναται τό· Κάθου ἐκ δεξιῶν μου εἰρῆσθαι, ὡς τό· Οὐκ οι δατε τί αἰτεῖσθε. Τὸ δὲ καθί σαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων, οὐκ ε σ τιν ἐμὸν τοῦτο δοῦναι, ἀλλ' οι ς ἡτοίμασται ὑπὸ τοῦ Πατρός μου. Ει ρηται δὲ τοῦτο, οὐχ ο τι ὁ Θεὸς ε χει δεξιὰ καὶ ἀριστερὰ, ὁ ἀσχη μάτιστος καὶ πάντα πληρῶν. Εως α ν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· ἐχθρὸς διαφερόντως μέν ἐσ τιν ὁ διάβολος καὶ οἱ τούτου διάκονοι δαίμο νες, πρὸς δὲ τούτοις καὶ οἱ τοῖς θείοις αὐτοῦ κηρύγμασιν ἀντιπίπτοντες, ᾿Ιουδαῖοι καὶ Ελληνες. Τὸ δὲ ε ως οὐ χρόνου σημαντικὸν, ἀλλ' ἰδίωμα τῆς γραφῆς ἐπὶ τοῦ ἀδιαλείπ τως ἀεὶ τίθεσθαι. 109.7 ᾿Εκ χειμάῤῥου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν. Ζητήσεις τὸν ἐκ χειμάῤῥου ἐν ὁδῷ πίνον τα Κύριον, καὶ διὰ τὸ πίνειν ἐκ χειμάῤῥου ἐν ὁδῷ ὑψοῦντα τὴν κεφαλὴν, οι μαι, ἐκείνου ἀφ' ου ἐκ χειμάῤῥου ο ντως πίνει. –Εἰ διὰ τοῦτο ὑψώσει τὴν κεφαλὴν αὐτοῦ ὁ Χρισ τὸς, ἐπειδὴ ἐκ τοῦ χειμάῤῥου τοῦ ἐν τῇ ὁδῷ ε πιεν υ δωρ, τάχα ὁ χείμαῤῥος τὸν ἐν τῷ βίῳ τούτῳ θάνατον αὐτοῦ σημαίνει, ο ν ἐν εὐαγ γελίοις ποτήριον ὀνομάζει· Πάτερ, λέγων, εἰ δύνατόν ἐστι, παρελθέτω τὸ ποτήριον τοῦτο. Καὶ πάλιν· Οταν ὑψωθῶ, φησὶν ὁ Σωτὴρ, εἱλκύσω πάντα πρὸς ἐμαυτόν. 110.1 ᾿Εξομολογήσομαί σοι, Κύριε, ἐν ο λῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ. Βουλὴ καὶ συναγωγὴ εὐθέων γενεά ἐστιν εὐθέων. Ει ποι δ' α ν τις· Δός μοι βουλὴν εὐ θέων, ἑκάστου τῶν ἐν τῇ βουλῇ ο ντος εὐ θείᾳ, ὁμοίως καὶ συναγωγὴν, καὶ ἐξομολογή σομαι ἐν ο λῃ καρδίᾳ αὐτοῖς. Εστιν α γιος, ε στιν εὐθεῖα γραμμὴ, η τις ἐξ ι σου τοῖς ἐφ' ἑαυτῆς σημείοις κεῖται. Οὐκ ἐγὼ δὲ μόνος, ἀλλὰ καὶ σὺν ἐμοὶ τῶν εὐσεβῶν ὁ σύλλογος, κατ' ἐκεῖνον [ει πον· Μεγάλα τὰ ε ργα Κυ ρίου], ἐξεζητημένα πάντα τὰ θελήματα αὐ τοῦ. 110.3 ᾿Εξομολόγησις καὶ μεγαλοπρέπεια, τὸ ε ργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μέ νει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Εἰ ἡ δικαιοσύνη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ μένει εἰς τὸν αἰῶ να τοῦ αἰῶνος, οἱ δὲ δίκαιοι διὰ τὴν δικαιο σύνην ὀνομάζονται δίκαιοι, καὶ αὐτοὶ α ρα μένουσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· καλῶς ου ν καὶ ὁ Παῦλος ει πεν· Ἡμεῖς δὲ πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. 110.10 Ἀρχὴ σοφίας φόβος Θεοῦ, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. Σύνεσις ἀγαθὴ δίδοται τοῖς ποιοῦσι δηλο νότι τὴν ἀρχὴν τῆς σοφίας, ω σπερ τῆς ὁδοῦ τῆς ἀγαθῆς· αὐτὴ δέ ἐστιν ἡ θεωρία τῆς ἀληθείας· ἀρχὴ τὸ ποιεῖν τὰ δίκαια ὑπάρ χει· ου τως ἀρχὴ καὶ εἰσαγωγὴ εἰς τὴν τοῦ Θεοῦ σοφίαν, οὐκ α λλην ου σαν τῆς θεωρίας τῆς ἀληθείας, ὁ θεῖός ἐστι φόβος, ὁ αὐτὸς ω ν τοῖς πρακτικοῖς, δικαίοις ὀνομαζομένοις· ο νπερ ου ν ε χει λόγον τὸ ποιεῖν τὰ δίκαια πρὸς τὴν ὁδὸν, τοῦτον ὁ τοῦ Θεοῦ φόβος πρὸς τὴν σοφίαν. 111.1 Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφό δρα. Ἡ ὑπόθεσις τοῦ ρια΄ ψαλμοῦ ἐστιν αυ τη. Δι' ο λου τοῦ ψαλμοῦ διδασκόμεθα τίνα πρό σεστι τοῖς φοβουμένοις τὸν Κύριον· ει τινι οὐ πρόσεστι ταῦτα, οὐ φοβεῖται τὸν Κύριον. Φοβούμενος τὸν Κύριον, ε ως τοῦ σφόδρα, [ἰστέον] τῷ τέλει τοῦ πρὸ τούτου ψαλμοῦ ε πεσθαι τὸ προοίμιον καὶ ω σπερ ε ν σῶμα ει ναι συνεχὲς καὶ συνημμένον· ἐκεὶ μὲν γὰρ ἀρ χὴ σοφίας, φησὶ, φόβος Θεοῦ· ἐνταῦθα δὲ, μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἑτέροις μὲν ῥήμασι, τοῖς αὐτοῖς δὲ νοήμα σι παιδεύων τοῦ Θεοῦ τὸν φόβον. Ἐκεῖ μὲν γὰρ αὐτὸν σοφὸν ε φη ει ναι, ἐνταῦθα δὲ μα κάριον· τὸ δὲ ο ντως μακάριον τοῦτο, ω στε γε α λλα πάντα ματαιότης τε καὶ σκιὰ καὶ ψιλὰ πράγματα, κα ν πλοῦτον ει πῃς, κα ν δυ ναστείαν. Ει τα ἐπειδὴ δαίμονες αὐτὸν δε δοίκασι, καὶ φρίττουσι, ι να μὴ νομίσῃς τοῦ το μόνον ἀρκεῖν εἰς σωτηρίαν, ο περ α νω πεποίηκε τοῦτο, καὶ ἐνταῦθα ποιεῖ. Καθάπερ γὰρ ἐκεῖ εἰπών· Ἀρχὴ σοφίας φόβος Κυρίου, ἐπήγαγε· Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποι οῦσιν αὐτὴν, τοῖς δόγμασι τὴν συμβαίνου σαν πολιτείαν ἀπαιτῶν· ου τω καὶ ἐνταῦθα εἰπὼν τὸν φόβον, οὐκ ἐκεῖνον μόνον λέγει τὸν ἀπὸ τῆς γνώσεως, ο ν καὶ δαίμονες ε χου σιν, ἀλλὰ καὶ τοῦτο προτίθησι λέγων· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Τοῦτο ει πε, βίον ἀπαιτῶν καὶ πολιτείαν ἀκριβωμέ νην καὶ ψυχὴν φιλόσοφον. 111.5 Χρηστὸς ἀνὴρ ὁ οἰκτίρμων καὶ κι χρῶν· οἰκονομήσει λόγους αὐτοῦ ἐν κρίσει. Οτι τὸ δανεῖν ἐν ε θνεσι πολλοῖς τροπο λογεῖται εἰς λόγων κατασκευάσεις ἐκ τοῦ ἐπιφέρεσθαι τό· Χρηστὸς ἀνὴρ ὁ οἰκτίρμων καὶ κιχρῶν, καὶ τό· Οἰκονομήσει τοὺς λό γους αὐτοῦ ἐν κρίσει. – Χρηστέον τῷ ῥητῷ πρὸς τοὺς ἀπερισκέπτως ἐκφέροντας μυσ τήρια θείας γραφῆς ἀδιακρίτως. Καὶ γὰρ ὁ Παῦλός φησιν· Ου τως ἡμᾶς λογιζέσθω α ν θρωπος, ὡς οἰκονόμους καὶ ὑπηρέτας μυστη ρίων Θεοῦ. 111.7,8 Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσε ται, ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον· ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ, ε ως ου ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐ τοῦ. Πονηρὰ ἀκοὴ, τῶν ἑτεροδόξων ει η α ν δι δασκαλία, ἀφ' η ς οὐ φοβηθήσεται ὁ ἐπιστή μων καὶ ἐπιστημόνως φοβούμενος Κύριον. –Ου τε ἀπειλὰς θείσει, ου τε ἀγγελία φόβον ἱκανὸν ἐμποιησει. Ὁ δὲ Σύμμαχος ου τως ει ρηκεν τὴν ἑτοίμην ἑδραίαν. Βεβαίαν γὰρ καὶ ἑδραίαν ε χει τὴν εἰς Θεὸν ἐλπίδα, καὶ διὰ τοῦτο τοιούτων θορύβων καταφρονεῖ. 112.π Ἀλληλούϊα. Ἠθικὸς καὶ ου τος καὶ εἰς ὠφέλειαν συγ γεγραμμένος· διεγείρει γὰρ πάντας εἰς ὑμ νῳδίαν τοῦ εὐεργέτου. –Ἐν τούτῳ διδάσ κεται ὁ λαὸς ὁ νεὸς ἀδιάλειπτον τὸν υ μνον προσφέρειν τῷ λυτρωσαμένῳ· ἀλλὰ δὲ καὶ τῶν ἐθνῶν πάντων κατασημαίνει τὴν κλῆσιν, ου ς καὶ παῖδας καλεῖ, διὰ τὸ ἀρτιγενὲς τῆς κατὰ ψυχὴν ἡλικίας, η παῖδας τουτέστι δού λους αἰνίττεται. 112.1,2 Αἰνεῖτε, παῖδες, Κύριον, αἰνεῖτε τὸ ο νομα Κυρίου· ει η τὸ ο νομα Κυρίου εὐ λογημένον ἀπὸ τοῦ νῦν καὶ ε ως τοῦ αἰῶνος. Διδάσκει τοὺς νέους τί δεῖ αἰνεῖν, α τε ἀ πάλους καὶ μήπω ε χοντας γεγυμνασμένην τὴν πρὸς τὰ τοιαῦτα ε ξιν. Πῶς ου ν αἰνεῖν δεῖ; Ει η τὸ ο νομα Κυρίου εὐλογημένον. Η παισὶν ἀπεικάζει τοὺς διὰ τὸ νεαρὸν τῆς κα τὰ Θεὸν ἡλικίας ἐν ψυχῇ νεωμένους, ου ς ἐπὶ τὸν αι νον καλεῖ τοῦ Θεοῦ. Ἀκύλας δὲ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σύμμαχος δούλους ἀντὶ τοῦ παῖδες ἐξέδω καν. Δούλων γὰρ οὐ διαφέρουσι παῖδες, φό βῳ δουλείας παιδαγωγούμενοι· διὸ φοβουμέ νους Κύριον αὐτοὺς ει πεν ὁ πρὸ τούτου ψαλ μός. Ἁπλῶς δὲ καὶ χωρὶς προσθήκης οἱ νέοι παῖδες καλοῦνται· οἱ δὲ δοῦλοι, παῖδες τι νῶν. Η παῖδας καλεῖ, ὡς ἀκμάζειν ὀφεί λοντας περὶ τοὺς υ μνους. Διὰ δὲ τοῦ· Ει η τὸ ο νομα Κυρίου εὐλογημένον, δηλοῖ ὡς εἰ καὶ τὴν φύσιν αὐτοῦ ἀγνοεῖτε, ἀλλὰ δεῖ, ὡς ὑπ' αὐτοῦ τὸ ει ναι λαβόντας, τὸ αὐτοῦ ὑμνεῖν ο νομα, ο περ αἰώνιον ε χει τὴν εὐλογίαν καὶ ἀδιάδοχον. 112.3 Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ο νομα Κυρίου. Εἰπὼν δὲ ἀνωτέρω χρόνον, ἐν τούτοις λέ γει καὶ τόπον, ο τι ἐν παντὶ χρόνῳ καὶ ἐν παντὶ τόπῳ ὑμνεῖσθαι ὀφείλει· η τὴν μετὰ ἐνανθρώπησιν τοῖς ε θνεσι παρασχεθεῖσαν θεογνωσίαν τὸ ῥητὸν προθεσπίζει, μεθ' η ν ἐπλήσθη πᾶσα ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον. Ἡ θάλασσα ει δε καὶ ε φυγεν· ὁ Ἰορδάνης ἀνεχώρησεν εἰς τὰ ὀπίσω. Τὰ ο ρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς α ρ νια προβάτων. Δηλοῦν ε οικεν ὡς μετέχει τινὸς αἰσθή σεως ἡ πᾶσα κτίσις, ἀντιληπτικῆς τῆς θείας δυνάμεως, κα ν α ψυχος ῃ , ὡς καὶ χαίρειν, ἐπιβαίνοντος αὐτῆς τοῦ Θεοῦ, τῆς τε χαρᾶς μονονουχὶ τὴν αἰτίαν λεγούσης. Ἡ δὲ Μωϋ σέως μόνον διδάσκει ἡ γραφὴ, ο τι Κύριος ἐν Σινᾷ ω φθη, καὶ ἐπέφανεν ἐξ ο ρους Χω ρὴβ, καὶ α γγελοι μετ' αὐτοῦ. Καὶ ἀνέβη, φη σὶ, Μωϋσῆς εἰς τὸ ο ρος, καὶ ει δε τὰ ι χνη ε νθα εἱστήκεσαν οἱ πόδες τοῦ Θεοῦ· καὶ ὡς ο λοις τεσσαράκοντα ε τεσι τοῦ λαοῦ οἰκοῦντος τὴν ε ρημον, συνεῖν αὐτοῖς τὸ θεῖον ἐπιβαῖνον ο ρεσι καὶ βουνοῖς· νυνὶ δὲ καὶ τὴν ἐκ τῆς αἰσθήσεως λόγος ὑποφαίνει χαράν. 113.10 Μήποτε ει πωσι τὰ ε θνη· Ποῦ ἐστὶν ὁ Θεὸς αὐτῶν. Ενθα τὸ Ποῦ λέγεται, ἐκεῖ καὶ τὸ πότε· τὸ μὲν γὰρ τόπου ἐστὶ σημαντικὸν, τὸ δὲ χρόνου. Εἰ δὲ χρόνος οὐ λέγεται ἐπὶ Θεοῦ (ποιητὴς γὰρ χρόνων ἐστὶν), οὐκοῦν οὐδὲ τὸ Ποῦ ῥηθήσεται ἐπ' αὐτοῦ· δημιουργὸς γὰρ καὶ τόπων ἐστὶν, ει γε καὶ ὁ τόπος αὐτὸς τῆς σωματικῆς ἐστι φύσεως. 113.11 Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. Πάντα ο σα θέλησεν, ἐποίησε. Οὐ τὸν μὲν Κύριον ὡς η ν αἱ νοεραὶ καὶ α γιαι δυνάμεις ἐπίστανται· τὸν δὲ Κύριον ὡς α νθρωπον γινώσκουσι καὶ οἱ α νθρωποι. Ἐντεῦθεν γινώσκομεν ο τι ο σα βούλεται ὁ Θεὸς, ταῦτα καὶ δύναται· πάντα γὰρ, φησὶν, α ἐθέλησεν ὁ Θεὸς, ἐποίησεν· οὐκ ει τι δὲ δύναται, τοῦτο πάντως καὶ βούλεται· νε κρῶν μὲν ἀνάστασιν δύναται ποιῆσαι νῦν, οὐ βούλεται δέ· καὶ πάλιν ἐνανθρωπῆσαι, ἀλλ' οὐ βούλεται. 113.13 Στόμα ε χουσι, καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ε χουσι, καὶ οὐκ ο ψονται κτλ. Οὐ ταὐτὸν αι σθησις καὶ αἰσθητήριον, οὐ δὲ αἰσθητικόν τε καὶ αἰσθητόν. Αι σθησις μὲν γάρ ἐστιν ἡ δύναμις καθ' η ν εἰώθαμεν ἀντιλαμβάνεσθαι τῶν ὑλῶν. Αἰσθητήριον δὲ, τὸ ο ργανον ἐν ῳ καθίδρυται αυ τη. Αἰσθητι κὸν δὲ τὸ ζῶον τὸ κεκτημένον τὰς αἰσθή σεις. Αἰσθητὸν δὲ τὸ πεφυκὸς ταῖς αἰσθή σεσιν ὑποπίπτειν. Ἀλλ' οὐχ ου τως ἐπὶ τῶν εἰδώλων· πάντων μὲν γὰρ τούτων ἐστήρην ται· μόνα δὲ ε χει τὰ τῶν φυσικῶν αἰσθητη ρίων μιμήματα, οι ον ὀφθαλμοὺς καὶ ω τα καὶ ῥῖνας καὶ τὰ ἑξῆς. 113.19 Οἱ φοβούμενοι τὸν Κύριον, η λπι σαν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Ἐν μὲν τῇ πρὸς πολεμίους μαχῇ τὸν Κύ ριον ε χομεν βοηθὸν, ἐν δὲ τοῖς οἰκείοις πράγμασι τοῖς τε κατὰ ψυχὴν καὶ κατὰ σῶ μα, αὐτὸν ε χομεν εὐλογοῦντα ἡμᾶς, ὡς ἐ παρκεῖν ἡμῖν ἀντὶ παντὸς καλοῦ τε καὶ ἀ γαθοῦ. 113.22 Εὐλόγησε τοὺς φοβουμένους, τοὺς μικροὺς μετὰ τῶν μεγάλων. Οὐδὲ ε ν ε θνος, φησὶν, ε ρημον εὐλογίας η ν, ἀλλ' εἰς πάντας ἐτέτατο αυ τη. 114.2 Καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέ σομαι. Καὶ ποίαις ἡμέραις, η ταῖς τοῦ ἀγῶνος, ο τε καὶ ἐκινδύνευσεν αὐτοῦ ἡ ψυχή; 114.4 Ω Κύριε, ῥῦσαι τὴν ψυχήν μου. Εἰρηκὼς ἀνωτέρω ο τι καὶ ἐπικαλέσομαι ἐν ταῖς ἡμέραις μου, τίς ἡ ἐπίκλησις, διδάσ κει. Καὶ ποία αὐτὴ, η τό· ω Κύριε, ῥῦσαι τὴν ψυχήν μου; ει πε δὲ ταῦτα, εἰδὼς ὡς ἐ λεήμων ἐπακούσεται. 114.7 Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀ νάπαυσίν σου. Ωσπερ ὁ νοσῶν ἐπιστρέφει πρὸς τὴν ὑ γιείαν, ου τω καὶ ἡ ψυχὴ εἰς τὴν ἀνάπαυσιν αὐτῆς. Η δὲ τοῦτο· η ν α ρα ποτὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν τῇ ἀνα παύσει αὐτῆς ἡ ψυχή· καὶ γὰρ ὁ νοσήσας ἐν τῇ ὑγιείᾳ ὑπῆρχέ ποτε. Τοῦτο καὶ ὁ ἀ πόστολος λέγει τῷ· Θέλω ἀναλῦσαι καὶ σὺν Χριστῷ ει ναι. Ἡ γὰρ ἀνάλυσις τῶν ὑποστρεφόντων ἐπὶ τὸν πρότερον αὐτῶν τόπον ἐστιν. 115.2 Πᾶς α νθρωπος ψευδής. Ἐφ' ο σον α νθρωπός τίς ἐστι, ψεύστης ἐσ τίν. Ἐὰν δὲ ἀπιστῆται τὸ ει ναι α νθρωπος, οὐκ ε στι ψεύστης, ἀλλὰ ἀληθευτής ἐστι. – Εἰ α νθρωπός ἐστι καὶ ὁ Δαυὶδ, ψεύστης ἐσ τὶν, εἰ δὲ ψεύστης, λέγων ἑαυτὸν ψεύστην, οὐκ ε στι ψεύστης, ἀλλ' ἀληθευτής ἐστιν. Εἰ δὲ ἀληθευτής ἐστιν, ἀληθευτής ἐστιν λέγων ἑαυτὸν ψεύστην· α νθρωπος ω ν, ψεύστης ἐσ τίν. Περιεγράφη α ρα ὁ λόγος εἰς ἀμφότερα, καὶ εἰς τὸ ει ναι αὐτὸν ἀληθευτὴν, ἐὰν α ν θρωπος ῃ, καὶ εἰς τὸ ει ναι αὐτὸν ψεύστην. Καὶ καλεῖται ὁ λόγος ου τος παρὰ τοῖς δια λεκτικοῖς α πορος. – Ολου τοῦ ψαλμοῦ ἐν βραχεῖ ἡ διάνοια· πολλοὶ μὲν οἱ ἐν ἀνθρώ ποις λόγοι, καὶ πολλὰ πολλοῖς πεφιλοσόφη ται ἐξετάζουσι τὰ περὶ τῆς ἀληθείας κτλ. 117.1 Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ο τι ἀγα θὸς, ο τι εἰς τὸν αἰῶνα τὸ ε λεος αὐτοῦ. Ἐπεὶ ἀγαθὸς ω ν ὁ Θεὸς, βούλεται τὴν με τάνοιαν τοῦ ἁμαρτωλοῦ, μηδὲ τὸν θάνατον αὐτοῦ, ὡσεὶ ὑπεύθυνοι ἁμαρτίαις ἐστὲ, τὴν ἐκ μετανοίας ἐξομολόγησιν ἐπ' αὐτὸν ποιή σατε, καὶ ε ξετε αὐτὸν ἀφιέντα ω ν ἐξομολο γεῖσθε· ὁ γὰρ ε λεος αὐτοῦ διηνεκής ἐστι. 117.7 Κύριος ἐμὸς βοηθὸς, κἀγὼ ἐπόψο μαι τοὺς ἐχθρούς μου. Οτι διδάσκεται ὁ Χριστοῦ λαὸς, προσδο κεῖν μὲν ἐπιβουλὰς ἀνθρώπων, μὴ πτήσσειν δὲ, μηδ' ἀγωνιᾶν, ἀλλὰ λέγειν· Κύριος ἐμοὶ βοηθός· ἐχθροὺς δὲ αὐτοῦ νοήσεις τοὺς ἀν τικειμένους αὐτῷ διὰ τὴν εὐσεβῆ γνῶσιν, καὶ τὴν κατὰ Θεὸν πολιτείαν, η καὶ τοὺς πονηροὺς δαίμονας. 117.8 Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον η πεποιθέναι ἐπ' α νθρωπον. Ανθρωπον λέγει ἡ γραφὴ τὸν διάβολον, ο τι ἐχθρὸς α νθρωπος ε σπειρε τὰ ζιζάνια. 117.19,20 Ἀνοίξατέ μοι πύλας δικαιοσύ νης· εἰσελθὼν ἐν αὐταῖς, ἐξομολογήσομαι τῷ Κυρίῳ. Αυ τη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. Καὶ ἐν α λλοις λεχθείη α ν· Αυ τη ἡ πύλη τοῦ Κυρίου, σώφρονες εἰσελεύσονται ἐν αὐ τῇ. Καὶ ἐν α λλοις· Ἀνδρεῖοι εἰσελεύσονται ἐν αὐτῇ. Καὶ ἐν α λλοις· Σοφοὶ εἰσελεύσονται ἐν αὐτῇ. –Ὡς ἀνοίγονται πύλαι δικαιοσύ νης, ου τω καὶ σωφροσύνης καὶ ἀνδρείας καὶ ἀγάπης· διὰ γὰρ τούτων τῶν πυλῶν εἰσέρ χεται νοῦς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. 117.21 Ἐξομολογήσομαί σοι, ο τι ἐπήκου σάς με, καὶ ἐγένου μοι εἰς σωτηρίαν. Οὐχ ἁπλῶς ἐπήκουσε, ἀλλὰ πρότερον παιδεύσας καὶ βελτίω ποιήσας· διὸ καὶ εὐ χαριστεῖ, οὐχ ὑπὲρ ω ν ἠκούσθη, ἀλλ' ὑπὲρ ω ν ἐπαιδεύθη, καὶ πανταχοῦ πολὺ παρ' αὐ τῷ τὸ τῆς εὐχαριστίας ει δος, ο περ εἰπὼν καὶ λέγων οὐ παύσομαι· τοῦτο μάλιστα θυ σία καὶ προσφορά. 117.22 Λίθον ο ν ἀπεδοκίμασαν οἱ οἰκοδο μοῦντες, ου τος ἐγεννήθη εἰς κεφαλὴν γω νίας. Οτι μὲν εἰς Χριστὸν τὸ εἰρημένον παντί που δῆλον. Εἰ δὲ μὴ, δοκεῖ ἐξ αὐτῆς ἠρτῆσ θαι τῆς ἱστορίας, ἀλλ' ο τι μέσην διακόψασα τὴν ἀκολουθίαν ἡ προφητεία ἐπεισῆλθε, θαυμαστὸν οὐδέν. Ου τως αἱ πλείους τῶν προφητειῶν εἰσὶν ἐν τῇ παλαιᾷ. Οἰκοδομοῦν τας δὲ [νόει] τοὺς διδασκάλους τῶν Ἰουδαί ων, ο τι ἀπεδοκίμαζον αὐτὸν λέγοντες· Σα μαρείτης ει , καὶ δαιμόνιον ε χεις. Καὶ πά λιν· Ου τος οὐκ ἐστὶν ἀπὸ τοῦ Θεοῦ, ἀλλὰ πλανᾷ τὸν ο χλον. Ἀλλ' ο μως ου τος ὁ ἀπο δοκιμασθεὶς, ου τος ἐφάνη δόκιμος, ὡς γενέσ θαι κεφαλὴν γωνίας· οὐ γὰρ πᾶς λίθος εἰς γωνίαν ἐπιτήδειος, ἀλλ' ὁ δοκιμώτατος καὶ ἐξ ἑκατέρας πλευρᾶς τοὺς τοίχους συνδῆσαι δυνάμενος. Ο τοίνυν λέγει ὁ προφήτης, τουτέστιν, ο τι ὁ ἀποδοκιμασθεὶς παρὰ τῶν Ἰουδαίων, καὶ ἐξουδενωθεὶς, ου τος ἐφάνη θαυμαστὸς, ω στε μὴ μόνον οἰκοδομὴν ὑφῆναι, ἀλλὰ συνδῆσαι δύο τοίχους, τοὺς ἐξ Ἰουδαίων καὶ Ἑλλήνων πιστεύσαντας, περὶ τούτων ε λε γε καὶ αὐτός· Καὶ α λλα πρόβατα ε χω, α οὐκ ε στιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν. –Γωνία ἐστὶ διδασκαλία τοῦ Σω τῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς εἰρηνεύοντος. Ἡ συναφὴ τῶν δύο γωνιῶν παρὰ τοῦ Σωτῆρος ἡ μαρτυρία γεγένηται· Ου τός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπη τός. 117.23 Παρὰ Κυρίου ἐγένετο αὐτὴ, καὶ ε στι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Οὐκ η ν ἀνθρώπινον τὸ γενόμενον, φησὶν, οὐκ η ν ἀγγέλων, οὐκ ἀρχαγγέλων, τὸ τοι αύτην πῆξαι γωνίαν. Τίς ἐστι θαυμαστή; ἡ γωνία, ἡ σύνοδος τῶν δύο ἐθνῶν, ἡ εἰς τὴν εὐσέβειαν. Διὰ τί ει πεν, ἐν ὀφθαλμοῖς ἡμῶν; οὐ γὰρ πᾶσίν ἐστι τὸ θαῦμα κατάδηλον. Τίς γὰρ οὐκ α ν ἐκπλαγείη, ο τε ε νθα ἐσταυρώθη ὁ Χριστὸς, ἐκεῖ προσκυνεῖται ὁ Χριστὸς, καὶ πᾶσαν. τὴν οἰκουμένην παρέδραμεν ὁ λόγος, συνάπτων τῇ ἀληθείᾳ α παντας; Εστι μὲν ου ν καὶ τοῖς ὁπωσοῦν ἐξετάζουσι θαυμαστὴ, πολλῷ δὲ ἀκριβέστερον τοῖς πιστεύουσι. Διὰ τοῦτο φησὶν, ἐν ὀφθαλμοῖς ἡμῶν. Ταύτης δὲ τῆς χάριτος χορηγὸς ὁ Θεὸς, ἡμεῖς δὲ τὴν α ῤῥητον φιλανθρωπίαν θαυμάζωμεν. 117.24 Αυ τη ἡ ἡμέρα η ν ἐποίησεν ὁ Κύ ριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. Εὐφροσύνην ἐνταῦθα λέγει τὴν πνευμα τικὴν τῆς διανοίας. Εὐφρανθῶμεν, φησὶν, ο τι τοσούτων ἐπετύχομεν τῶν ἀγαθῶν· κα ταλλαγὴ Θεοῦ πρὸς ἡμᾶς ἐγένετο· οὐρανὸς ἀπεδείχθη ἡ γῆ, οἱ τῆς γῆς ἀνάξιοι α νθρω ποι τῆς βασιλείας ἐφάνησαν α ξιοι. 117.25-27 Ω Κύριε, σῶσον δή! Ω Κύριε, εὐόδωσον δή! Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Εὐλογήκαμεν ὑμᾶς ἐξ οι κου Κυρίου. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡ μῖν. Οἱ δὲ πρὸ αὐτοῦ, α νδρες καὶ α γγελοι, ὡς δοῦλοι ἀφίκοντο· Οἱ μὲν γάρ· Ταῦτα λέγει Κύριος, ε φασκον. Οἱ δέ· Κύριος ἀ πέστειλέ με. Διό φασιν οἱ προαγορεύοντες αὐτοῦ τὴν ἐπιδημίαν· Εὐλογήκαμεν ὑμᾶς ἐξ οι κου Κυρίου. ᾿Εξ οι κου γὰρ Κυρίου, ἐκ τῶν κόλπων τῶν πατερικῶν ἐστὶν ὁ ἐρχό μενος. ᾿Επιφέρεται γοῦν εὐθύς· Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. Τὸ γὰρ ἐλθεῖν, οὐ τόπου μεταβολὴ, ἀλλὰ τοῦ μὴ ὁρωμένου πρότερον ἐπιφάνεια· ἀόρατος γὰρ ω ν, ὡς εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, διὰ σαρκὸς μορφὴν δού λου λαβὼν, δι' η ς χειραγωγεῖται καὶ τὴν δόξαν αὐτοῦ θεάσασθαι, δόξαν ὡς μονογε νοῦς παρὰ Πατρὸς, η ν οἱ ἰδόντες φασιν· Ω Κύριε, σῶσον δή! ω Κύριε, εὐόδωσον δή! 117.27 Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκά ζουσιν, ε ως τῶν κεράτων τοῦ θυσιαστηρίου. Πυκάζοντας τοῖς καρποῖς τῆς ἀρετῆς δεή σει ει ναι καὶ μηδὲν ε χοντας α ραιον η διάκε νον, ἐν ῳ οὐ συστήσεται ἀρετή. 117.28 Θεός μου ει σὺ, καὶ ἐξομολογήσο μαί σοι ... καὶ ἐγένου μοι εἰς σωτηρίαν. Δοξολογῶν καὶ θεολογῶν σε, λέγω α εἰς ἐμὲ καὶ πεποίηκας θαυμάσια. Υψωσας γάρ με, καὶ πεποίηκας δύναμιν, ὡς μὴ ἀποθα νεῖν, ἀλλὰ ζήσαντά με διηγεῖσθαι τὰ ε ργα σου. –Ταῦτα τίς αἰτεῖ προνοεῖσθαι; τῶν ο λων εἰδὼς τὸν Θεόν. Θεοῦ γὰρ τὸ σώζειν ἐστὶ, καὶ παρ' αὐτοῦ κατευθύνεται τὰ διαβή ματα, ὡς τό· Οσα α ν ποιῇ, καθευοδωθήσε ται, καὶ τὸ ἐν εὐαγγελίοις· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι τοῦ Κυρίου. 118p.t ΥΠΟΘΕΣΙΣ. 118p.1 Τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λόγων τοῦ Θεοῦ ὁ ἠθικός ἐστι τόπος, περὶ ου καὶ δια λαμβάνει ὁ ἑκατοστὸς ὀκτωκαιδέκατος ψαλ μὸς κατὰ τὰ ἑβραϊκὰ στοιχεῖα γεγραμμένος· ω στε τοὺς μὲν πρώτους αὐτοῦ στίχους ει ναι ὀκτὼ ἀπὸ τοῦ Αλεφ, ο ἐστιν ἀρχὴ τῶν παρ' αὐτοῖς στοιχείων· τοὺς δὲ δευτέρους ὀκτὼ ἀπὸ Βὴθ, καὶ ου τω καθ' ἑξῆς. Καὶ περιέχει γε ὁ ψαλμὸς ου τος ο λον τὸν τόπον τὸν ἠθι κὸν μετὰ πάσης θεωρίας, τῆς περὶ τῶν δια φόρων τοῖς ἠθικοῖς τόποις ὀνομάτων ἐν ταῖς γραφαῖς. 118p.2 ᾿Ιστέον δὲ ὡς α λλο μὲν νόμος, α λλο δὲ δικαίωμα, α λλο πρόσταγμα, α λλο μαρτύριον, α λλο κρῖμα. Καὶ τὸν ιη΄ ψαλμὸν ἑρμηνεύ σαντες, εἰρήκαμεν τίνι διαφέρει νόμος, καὶ μαρτύρια, καὶ δικαιώματα, κρίματα καὶ ἐντολή· ἀναμνήσωμεν δὲ ο μως ἐν κεφαλαίῳ τὰ εἰρημένα. Νόμον καλεῖ τὸν ὑπὸ Θεοῦ διὰ Μωσέως δεδομένον. ᾿Εντολὰς δὲ, καὶ προστάγματα πάλιν, τὸν αὐτὸν, ὡς βασιλικῶς ἐνταλθέντα καὶ προσ ταχθέντα. Δικαιώματα δὲ, ὡς δικαιοῦντα τὸν κα θορθοῦσθαι δυνάμενον. Κρίματα δὲ, ὡς τὰς θείους ψήφους ὑπο δεικνύντα, καὶ τὰς ἀξίας ἀντιδόσεις τῶν τε ἐννόμως καὶ παρανόμως βιούντων. Μαρτύρια δὲ, ὡς διαμαρτυρόμενα καὶ δει κνύντα οι αις ὑποβληθήσονται τιμωρίαις οἱ παραβαίνοντες. Καὶ οὐκ οι μαι, ο σον ἐπέβη ἱστορία, α λλο θι διὰ πλειόνων τὰ ἠθικὰ εἰρῆσθαι περὶ τῆς διαφορᾶς νόμου καὶ προστάγματος καὶ περὶ τῶν λοιπῶν, ὡς ἐν τούτῳ τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ψαλμῷ. 118p.3 Διὰ τοῦτο δὲ ἐνταῦθα καὶ τὰ στοιχεῖα προτέτακται, ι να δηλωθῇ τοῖς ἐντυγχάνου σιν, ο τι τὰ στοιχεῖά ἐστιν ἡ γνῶσις τοῦ ἠθι κοῦ τόπου· μέμνημαι τηρήσας καὶ ἐπὶ τοῦ ρια´ καὶ ἐπὶ τοῦ ριβ´ ψαλμοῦ, τίνα τρόπον κἀκεῖνοι οἱ ψαλμοὶ ἠθικοὶ ο ντες, ει χον τὴν ἀρχὴν τῶν στίχων ἀπὸ τῶν παρ' ῾Εβραίοις στοιχείων. ᾿Εκεῖ μὲν ου ν ἡ στοιχείωσις οὐκ ἐκτέταται, ἀλλὰ διὰ βραχέων παραδέδοται. 118p.4 ᾿Ιστέον τοίνυν, ω σπερ α λλα, ου τω καὶ ταῦτα ἐν Πνεύματι ἁγίῳ γεγράφθαι, λόγον τε ε χειν οὐκ εὐκαταφρόνητον. Καὶ ἡ αἰτία τοῦ ε καστον τῶν στοιχείων ὀκτάκις παρ' ῾Ε βραίοις εἰρῆσθαι ἐν τούτῳ τῷ ψαλμῷ. ᾿Ελθὲ τοίνυν ἐπὶ τὸν ὀκτὼ ἀριθμὸν, καὶ ει που ὠνο μάσθη ἐν τῇ γραφῇ, παραλάμβανε αὐτὸν, καὶ ἐπὶ τίνι ει ρηται, καὶ ε σται σοι χρήσιμος ὁ λόγος πρὸς τὸ ἰδεῖν, ο τι ε καστον στοιχεῖον τελείωσίς ἐστιν α μα τῷ ἀριθμῷ, ὡς μήτε πρὸς εἰσαγωγὴν οὐδέπω, ἀλλὰ κατὰ μονά δα. 118p.5 Οταν δὲ τελειώμεθα ἐν τοῖς στοιχεί οις, ὁ ἑπτὰ ἀριθμὸς ἀτιμητέος ἡμῖν, ο τι δὴ καὶ τῇ υ λῃ ἀνίεται ου τος, ει περ ἐστὶν ὁ ἑπτὰ σημεῖον ὑλικῆς παχύτητος· ὁ δὲ ὀκτὼ ἀρχὴ τῆς ἀϋλοτέρας μείζονος καταστάσεως. Εἰ γὰρ καὶ τὰ μάλιστά φαμεν καὶ τὸν ε ξ τὴν κοσμικὴν σχετικῶς υ λην ὑποδηλοῦν, ἀλλ' ου ν γε τὸν μὲν εἰς τὴν κατὰ πόσον ὁλότητα ἀνα φέρομεν, τὸν δὲ εἰς τὴν καθ' ε ξιν τελείωσιν, καθ' η ν τις ἀποσμήχεται τὰ ῥυπάσματα τῆς ψυχῆς καὶ καθαίρεται. 118p.6 Κατὰ τὸν ὀκτὼ ἀριθμὸν, ἀκάθαρτός τίς ἐστι μέχρι τῶν ἑπτὰ ἡμερῶν. Πρὶν γὰρ ε λθῃ ἡ ὀγδόη τοῦ Κυρίου ᾿Ιησοῦ Χριστοῦ ἡμέρα, ο λος ὁ κόσμος ἀπερικάθαρτος η ν καὶ ἀκρόβυστος· ο τε δὲ η λθεν ἡ ὀγδόη τῆς ἀνα στάσεως Χριστοῦ ἡμέρα, ἀθρόως πάντες ἐκαθαρίσθημεν ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες καὶ συναναστάντες, ω ς φησιν ὁ ἀπόστολος. ᾿Επεὶ ου ν διὰ τῆς στοιχειώσεως καθαίρεται ἡμῶν ἡ ψυχὴ, μανθανόντων τὸν ἠθικὸν τόπον, καὶ τελειουμένων ἐν τῇ γνώ σει αὐτοῦ, διὰ τοῦτο ὁ ὀκτὼ ἀριθμὸς παρε λήφθη καθ' ε καστον τῶν στοιχείων ἐν τῷ προκειμένῳ. ᾿Εν τούτῳ γοῦν τῷ ψαλμῷ, τὴν τῶν ἁγίων διαγράφει πολιτείαν, τοὺς ἀγῶ νας, τὰς θλίψεις, τὰ σκάμματα καὶ τὰ βρα βεῖα. 118.1 Μακάριοι α μωμοι ἐν ὁδῷ, οἱ πορευό μενοι ἐν νόμῳ Κυρίου. Τί ου ν ἐστιν τὸ α μωμον ει ναι ἐν τῷ ὁδῷ; Τὸ πορεύεσθαι ἐν νόμῳ Κυρίου, καὶ μὴ ε ξω βαίνειν τοῦ νόμου, μηδὲ ἁμαρτάνειν, ἀλλὰ προκόπτειν καὶ ὁδεύειν ἐπὶ τὴν ἀρετήν. Γί νεται δὲ αὐτοῖς α μωμος ἡ ὁδὸς ἐν τῷ θείῳ καὶ πνευματικῷ νόμῳ πορευομένοις. Νόμος γὰρ Κυρίου α μωμος. ᾿Αμώμως δὲ ὁδεύει, [ὁ] τοῖς ε μπροσθεν ἐπεκτεινόμενος, τῶν δὲ ο πισ θεν ἐπιλανθανόμενος· ὁ μὴ στρεφόμενος εἰς τὰ ὀπίσω, μὴ ἐκκλίνων δεξιᾷ η ἀριστερᾷ, μὴ ἀποσφαλλόμενος, μὴ ἱστάμενος, μὴ ἀνα μένων, ἀλλὰ ὁδεύων καὶ ὀρεγόμενος τοῦ προ κειμένου. ᾿Επειδὴ δὲ ὁ Σωτήρ φησιν· ᾿Εγώ εἰμι ἡ ὁδὸς, θέλομεν καὶ κατὰ τοῦτο ἰδεῖν πῶς οἱ μέν εἰσιν α μωμοι ἐν ὁδῷ, οἱ δὲ οὐ τοιοῦτοι. Οἱ περὶ Χριστοῦ φρονοῦντες ὑγι είως, καὶ μὴ σφάλλεσθαι ἀνεχόμενοι ἐν τοῖς δόγμασι τοῖς περὶ αὐτοῦ, μακάριοί εἰσιν ου τοι, α μωμοι ἐν ὁδῷ. Οσοι δὲ περὶ Χριστοῦ φρονοῦσιν ἐσφαλμένως, ου τοι ἐστήρηνται τοῦ τοσούτου μακαρισμοῦ. –Τί ου ν λέγει ὁ πρῶτος μακαρισμός; Νοητέον πρῶτον ὁ δεῦσαι, ει τα φθάσαι ἐπὶ τέλος. 118.2 Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρ τύρια αὐτοῦ· ἐν ο λῃ τῇ καρδίᾳ ἐκζητήσου σιν αὐτόν. Τί καλὴ ἡ τάξις; πολιτευτέον γὰρ, καὶ τὰ ε θη κατορθωτέον, πρὶν η κειν ἐπὶ τὴν ἐξέτα σιν τῶν θείων λογίων. Κατὰ γὰρ ψυχὴν δεῖ ἐξερευνᾶσθαι τὰ μαρτύρια τοῦ Θεοῦ. Σπεί ρατε γὰρ, φησὶν ὁ προφήτης, ἑαυτοῖς εἰς δι καιοσύνην, ὡς τρυγήσητε εἰς καρπὸν ζωῆς, φωτίσατε ἑαυτοὺς εἰς φῶς γνώσεως. Οὐ πρῶτον φωτίσατε, ἀλλὰ πρῶτον σπείρατε εἰς δικαιοσύνην, ει θ' ου τω καὶ τρυγήσατε καρπὸν ζωῆς, η ου τω φωτίσατε ἑαυτοῖς φῶς γνώσεως. Τί γὰρ οὐ συμβάλλεται τῷ φωτισ μῷ; ἡ ἐντολὴ Κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμούς. Ου πω γε στίχος ἐστίν; Οἱ γὰρ παρ' ῾Ε βραίοις στίχοι, ὡς ε λεγέ τις, ε μμετροί εἰσιν, οἱ ἑξαμέτρῳ μὲν, ἡ ἐν τῷ Δευτερονομίῳ ᾠ δή· ἐν τριμέτρῳ δὲ καὶ τετραμέτρῳ, οἱ ψαλ μοί. Οἱ στίχοι ου ν οἱ παρ' ῾Εβραίοις ε τεροί εἰσιν παρὰ τοὺς παρ' ἡμῖν. ᾿Εὰν θέλωμεν ἐνθάδε τηρῆσαι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοὺς στίχους, ποιῶμεν· Μα κάριοι οἱ α μωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου. Καὶ ου τως ἀρχώμεθα δευτέρου τοῦ ἑξῆς. Ἰστέον τοίνυν ο τι οἱ Ελληνες, οἱ ἑρμηνεύσαντες, πεποιήκασι τὸν παρ' Ἑβραί οις στίχον ἐν τούτοις δύο. Οἱ δὲ κρεῖττον ποι οῦντες, ὡς τοῦτο ἀντίγραφον γράψας, οἱονεὶ πεποίηκε τὴν ἀρχὴν τοῦ στίχου μετ' ἐκτά σεως, τὸν δὲ δοκοῦντα δεύτερον, μὴ ο ντα δεύτερον, ἀλλὰ λῆμμα τοῦ προτέρου μετὰ αἰσθήσεως, καὶ τοῦτο πεποίηκεν τοῦ ο λου τοῦ ῥητοῦ. 118.3 Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. Εἰ τὸν ἐν ταῖς ὁδοῖς Κυρίου πορευόμενον δεῖ προσίεσθαι μόνον ἐπὶ τὰς κοινὰς εὐχὰς, οὐ προσιτέον τὸν ἐργαζόμενον τὴν ἀνομίαν, ὡς οὐ πορευόμενον ἐν ταῖς ὁδοῖς Κυρίου. Ἐ πάγει γάρ· 118.4 Σὺ ἐνετείλω τὰς ἐντολάς σου, τοῦ φυλάξασθαι σφόδρα. Τοιγαροῦν ἀναγκαία ἡ τούτων φυλακή· τοῖς γὰρ εὐφρονοῦσι καὶ εὐχῆς ε ργον ὀφεί λει γενέσθαι, τῷ ἐν σπουδῇ κατορθοῦν τὰ προστάγματα· Θεοῦ γάρ εἰσι. Καὶ μετὰ πά σης εὐτονίας καὶ σφοδρότητος [μακάριος] ἐργάζεται τὰ προστεταγμένα ὑπὸ τοῦ Κυ ρίου. 118.5 Οφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου. Ἐὰν μὴ κατευθύνῃ ὁ Θεὸς, συμπνέων ἡ μῖν, ὁδὸν οὐ φυλάξομεν· συμπνοίας δεόμεθα κατευθυνούσης τὰς ὁδοὺς ἡμῶν εἰς τὸ φυλά ξαι τὰ δικαιώματα τοῦ Θεοῦ, ἀλλὰ καὶ τὸ μὴ περιπεσεῖν μείζοσι πειρασμοῖς τῆς δυνά μεως ἡμῶν, δι' ω ν ὁ ἐπιτρέπων αὐτοὺς γενέσ θαι Θεὸς, οἱονεὶ ἀπωθεῖται ἡμᾶς ἀπὸ τῶν ἐντολῶν ἑαυτοῦ· διόπερ εὐχόμενός φησιν· Μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. [Οφελον] ἀντὶ τοῦ· ει θε. Σημαντέον δὲ εὐχῆς τὸ ο φελον· οὐ γὰρ α λλως τις φυλάξαι τὰ δικαι ώματα, εἰ μὴ κατευθυνθείησαν αἱ ὁδοὶ αὐ τοῦ. Εὐθυνέσθωσαν, φησὶν, αἱ ὁδοί μου, ὡς α ν διατηρῆσαί μέ σου τὰ δικαιώματα. Καὶ δεικνὺς τὸν τούτου καρπὸν, ἐπιφέρει· 118.6 Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ μὴ ἐπι βλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. Οτε, φησὶ, φυλάξω δικαιώματά σου, τό τε οὐ μὴ αἰσχυνθῶ. Οτε εὐχῆς ε ργον ποιή σομαι, τότε ταῦτα τηρήσω. Εἰ δὲ κατευ θυνθῶσιν αἱ ὁδοί μου, οὐκ αἰσχυνθήσομαι· ω σπερ γὰρ μισθὸς ἀρετῆς ε παινος, ου τως καὶ παρανομίας καρπὸς αἰσχύνη ἐστὶ, κα τὰ τὸν θεῖον ἀπόστολον, ὡς τό· Τίνα ου ν καρπὸν ει χετε τότε, ἐφ' οι ς νῦν ἐπαισχύνεσ θε; – Η ἐπείπερ οἱ προφῆται ει ρηνται ει ναι ὁδοὶ, ἐὰν ἀναγινώσκοντες τὸν νόμον καὶ τοὺς προφήτας, κατευθυνθῶμεν ὑπὸ Θεοῦ πρὸς τὸ τούτους νοῆσαι, οὐ μὴ αἰσχυνθῶ μεν. Η αἰσχύνην τῷ δικαίῳ φέρει τὸ μὴ πάσας τὰς ἐντολὰς, ἀλλά τινας ἐργάζεσθαι, καὶ ὁ πταίων ἐν ἑνὶ, πάντων γίνεται ε νοχος, κατὰ τὸν τοῦ Κυρίου λόγον. 118.7 Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου. Μετὰ τὴν εὐχὴν καὶ τὸ ἀπὸ προαιρέσεως τίθησιν· ἀρχὴ δὲ τῆς σωτηρίας ἡ ἐξομολό γησις. Ου τος ἐν εὐθύτητι καρδίας δοξάζει τὸν Θεὸν ὁ τοὺς περὶ κρίσεως λόγους παρὰ Κυρίου μεμαθηκώς· τίνος χάριν ὁ οὐρανὸς μὲν τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ε δω κε τοῖς υἱοῖς τῶν ἀνθρώπων; καὶ τίς ὁ λόγος τῶν καταχθονίων δαιμόνων· καὶ διὰ τί μὴ ου τοι γεγόνασιν α νθρωποι; τίς τε ἡ αἰτία τοῦ ᾳ δου; καὶ τίς ὁ Παράδεισος; καὶ τίς πάλιν ἡ α νω Ἱερουσαλὴμ; καὶ ἡ ταύτης Σιὼν, ἀφ' η ς λέγεται ε ρχεσθαι ὁ Χριστός (η ξει γὰρ, φησὶν, ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ); Καὶ τίς ὁ λόγος τοῦ ἐκπεσόντος Ἰσραὴλ, καὶ τῶν ἀντεισαχθέντων ἐθνῶν; Τίνος χάριν μὴ πάν τες α νθρωποι ἐκλήθημεν ἀπ' ἀρχῆς, τὸν τοῦ Μωσέως νόμον δεξάμενοι; ἀλλ' ἡμεῖς μὲν ἀγγέλων γεγόναμεν κλῆροι, ὁ δὲ Ἰσραὴλ μερὶς ἐχρημάτισε τοῦ Κυρίου καὶ σχοίνισμα κληρονομίας αὐτοῦ; Πῶς ου ν ἡ κληρονομία τῶν ἀγγέλων ἐπίστευσεν, ἡ δὲ μερὶς τοῦ Κυ ρίου ἠπίστησεν; Καὶ διὰ τί νῦν λέγει καὶ ὁ Δαυίδ· Κρίματά σου α βυσσος πολλή; Καὶ Παῦλός φησιν· Ω βάθος πλούτου σοφίας καὶ γνώσεως Θεοῦ! Ὡς ἀνεξερεύνητα τὰ κρί ματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐ τοῦ! Ὁ περὶ τῶν ἁμαρτιῶν ἐξομολογούμενος τῷ Θεῷ, εἰ ἀνοσίμως ἐξομολογοῖτο, εὐθύτη τι καρδίας ἐξομολογοῖτο α ν. Τοῦτο δὲ ποιή σει, μαθὼν τὰ κρίματα τῆς δικαιοσύνης αὐ τοῦ. Τότε, φησὶν, δυνήσομαι καθαρὸν τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

υ μνον προσενεγκεῖν, ο ταν πάντα σου κατα μάθω τὰ κρίματα καὶ κατὰ ταῦτα βιώσω. ᾿Εὰν μάθω, φησὶ, τὰ ἀπὸ τῆς δικαιοσύνης σου κρίματα, καὶ ὡς κρίνεις ἐφ' ἑκάστῳ ἁ μαρτήματι· οὐ γὰρ μόνον πράξεις ἐξετάσεις καὶ λόγους, ἀλλὰ καὶ πρόθεσιν ἀφ' η ς ε κασ τα λέγεται καὶ πράττεται. Η καὶ ου τως· ὁ μηδέποτε εὐθύτητα καρ δίας ἀνειληφὼς, ἀλλ' ε τι αὐτὴν ε χων σκο λιὰν, οὐκ ἐξωμολογήσατο οὐδέπω εἰς τὸ πα ραδεχθῆναι τῷ Θεῷ τὴν ἐξομολόγησιν αὐ τοῦ. Πῶς ου ν τοῦτο γίνεται; ἐν τῷ μεμαθη κέναι τὰ κρίματα τῆς δικαιοσύνης. Τοῦτο δηλοῖ τὰ ἑξῆς. 118.8 Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ε ως σφόδρα. Τὸ δέ· Τὰ δικαιώματά σου φυλάξω, πρὸς τὸ εὐχαριστῶ σοι ἀποδέδοται, οι ον· εὐχα ριστῶ σοι, ο τι ἐδίδαξάς με ἐκ τοῦ νόμου σου, ποῖόν ἐστι τὸ δίκαιον καὶ τὸ α δικον, ι να τοῦ τον φυλάξω· μαθόντα ου ν τὸ δίκαιον ἐκ τοῦ νόμου σου καὶ φυλάττοντα τοῦτο, αἰτοῦμαι μὴ ἐγκαταλιπεῖν με, ω στε ἡττηθῆναι δεινῶν ο ντων προσπαλαιόντων. –Καλὸν δὲ καὶ τὸ ε ως σφόδρα· αἰτεῖ γὰρ μὴ γυμνωθῆναι τῆς θείας ἐπικουρίας· μέτρα γὰρ, φησὶν, ε χει ἡ δύναμίς μου. Μή με τοῖς ὑπὲρ δύνα μιν πειρασμοῖς ὑποβάλῃς, μηδὲ σφόδρα ἐγ καταλίπῃς με. Πιστὸς δὲ ὁ Θεὸς, οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ο δυνάμεθα. 118.9 ᾿Εν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. Διδασκέσθωσαν οἱ α ρτι συμπληροῦντες τὸν λόγον, οἱ ε τι νεώτεροι, οἱ μηκέτι χωρὶς τοῦ νόμου ζῶντες, οι ς ἐλήλυθεν ἡ ἐντολὴ τοῦ Θεοῦ, ου ς α ρχεται κινεῖν καὶ καταράσ σειν ἡ ἁμαρτία, κατορθοῦν ἑαυτῶν τὴν ὁδὸν, καὶ α μα τῷ ἐπαπορεῖν, καὶ ζητεῖν πῶς α ν γένοιτο, διδασκόμενοι φυλάσσειν τοὺς λό γους τοῦ Θεοῦ. ᾿Αποκρινέσθωσαν ἐν εὐχῇ, καὶ λεγέτωσαν τῷ Θεῷ· ᾿Εν τῷ φυλάττεσ θαι τοὺς λόγους σου. Καὶ πάλιν· Νεώτερος ὁ ἀπὸ τῶν ἐθνῶν λαὸς, ὁ σκολιῶς πρὸ τῆς πίστεως ὁδεύσας, ἐν τίνι κατορθώσει τὴν ὁδὸν αὐτοῦ, η τῷ φυλάσσεσθαι τοὺς λόγους τοῦ Θεοῦ; ἡ γὰρ ε ννοια τοῦ θείου νόμου καθαρτικὴ καὶ φυ λακτική. Παντός ἐστιν τό· ᾿Εν τίνι κατορθώ σει ὁ νεώτερος τὰς ὁδοὺς αὐτοῦ; ἐν τῷ φυ λάσσεσθαι τοὺς λόγους σου, τοὺς ἐσπαρμέ νους ταῖς θείαις γραφαῖς· φυλασσόμενοι γὰρ ου τοι οὐκ ἐῶσιν αὐτὸν σκολιῶς ὁδεύειν, οὐ δὲ τοιοῦτον γενέσθαι, ω στε εἰπεῖν· ῾Αμαρ τίας νεότητός μου μὴ μνησθῇς. ᾿Αγαθὸν γὰρ ἀνδρὶ, καθά φησιν ὁ ῾Ιερεμίας, ο ταν α ρῃ τὸν ζυγὸν ἐκ νεότητος αὐτοῦ. Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· Διὰ τίνος λαμπρύνει νέος τὰς ὁδοὺς αὐτοῦ; ᾿Εδίδαξεν ο τι πολλῆς ἐστιν ἀκαθαρσίας καὶ ῥυπαρίας ἡ νεότης μεστή· διὸ καὶ δεῖται κα θάρσεως. Τοῦτο ου ν ἐπιζητήσας εὑρὲ, φη σὶν, τὸν τρόπον ἐν τῷ φυλάξασθαι τοὺς λό γους σου. 118.10 ᾿Εν ο λῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. Ζητήσεις εἰ ὁ Θεὸς ἐνεργεῖ τὸ ἀπωσθῆ ναί τινα τῶν θείων ἐντολῶν· ὡς γὰρ γινο μένου ἐπί τινας τοῦ τοιούτου, μὴ βουλόμε νος αὐτὸ παθεῖν, ὁ προφήτης λέγει· ᾿Επεὶ οὐ παρέργως ἐζήτησά σε, ἀλλ' ἐν ο λῃ καρ δίᾳ, διὰ τοῦτο ἀμεῖψαι, μὴ ἀπωσάμενός με ἀπὸ τῶν ἐντολῶν σου, ἐν τῷ ποιεῖν με τὰ ε ρ γα Κυρίου, ἀμελῶς δέ. 118.11 ᾿Εν τῇ καρδίᾳ μου ε κρυψα τὰ λό γιά σου, ο πως α ν μὴ ἁμάρτω σοι. Κίνδυνος γὰρ οὐ μόνον τὸ λέγειν ψευδῆ, ἀλλὰ καὶ τὰ ἀληθῆ τοῖς μὴ δυναμένοις χω ρεῖν. Οὐδὲ δεῖ τοὺς μαργαρίτας βάλλειν ε μ προσθεν τῶν χοίρων, οὐδὲ διδόναι τὰ α για τοῖς κυσίν. 118.14 ᾿Εν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐ τέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ. Εστι καὶ ὁδὸς ἐντολῶν. 118.15 ᾿Εν ταῖς ἐντολαῖς σου ἀδολεσχή σω, καὶ κατανοήσω τὰς ὁδούς σου. Διὰ τούτων διδασκόμεθα ὡς οὐκ α λλως ἐστὶ κατανοῆσαι τὰς ὁδοὺς τοῦ Θεοῦ, η ἐκ τοῦ τὰ περὶ τῶν ἐντολῶν τοῦ Θεοῦ ἐξετά ζειν, καὶ περὶ τούτων ἐπιπλέον ἐρευνᾶν· ω στε τὴν καλουμένην ἀδολεσχίαν μεταφέ ρειν ἐπὶ τὴν περὶ τῶν ἐντολῶν βάσανον, ο τε καὶ ἀδολεσχία οὐκ ε στι ψεκτή. –Καὶ πολ λαχοῦ οἱ δίκαιοι ἐπαινετὴν ἀδολεσχίαν εὑ ρίσκονται ἀδολεσχοῦντες. Κατὰ γὰρ τὴν συ νήθειαν τῆς γραφῆς, καὶ ὁ ᾿Ισαὰκ ἐξῆλθεν εἰς τὸ πεδίον ἀδολεσχῆσαι τῷ Θεῷ. ᾿Εκ πολλῆς ου ν τῶν ἐντολῶν μελέτης ε ρχεταί τις εἰς τὸ κατανοῆσαι τὰς ὁδοὺς τοῦ Θεοῦ (τόν τε νόμον καὶ τοὺς προφήτας) τὰς φε ρούσας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπὶ τὴν βασιλικὴν καὶ τελείαν ὁδὸν, τὸν Χριστὸν, τὸν εἰπόντα· Ἐγώ εἰμι ὁδός. Εἰσὶ δέ τινες ὁδοὶ τοῦ Θεοῦ, α ς ὁδεύει, ι να ἐν ἀνθρώποις γένηται, η α ς ὁδεύει α νθρω πος, φερούσας πρὸς αὐτόν. Ταύτας δὲ κα τανοεῖ ὁ ἐν ταῖς ἐντολαῖς ἀδολεσχῶν τοῦ Θεοῦ. Η καὶ ου τως· τούτου χάριν ἐνδελεχῶς τὴν μελέτην τῶν σῶν λογίων σχήσω, καὶ ἐν ταῖς ὁδοῖς σου τὴν πορείαν ποιήσομαι. 118.17 Ἀνταπόδος τῷ δούλῳ σου, ζήσο μαι καὶ φυλάξω τοὺς λόγους σου. Ἡμεῖς, οἱ μὴ καθαροὶ τῇ καρδίᾳ, καὶ μὴ μετειληφότες συνείδησιν παῤῥησίαν ε χειν πρὸς Θεὸν δυναμένην, εὐχόμενοι οὐκ ἐροῦ μεν· Ἀνταπόδος τῷ δούλῳ σου. Εἰ γὰρ ἀπο δώσει, κολάσει ἡμᾶς κατὰ τὰς ἀνομίας ἡ μῶν. Λέγει ου ν ὁ ἡμῖν παραπλησίως ἐλεη θεὶς ὑπὸ Θεοῦ· Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡ μῶν ἀνταπέδωκεν ἡμῖν. Ὁ δὲ παῤῥησίαν ε χων πρὸς τὸν Θεὸν, πεποιθὼς τῇ ἑαυτοῦ συνειδήσει, φησίν· Ἀνταπόδος τῷ δούλῳ σου, τῷ μηδὲν α ξιον κολάσεως πεποιηκέναι. Ινα δὲ μὴ δόξῃ ὁ λόγος ει ναι ἀλαζονικὸς, ε χει τι ἀσφαλές· οὐ γὰρ ει πεν· Ἀνταπόδος μοι, ἀλλ' ἀνταπόδος τῷ δούλῳ σου, ει τίς ἐστι δοῦλος σὸς, καὶ δουλεύει σοι. –Τὸ δὲ ζῆσόν με, εἰς τὸν μέλλοντα χρόνον ἐκκλίνει τὸ ζῆν· οὐκ οι ομαι γὰρ ο τι ὡς η δη ζῶν λέ γει τό· Ζῆσόν με· ἀλλὰ ι σως ἀναφέρει ἐπὶ ζωὴν ἀληθινὴν, ο θεν ἐπάγει· Καὶ φυλάξω τοὺς λόγους σου. Ζωὴ γὰρ ἀληθὴς ἡ φυλα κὴ τοῦ νόμου. 118.18 Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. Αἰσθάνεται ὁ προφήτης ο τι ἐπικεκαλυμ μένοι αὐτοῦ η σαν οἱ ὀφθαλμοὶ, οἱονεὶ γὰρ κάκωσις γέγονεν ἡμῖν περὶ τὸ ἡγεμονικὸν, καὶ βλάβη ἀπὸ τῆς παλαιότητος τῆς κατὰ τὸν παλαιὸν α νθρωπον, καὶ ει ς ἐστιν ὁ μό νος ταύτην ἰάσασθαι δυνάμενος, ὁ Λόγος τοῦ Θεοῦ· ἐξαπέστειλε γὰρ ὁ Θεὸς τὸν Λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς, καὶ ἐῤῥύσατο αὐ τοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. Ερχεται ου ν ὁ Λόγος καὶ ἀποκαλύπτει τοὺς ὀφθαλμοὺς περαίρων τὸ κάλυμμα· ἡνίκα γὰρ ἐπιστρέ ψει τις πρὸς Κύριον, περιαιρεῖται τὸ κά λυμμα. 118.19 Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου. Ὁ προσπεπονθὼς τῇ γῇ, ὁ φιλῶν τὰ ἐν θάδε, καὶ μὴ πιστεύσας ο τι ἀνάλυσις ε σται σὺν Χριστῷ, ου τος μὴ λεγέτω· Πάροικός εἰ μι ἐγὼ ἐν τῇ γῇ, ἀλλ' ι στω ο τι κατοικεῖ ἐπὶ τῆς γῆς· ἁγίου ου ν φωνή· Μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου. 118.20 Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπι θυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἐπεπόθησεν ὁ Δαυὶδ γνῶναι τὰ δικαιώ ματα τοῦ Θεοῦ, τί ἐστι τό· Ἐὰν κτήσῃ παῖδα ἑβραῖον, ε ξ ε τη δουλεύσει σοι, ἐν δὲ τῷ ἑβδόμῳ ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον. Καί· Τὶς ἠγάπα γυναῖκα καὶ τὰ ταύτης τέκνα, διὸ αὐτὴν ἐλευθέραν ἀπωθεῖται ὁ δοῦλος; Καὶ τίς ὁ λόγος τοῦ τιθρωσκομένου ὠτὸς, καὶ τῆς αἰωνίου δουλείας η ν ὁ δοῦλος προ είλετο; –Τί δήποτε οὐκ ει πεν· ἐπεπόθησεν ἡ ψυχή μου τὰ κρίματά σου, ἀλλ' ἐπεπόθη σε τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου; ὡς οὐκ ἐν ἡμῖν ο ντος τοῦ ἐπιθυμῆσαι τὰ κρίματα τοῦ Θεοῦ, ἀλλὰ τῶν καθαρᾷ τῇ συνειδήσει λατρευόντων τῷ Θεῷ, ου τως οὐ πάντων ἐστὶ τὸ ἐπιθυμῆσαι τὰ κρίματα ἐν παντὶ καιρῷ, ἀλλὰ μόνων τῶν μὴ ἁμαρτανόντων. Ἐν ἐ κείνῳ γὰρ τῷ καιρῷ ἐν ῳ ἁμαρτάνω, ἐὰν ἐπιθυμήσω τὰ κρίματα, ι να κολασθῶ ἐπι θυμῶ. 118.22 Περίελε ἀπ' ἐμοῦ ο νειδος καὶ ἐξου δένωσιν, ο τι τὰ μαρτύριά σου ἐξεζήτησα. Ἐπεὶ ὀνειδίζουσι καὶ ἐξουδενοῦσί μέ τινες ἐπὶ τῷ ἐκζητεῖν τὰ μαρτύριά σου, περίελε τὸ ο νειδος καὶ τὴν ἐξουδένωσίν μου. Πῶς δ' α ν περιαιρεθείη ταῦτα; εἰς ἐπίγνωσιν ἐρχομέ νων ἀληθείας τῶν τέως ὀνειδιζόντων καὶ ἐ ξευτελιζόντων με· ὑπάρξαντος δὲ τούτου, α μα ἐμοὶ ἐκζητήσουσι καὶ ου τοι τὰ μαρτύ ριά σου. 118.23 Καὶ γὰρ ἐκάθισαν α ρχοντες, καὶ κατ' ἐμοῦ κατελάλουν· ὁ δὲ δοῦλός σου ἠδο λέσχει ἐν τοῖς δικαιώμασί σου. Ου τως συνέρχονται κατὰ τοῦ δικαίου σκο ποῦντες πῶς ἐπιβουλεύσωσιν αὐτῷ, ἀλλ' αὐ τὸς οὐ παύεται λαλῶν ἐν τοῖς δικαιώμασιν τοῦ Θεοῦ· οὐδὲν γὰρ ἀνθρώπινον φθέγγεται. –Δείκνυσι δὲ αὐτούς ποτε μὲν ὀνειδίζον τας, εἰ τύχοι παλαιὰ πλημμελήματα, ποτὲ δὲ ἐξουδενοῦντας, ὡς οὐδενὸς α ξιον λόγου.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

118.25 Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον σου. Τῶν ἁμαρτωλῶν αἱ ψυχαὶ τῷ ἐδάφει κολ λῶνται, τὰ ἐπίγεια φρονοῦσαι· τῶν δὲ δι καίων, ει τοι συγχρονίζουσι σώμασιν η συν δεδεσμέναι δι' οἰκονομίαν ἐν αὐτοῖς. Ἐξομο λογεῖται ὁ προφήτης περὶ τῆς ἑαυτοῦ ψυ χῆς, καταλειπούσης μὲν τὸ κολλᾶσθαι τῷ Κυρίῳ πρότερον, ο τε ἐν τῇ κακίᾳ ἐτύγχα νεν, κολληθείσης δὲ δι' αὐτὴν τῷ ἐδάφει, καὶ καθελούσης ἑαυτῆς τὸ φυσικὸν υ ψος καὶ ε παρμα. Πᾶσα γὰρ ἁμαρτάνουσα ψυχὴ κε κόλληται τῷ ἐδάφει. Ὀπίσω δὲ Κυρίου πο ρεύσῃ, καὶ πρὸς αὐτὸν κολληθήσῃ, ἐν τῷ νό μῳ ει ρηται. Ἀξιοῖ τοίνυν βοηθηθῆναι ἀπὸ τοῦ Θεοῦ πρὸς τὸ ζῆσαι, ἀποστὰς τῆς πρὸς τὸ ε δαφος κολλήσεως, ι να ζήσῃ κατὰ τὸν λόγον τοῦ Θεοῦ.
118.26 Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπή 118.26 κουσάς μου, δίδαξόν με τὰ δικαιώματά σου. Τῷ δὲ τυχόντι τῆς ἐν τούτοις συνέσεως, περιέσται τὸ καὶ α λλους ὠφελεῖν δύνασθαι, καὶ τὴν θαυμάσιον εὐεργεσίαν ἐξαγγέλλειν Θεοῦ, τὴν ἀποκειμένην τοῖς ο σια πράττου σι· οὐ γὰρ τὰ περὶ δικαιοσύνης διδάσκων, διδάσκει καὶ τὰ περὶ τοῦ παρεπομένου τέ λους αὐτῇ, ο τι μέγα τοῦτο, καὶ ὁ Θεὸς ὑπὲρ ἀξίαν ἀμείβεται. Διελέγετο καὶ Παῦλος περὶ ἐγκρατείας καὶ δικαιοσύνης, καὶ τοῦ μέλλον τος κρίματος, ὡς ε μφοβον γενέσθαι τὸν ἡγε μόνα. – Οταν μέν τις κατὰ τὸ θέλημα τῆς σαρκὸς καὶ τῶν διανοιῶν πορεύηται, ὁδοὺς ἑαυτοῦ πορεύεται· ὁ δὲ ἀποστὰς τοῦ ἁμαρ τάνειν, δίδωσιν ἑαυτὸν τῷ Θεῷ, αἰτῶν παρ' αὐτοῦ τὸ φοβεῖσθαι καὶ αὐτὸν, καὶ πορεύεσ θαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. Οὐκέτι μὲν γὰρ κατὰ τὰς ὁδοὺς ἑαυτοῦ πορεύεται, με ταστὰς δὲ ἐπὶ τὰς τοῦ Θεοῦ, ἐν αὐταῖς βαδί ζει. Ισον δέ ἐστι τούτῳ· Ει πα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου. Ἐμαυτοῦ τοίνυν κατήγορος γενόμενος, παρὰ σοὶ ἐξωμολόγη σα μὲν περὶ αὐτῶν, διὰ δὲ τοῦτο ἐπήκουσάς μου, παραδεξάμενος τὴν μετάνοιαν. Ευ χο μαι δέ σε, καὶ διδάσκαλόν μου γενέσθαι τῶν δικαιωμάτων, α οὐδεὶς δύναται κατ' ἀξίαν παραδοῦναι, ὡς σὺ ὁ Κύριος τῶν δικαιωμά των. 118.27 Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου. Συνετιζόντων δεόμεθα, πρὸς τὸ μὴ ἀπο πλανηθῆναι τῆς ὁδοῦ τῶν δικαιωμάτων Θεοῦ. Ἐὰν γὰρ τὴν ὁδὸν τῶν ἐν τοῖς δικαιώμασι μυστηρίων, ὑπὸ σοῦ σύνεσιν λαβὼν, νοήσω, ὡς καὶ ὁδεῦσαι αὐτὴν, δυνήσομαι, τὰ δη λούμενα ἐν τοῖς δικαιώμασί σου θαυμάσια συνιεὶς, ἀδολεσχεῖν ἐν αὐτοῖς, καὶ τὴν ὁμι λίαν ἐν τῷ περὶ τούτων ποιεῖσθαι λόγῳ. – Ἐπεὶ οὐκ ε στι βραχεῖα ἡ ευ ρεσις τῆς ὁδοῦ τῶν δικαιωμάτων, οὐκ ἐπὶ δύο η τρεῖς η δέ κα ἡμέρας, μόλις γὰρ ἀρκεῖ μοι καὶ ὁ χρό νος τῆς ζωῆς. Καὶ ω σπερ ἐστὶν ὁδὸς δικαιω μάτων, ου τως καὶ ἡ ὁδὸς μαρτυρίων. Ἐν τῇ ὁδῷ, φησὶ, τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ. Εστι καὶ ὁδὸς ἐντο λῶν· Ὁδὸν γὰρ ἐντολῶν σου, φησὶν, ε δρα μον, ο ταν ἐπλάτυνας τὴν καρδίαν μου. Αυ ται δὲ πᾶσαι αἱ ὁδοὶ τέλος καὶ ἀρχὴν ε χου σι, μίαν ὁδὸν τὴν λέγουσαν· Ἐγώ εἰμι ἡ ὁ δός. Ὁδεῦσαι ου ν δεῖ διὰ πασῶν τούτων τῶν ὁδῶν, ι να ε λθῃς ἐπὶ τὸ τέλος αὐτῶν, τὸν Χριστόν. 118.28 Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκη δίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Πλησίον, φησὶν, ἐγενόμην τοῦ θανάτου, ὀλιγωρήσας πρὸς τὰ ἐπικείμενά μοι κακά· ἀλλ' αὐτός με, φησὶ, στήριξον ἐν τῇ ἐπαγ γελίᾳ σου. Η ἐπεὶ ἡ προσβολὴ τῆς ἁμαρ τίας χαυνοῖ τὸν λογισμὸν καὶ ἀκηδίαν ἐργά ζεται, ἡ μὲν νυσταγμὸν, ὁ δὲ θάνατον. – Ο μέντοι Σύμμαχος καὶ Ἀκύλας κατέσταξεν ει πον. Ἡ δὲ ε΄ καὶ ΄ ε σταξεν ἡ ψυχή μου πε ριέχει. Παρὰ δὲ τῷ Συμμάχῳ, κατέσταξεν ἡ ψυχή μου. Καὶ δοκεῖ μοι, μὴ νοήσας τις τὸ ε σταξεν, ἀλλ' ὑπολαβὼν ἁμαρτῆσθαι τὸ ἀντίγραφον, πεποιηκέναι· ἐνύσταξεν ἡ ψυ χή μου, τῆς ἐπὶ τὸ ε σταξεν ἡ ψυχή μου ζη τήσεως ἀπαλλαγῆναι βουλόμενος. Φησὶ γὰρ, ο ταν ἡ ψυχὴ ἐν ἀκηδίᾳ γένη ται καὶ ἀδημονίᾳ καὶ λύπῃ, ἀπόλλυσι τὸ ἐ γρηγορῆναι, καὶ γίνεται ἐν νυσταγμῷ, ἀπα γορευμένῳ ἐν τῷ· Μὴ δὸς υ πνον σοῖς ο μμα σιν, μηδὲ νυσταγμὸν σοῖς βλεφάροις. Ὁ δὲ δυσωπούμενος τὴν μαρτυρουμένην ὑπὸ τῶν πλειόνων ε κδοσιν, τὴν ε σταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, φησὶν, ο τι πεπυκνωμένη καὶ στέγειν δυναμένη ἐστὶν, ὡς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μηδὲν αὐτῆς ἀ πορῥεῖν, ἡ τοῦ δικαίου ψυχή· ἡ δὲ τοῦ φαύ λου οὐ τοιαύτη, ἀλλὰ μὴ δυναμένη κρατεῖν ο ν διδάσκεται λόγον Θεοῦ· διόπερ ἡ τοιαύτη ψυχὴ στάζειν α ν λέγοιτο. Τοιαύτην δέχεται διάνοιαν καὶ τό· Υἱέ μου, μὴ παραῤῥυῇς, ἐν Παροιμίαις γεγραμμένον, καὶ τό· Διὰ τοῦτο δεῖ περισσοτέρως προσέχειν ἡμᾶς τοῖς ἀ κουσθεῖσιν, μήποτε παραῤῥυῶμεν, ἐν τῇ πρὸς ῾Εβραίους λελεγμένον. –Βεβαίωσον, οἱονεὶ τοιοῦτόν με ποίησον ἐν τοῖς λόγοις, ω στε α σειστον ει ναι, καὶ μηδαμῶς μετακι νούμενον. 118.29 ῾Οδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με. Δυνάμενος εἰπεῖν· ἀπόστησόν με ὁδοῦ ἀ δικίας, τοῦτο μὲν οὐκ ε φησεν, τὸ δέ·῾Οδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, ὡς τυγχάνου σαν ἐν ἐμοὶ, καὶ ἐνυπάρχουσάν μοι. Οσον γάρ ἐσμεν ε τι φαῦλοι, ἡ ὁδὸς τῆς ἀδικίας ἐν ἡμῖν ἐστιν, καὶ πάντα μὲν πρακτέον, ι να αὐ τὴν ἀπωθήσωμεν τῆς ψυχῆς ἡμῶν· μάλιστα δὲ Θεὸν συνεργὸν εἰς τοῦτο παρακλητέον, ι να, ταύτης ἀποστάσης ἡμῶν, δυνηθῶμεν εἰπεῖν· καὶ τῷ νόμῳ σου ἐλέησον· ἀξιοῦντες νόμῳ Θεοῦ ἀπὸ Θεοῦ ἐλεηθῆναι, ῳ νενομο θέτηκεν ὁ Θεὸς, ὡς α ν τις ει ποι ἰατρῷ· ὡς ἀπαντᾷ ὁ ἰατρικὸς λόγος, α γαγέ με ἐπὶ τὴν ὑγιείαν, ει τε τομαῖς, ει τε καυτῆρσιν, ει θ' ὁποσοῦν ὑποβάλλεται τῶν ἐπιπόνων ὑπὸ τῆς ἰατρικῆς καὶ τῶν νόμων αὐτῆς. Τοῦτο δὲ ὁ μὲν ᾿Ακύλας ὁδὸν ψεύδους ἐκ δέδωκεν· ὁ δὲ Σύμμαχος ὁδὸν ψευδῆ περίε λε. Καὶ οι μαι προσφορώτερον, ἐπεὶ ὁ ἐχόμε νος στίχος τὴν ἀπεναντίας τοῦ ψεύδους ἀν τιτίθησιν ἀλήθειαν, δεικνὺς τὸ ἀκόλουθον· ῾Οδὸν γὰρ, φησὶ, ἀληθείας ᾑρετισάμην. 118.30 ῾Οδὸν ἀληθείας ᾑρετισάμην, καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην. Ταῦτα γὰρ τίς ἐρεῖ; καταφρονῶν μὲν τῶν βλεπομένων, ὡς προσκαίρων, σκοπῶν δὲ τὰ μὴ βλεπόμενα, ὡς αἰώνια, καὶ ἀληθῆ κυρίως ὑπάρχοντα· οὐκ ἀληθείας γὰρ ἡ ὁδὸς, ἡ ἐπὶ δόξαν καὶ πλοῦτον ἐπίγειον ὁδηγοῦσα. ᾿Ε κεῖνα δὲ τίς ζητεῖ, τῶν κριμάτων τοῦ Θεοῦ μεμνημένος, καὶ τῆς ἐπ' ἐκείνοις ἀνταποδό σεως; 118.32 ῾Οδὸν ἐντολῶν σου ε δραμον, ο ταν ἐπλάτυνας τὴν καρδίαν μου. Οἱ λόγοι δὲ τῶν ἐντολῶν πλατύνοντες τὴν καρδίαν, ευ κολον αὐτῇ παρασκευάζουσι τῆς πρακτικῆς τὴν ὁδόν. 118.33-35 Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός. Συνέτισόν με, καὶ ἐξερευ νήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ο λῃ καρδίᾳ μου.῾Οδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ο τι αὐτὴν ἠθέλησα. Πάντα ἐπὶ τὸν Θεὸν ἀναφέρουσιν οἱ α γιοι, διδάσκοντες ἡμᾶς ο τι χωρὶς Θεοῦ οὐδὲν δυ νάμεθα. ᾿Εὰν γὰρ μὴ ἐν ἐμοὶ, φησὶ, μένητε, οὐδὲν δύνασθε ποιεῖν. ᾿Αλλ' ι σως τις ἐρεῖ· Εἰ πάντα ἀναφέρεται ἐπὶ τὸν Θεὸν, ποῦ τὸ ἐπ' ἐμοί; Ιδε εἰ μὴ πανταχοῦ ἐπέπλεξεν τῷ ἀπὸ τοῦ Θεοῦ, τὸ ἐφ' ἡμῖν.῾Ως ἐνταῦθα τὸ ἀπὸ τοῦ Θεοῦ· Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν δικαιωμάτων σου. Τὸ δὲ ἐφ' ἡμῖν· Καὶ ἐκζητήσω αὐτὴν διαπαντός. ᾿Απὸ Θεοῦ αἰτῶ πάλιν· Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου. Τὸ δὲ ἐπ' ἐμοί· Καὶ φυλάξω αὐτὸν ἐν ο λῃ τῇ καρδίᾳ. Καὶ τρίτον ἀπὸ Θεοῦ αἰτῶ λέγων· ῾Οδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου. Τί τὸ ἐπ' ἐμοί; Οτι αὐτὴν ἐθέλησα. Δεῖ ου ν τὸ μὲν αἰτεῖν παρὰ τοῦ Θεοῦ, τὸ δὲ ἑαυτοὺς εἰσφέρειν ὁμολο γεῖν. Σὺ μὲν γὰρ, φησὶ, ω Κύριε, νομοθέτη σόν με τὴν ὁδὸν τῶν δικαιωμάτων σου. ᾿Ε γὼ δὲ τὸν τῆς ζωῆς μου α παντα χρόνον ἐπι δώσω ἐμαυτῷ εἰς ἀναζήτησιν αὐτῆς. Οὐκέτι γὰρ σαφὲς η εὐκαταφρόνητον. Δεῖται δὲ τῆς Θεοῦ συνεργείας καὶ τῆς ἡμετέρας σπου δῆς, ὡς ἐξ αὐτοῦ λαβεῖν τήν τε χρῆσιν καὶ τὴν κατάληψιν τῶν τε πρακτικῶν καὶ θεω ρητικῶν. Ου τως γὰρ μηδὲν ἐνδοιάζων, ἐν ο λῃ καρδίᾳ φυλάξω τὸν νόμον. Εἰ δὲ καὶ ἡ ε ρευ να δεῖται συνέσεως, πόσῳ μᾶλλον, ι να τις ευ ρῃ τὸ τέλος. –Δεῖ ου ν τὰ μὲν αἰτεῖν, τὰ δὲ ἐπαγγέλλεσθαι καὶ πληροῦν, ι να μὴ τὰς πρὸς Θεὸν ἀτεθῶμεν συνθήκας, ἐπὶ τὸν Θεὸν τοίνυν ἀναφέρειν τὴν αὐτοῦ εὐμένειαν καὶ τὸ α νωθεν δίδοσθαι τὴν ἐπὶ τοῖς κα τορθουμένοις εὐόδωσιν. ᾿Επὶ σοὶ δέ ἐστιν ἡ συνέργεια τοῦ ἀγαθοῦ, καὶ ἡ τῆς μοχ θηρίας ἀποστροφὴ, ω στε τὰ ἀπὸ τοῦ Θεοῦ αἰτῶμεν γενέσθαι ἡμῖν μετὰ τοῦ συνεισφέ ρειν τὰ ἐφ' ἡμῖν, καὶ ου τω τὰς πρὸς Θεὸν συνθήκας οὐκ ἀτεθήσοιμεν. –


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Τρίβος ἡ τε τριμμένη ὁδὸς, η ν πολλοὶ τῶν δικαίων πρὸ ἡμῶν ἐπορεύθησαν, πρὸς η ν ὁδηγοῦντος χρεία Θεοῦ. Χριστοῦ γὰρ ἡμᾶς δεῖ γενέσθαι μιμητὰς, καὶ αι ρειν τὸν σταυρὸν, καὶ ἀκο λουθεῖν ὀπίσω αὐτοῦ. 118.36 Κλίνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Τὰ γὰρ μαρτύρια τοῦ Θεοῦ οὐ φιλαργυ ρίαν διδάσκει, λέγοντα· Οὐκ ἐπιθυμήσεις κτλ. 118.37 ᾿Εν τῇ ὁδῷ σου ζῆσόν με. ᾿Εγώ εἰμι, φησὶν, ἡ ὁδὸς, ἐν τοῖς εὐαγγε λίοις Κύριος. 118.39 Περίελε τὸν ὀνειδισμόν μου ο ν ὑ πώπτευσα, ο τι τὰ κρίματα σου χρηστά. Εἰ χρηστά ἐστι τὰ κρίματα τοῦ Θεοῦ, χρηστότητος καρποὺς ζητητέον. Νόησαι ἐ πὶ πάντας τοὺς κρινομένους, κα ν πικρότερά τισι διὰ τῆς ἁμαρτίας ἀπαντᾷ. 118.40 ᾿Ιδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με. ᾿Επεὶ ἐπεθύμησα, φησὶ, τὰς ἐντολάς σου, διὰ τοῦτο ζωοποίησόν με κατὰ τὴν σὴν δι καιοσύνην, καὶ α μειψαί με, μὴ μόνον ποιή σαντά σου τὰς ἐντολὰς, ἀλλὰ καὶ ἐρωτικῶς πρὸς αὐτὰς διατιθέντα· διὸ οὐκ α λλου χά ριν, ἀλλ' αὐτῶν ε νεκα ἐπιτελῶν, αὐτός φημι· ᾿Εν τῇ δικαιοσύνῃ σου ζῆσόν με, ο περ ἐστὶ ζῆσαι κατ' ἀρετήν. Καὶ ἐπεὶ δικαιοσύνη τοῦ Πατρὸς ὁ Υἱὸς, ὁ ἐν Υἱῷ ζῆσαι βουλόμενος, τοῦτό φησιν· ζωοποιεῖ γὰρ ἡμᾶς διὰ τῆς ἰδίας δικαιοσύνης ὁ Θεὸς καὶ Πατήρ. Εστι δὲ αὐ τὴ Χριστός. –Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν. 118.41,42 Καὶ ε λθοι ἐπ' ἐμὲ τὸ ε λεός σου, Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου. Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λό γον, ο τι η λπισα ἐπὶ τοῖς λόγοις σου. Πρὸς τοῖς εἰρημένοις, τὸ ε λεός σου ἐπ' ἐ μὲ ε λθοι κατὰ τὸν λόγον σου, καὶ μετὰ τοῦ ἐλέους σου τὸ σωτήριον, ι να ὑπ' αὐτοῦ ἐλεη θεὶς σωθῶ. Τὸ τέλος γὰρ τοῦ ἀπὸ Κυρίου ἐλέους ἡ παρ' αὐτοῦ σωτηρία· διὸ καλῶς οὐ πρὸ τοῦ ἐλέους σωτηρίαν αἰτεῖ, ει τα τὸν ε λεον, ἀλλ' ἀνάπαλιν· οὐ γὰρ τοσοῦτον, φησὶ, διὰ τὰ ἡμέτερα ε ργα, ο σον διὰ τὴν σὴν χά ριν σώζομαι. Εἰ δὲ δυνατὸν πάντα διὰ τοῦ ἀποσταλέντος Λόγου εἰρῆσθαι, ἐπίστησον· αὐτὸς γὰρ καὶ ε λεος καὶ σωτήριον Κυρίου ἐστί. Διὸ εὐκτέον η κειν ἐφ' ἡμᾶς τὸ ε λεος Κυρίου, τὸ σωτήριον κατὰ τὸ ε λεος αὐτοῦ. Εἰ τοῦ σοῦ ἐλέους τύχω, φησὶ, παῤῥησίαν ε ξω πρὸς τοὺς ἐνισταμένους καὶ ὀνειδίζον τας. ᾿Εὰν ε λθοι ἐπ' ἐμὲ τὸ ε λεος καὶ τὸ σω τήριον, κατὰ τὸν σὸν λόγον σωθεὶς, εὐπορή σω λόγον, ω στε τοῖς ὀνειδίζουσί με ε χειν ἀ ποκρίνεσθαι καὶ παραστῆσαι αὐτοῖς, ο τι οὐκ α ξιόν ἐστιν ὀνειδίζεσθαι τὸν τοιαῦτα ε χοντα δόγματα, α τινα γελῶσι μὲν οἱ τῆς πίστεως ἀλλότριοι ὡς μῶρα, συνέσεως δὲ ἀποδείξω καὶ σοφίας πεπληρωμένα, ἐπεὶ καὶ εἰς τοὺς λόγους ἐπήλπισα· διὸ τοῦτο πρὸς τοῖς προ τέροις ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον. 118.43,44 Καὶ μὴ περιέλῃς ἐκ τοῦ στό ματός μου λόγον ἀληθείας ε ως σφόδρα, ο τι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα. Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ταῦτά φησιν, ὡς δυνατοῦ ο ντος τοῦ η δη ἀνειληφότος λόγον ἀληθείας, ἀποθέσθαι αὐ τὸν, περιελόντος αὐτὸν τοῦ Θεοῦ ἐκ τοῦ στό ματος τοῦ η δη αὐτὸν ἀνειληφότος, ἐπὰν ὁ η δη διδάσκων, ἀνάξιον ἑαυτὸν ποιήσῃ τοῦ λόγου· διὸ καλῶς λέγεται· Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος. ᾿Αμελεῖ δὲ οὐ μόνον ὁ μὴ γεωργῶν τὸ χάρισμα, καὶ αὐξάνων αὐτὸ, ἀλ λὰ καὶ ὁ μὴ βιῶν κατ' αὐτό. Ζητήσει δ' α ν τις εἰ ἀπὸ στόματος μὲν περιαιρεῖται λόγος ἀληθείας, ἀπὸ δὲ καρδίας οὐδέποτε περιαι ρεῖται, ι να σώζηται ἡ ἀφορμὴ τῆς ἐπιστρο φῆς, διὰ τὸ ἐνυπάρχειν τὸν τῆς ἀληθείας λόγον τῷ α παξ αὐτὸν ἀνειληφότι. Τῷ γὰρ ἁμαρτωλῷ ει πεν ὁ Θεός· Ινα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; οὐχ ι να τί σὺ φρονεῖς τὰ δικαιώματά μου; τάχα δὲ καὶ ἐὰν ἐπίπλεον ἁμαρτάνῃ τις, καὶ ἀπὸ τῆς καρδίας περιαιρεῖται ὁ τῆς ἀληθείας λόγος, θολουμένης, καὶ οἱονεὶ τυφλουμένης τῆς καρδίας πρὸς τὸ μὴ θεωρεῖν τὴν ἀλήθειαν. 118.46 Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην. Χαριέντως ἁρμόσειε τοῦτο τῷ μάρτυρι, τῷ ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀγομένῳ διὰ Χριστόν. ῾Αρμόττει καὶ τοῖς ἀνοίγουσι τὸ στόμα ἐπὶ τῶν βασιλικῶν τὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ψυχὰς ἁγίων. Καὶ μετ' ὀλίγα. Αἰσχύνης γὰρ α ξια λέγει ὁ μὴ προσλαμβάνων ῥῆμα εἰς τὸ εὐαγγελί σασθαι ἀπὸ Θεοῦ δυνάμει πολλῇ. Οὐκ αἰσ χύνης δὲ, ἀλλὰ δόξης α ξια λέγει, ὁ τῇ δια θέσει τοῦ προφήτου λέγων τό· Καὶ ἐλάλουν κτλ. Μεγαλοπρεπῶς ἀπὸ γενεᾶς ζούσης ὑ παντᾷ μεταχειριζόμενος ε ξεως, ἐπειδὴ μεί ζων παντὸς βασιλέως, μᾶλλον δὲ βασιλεὺς βασιλέων ὁ λαλῶν ἐν ἡμῖν ἐστιν, ο ταν τὰ τοῦ Θεοῦ λαλῶμεν. 118.47,48 Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, αι ς ἠγάπησα σφόδρα. Καὶ η ρα τὰς χεῖράς μου, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώ μασί σου. Τέλος τῆς τῶν ἐντολῶν Θεοῦ μελέτης ἐσ τὶν ἡ κατὰ τὰς ἐντολὰς ἐνέργεια καὶ πρᾶ ξις· διὸ καὶ καλῶς προστετάχθαι φαίνεται τό· Ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, αι ς ἠ γάπησα, ἑξῆς δὲ τούτοις τό· Καὶ η ρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου. Μετὰ γὰρ τὴν μελέτην καὶ ἀνάληψιν τοῦ τῶν ἐντολῶν λόγου, καλὸν τὸ ἐπᾶραι τὰς χεῖρας ἐπὶ τὰς κατὰ τὰς ἐντολὰς πράξεις, μὴ ἐκ λύπης, η ἐξ ἀνάγκης, ἀλλὰ ἐξ ἀγάπης καὶ διαθέσεως, καὶ μετὰ ταῦτα συνεχῶς ἀποδιδόναι τὸ ε ρ γον τῶν ἐντολῶν. Καὶ ἐπειδὴ, μετὰ τὴν με λέτην καὶ τὴν ποίησιν τῶν ἐντολῶν, περὶ τούτων διαλέγεσθαι δεῖ, διὰ τοῦτο ἐπιφέρει τό· Ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου, ει περ τοιοῦτόν ἐστιν ἀπὸ τῆς πρὸς τὰ δι καιώματά σου φιλίας μου, συνεχῶς αὐτοῖς ἐνδιατρίβων τῷ λόγῳ, οἱονεὶ ἠδολέσχουν, ἐ πίπλεον ὁμιλῶν τὰ περὶ τῶν δικαιωμάτων σου. –Τὰς χεῖρας ἐπαίρομεν τῆς ψυχῆς διὰ τῶν ἐντολῶν τοῦ Θεοῦ, κατεργαζόμε νοι τὴν πρακτικήν. Χεῖρας ἐνταῦθα τὰς πρακτικὰς ἐνεργείας ει ναί φησι· ἡ γὰρ πρᾶ ξις τέλος μελέτης ἐστὶν ἐντολῶν. 118.49 Μνήσθητι τῶν λόγων σου τῷ δού λῳ σου, ω ν ἐπήλπισας με. Καὶ ποῖος ὁ λόγος ου μνησθῆναι αὐτὸν ἀξιοῖ, η τὸ ει ναι αὐτὸν μετ' αὐτῶν, καθ' η ν δέδωκεν αὐτοῖς ἐπαγγελίαν, η τις καὶ παρά κλησις αὐτοῖς ἐν τοῖς διωγμοῖς ἐγένετο; Λό γον χρηματίσας ἐπαγγελίας, ἀνεπτέρωσας ἡμᾶς ἐπὶ τῷ ἐλπίζειν ἐπὶ σοὶ, καὶ καταφρο νεῖν τῶν ἀνεστηκότων. Ἐπεὶ δὲ τῷ ποθεῖν τὰ ἐπουράνια, καὶ ζητεῖν τὰ αἰώνια, ἠγωνισά μην, ἀπαιτῶ τούτων τὸν λόγον, ἀπαιτῶ τούτων τὴν ἀνταπόδοσιν. Νομοθετῶν ὁ Θεὸς, καὶ τοῖς φυλάττουσι τὸν νόμον τὴν οἰκε ίαν εὐμένειαν ἐπηγγείλατο, καὶ τοῖς πα ραβάταις τιμωρίας. Μνησθῆναι τοίνυν τὸν Θεὸν τῶν οἰκείων ὑποσχέσεων ἱκετεύει. Εἰς ἐκείνας γὰρ, φησὶ, ἐλπίζειν ἐδίδαξάς με, καὶ δεικνὺς τῆς ἐλπίδος τὸ χρήσιμον, ἐπάγει· Αὐτή με παρεκάλεσε. Ταύτην γὰρ ε σχον παραψυχὴν ἐν ταῖς συμφοραῖς, καὶ ὑπερέ πλευσα κυμάτων. 118.50 Αυ τη με παρεκάλεσεν ἐν τῇ ταπει νώσει μου, ο τι τὸ λόγιόν σου ε ζησέ με. Αυ τη τίς; ἡ ἐλπίς, ἐγγινομένη μοι ἀπὸ τοῦ σοῦ λόγου παρεκάλεσέ με, καὶ παρεμυ θήσατό με, εἰς τό· ει ποτε περιστάσεις, η κίνδυνος, η θανάτου προσδοκία, η νόσος χα λεπὴ, η ἀπώλεια τῶν ὑπαρχόντων, η διωγ μὸς, η τι δήποτε τῶν νομιζομένων χαλεπῶν κατελάμβανέ με, ἡ ἐπὶ σὲ ἐλπὶς παράκλησίς μου η ν. –Συντόμως δὲ εἰπεῖν, πάντα τὰ περιστατικὰ ταπείνωσις ἑαυτοῦ, ὡς ει ναι τὸν καιρὸν τῶν περιστάσεων καὶ τῶν πειρασμῶν ταπείνωσιν τῆς ψυχῆς καταλειπομένης καὶ παραδιδομένης τῷ πειράζοντι, ι να ἀγωνίση ται πρὸς τὴν ἀντικειμένην δύναμιν. Καὶ διὰ τοῦτο τὸ λόγιόν σου ε ζησέ με, τουτέστιν ἐ ζωοποίησέ με. Οὐδὲν γὰρ α λλο ποιεῖ ζῆν λο γικὴν ψυχὴν τὴν ἑαυτῆς ζωὴν ὡς τὸ λόγιον τοῦ Θεοῦ. Καθ' ο γὰρ αυ ξει τὸ λόγιον τοῦ Θεοῦ, καὶ νοούμενον καὶ παραλαμβανόμενον εἰς τὴν τοῦ ἀνθρώπου ψυχὴν, κατὰ τοῦτο αυ ξεται καὶ τὸ τῆς ζωῆς. Ταῦτα δέ ἐστιν τὸ σὺν ἀρετῇ ζῆν ἐνταῦθα, μετὰ ταῦτα δὲ καὶ τὴν αἰώνιον δίδωσι ζωήν. 118.52 Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην. Ετι τὴν διάθεσιν κατανοήσωμεν τοῦ δι καίου. Μιμνησκόμενος, φησὶ, τῶν περὶ ἡ μᾶς ἀπὸ τοῦ Θεοῦ, τῶν ἀπ' αἰῶνος καὶ ε ως αἰῶνος ἀποδοθησομένων ἑκάστῳ παρακα λεῖται, καὶ α λυπος μένει καὶ ἀτάραχος, καὶ λέγει· Οὐκ α ξια τὰ παθήματα τοῦ νῦν και ροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφ θῆναι ἐφ' ἡμᾶς. 118.53 Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτω λῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Τῷ μὲν ἁμαρτωλῷ γελοῖον η θος ἡ θεοσέ βεια·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ δὲ θεοσεβεῖ φρικτὸν ἡ παρανομία, διότι προορᾷ τὸ φοβερὸν τῆς τιμωρίας. 118.54 Ψαλτὰ η σάν μοι τὰ δικαιώματά σου, ἐν τόπῳ παροικίας μου. Τὸ περίγειον χωρίον τόπος ἐστὶ παροι κίας τοῦ δικαίου· διό φησι· Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ. Τῷ γὰρ ξένῳ τὰ οι κοι ποθεινὰ, καὶ πρὸ τῆς εἰς αὐτὰ ἐπανόδου, πάντα λυ πηρὰ, καὶ ταύτην εὑρὼν παραμυθίαν, τὸ πε ρὶ τῆς παροικίας παρατάχιον [ἀπομανθάνει]. Παρῴκησεν ὁ Δαυὶδ, ὑπὸ τοῦ Σαοὺλ διωκό μενος, ἀλλ' οὐ τοῦτό φησιν, ἀλλὰ πάντα τὸν βίον, ὡς γὰρ παροικῶν, διατελεῖ, καὶ ᾳ δων τὰ τοῦ Θεοῦ δικαιώματα, τὸν βίον διοδεύει. Ψάλλων ου ν, φησὶ, τὰ δικαιώματά σου καὶ εὐρύθμως, τοῦτο μὲν λέγων, τοῦτο δὲ πράτ των, καὶ ἐν τῇ ἐπιθυμίᾳ τῆς ἐντολῆς, οὐδὲ τῷ υ πνῳ χώραν ἐδίδουν. 118.55 Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου. Χαλεπὸν ἐν καιρῷ πειρασμοῦ μνησθῆναι τῆς γνώσεως τοῦ Θεοῦ· ὁ γὰρ φαῦλος λο γισμὸς χρονίζων ἐν τῇ διανοίᾳ περισπᾷ τὸν νοῦν, καὶ χωρίζει αὐτὸν τῆς γνώσεως τοῦ Θεοῦ, ἀφ' ου συμβαίνει καὶ τὸ παραβαίνειν τὸν νόμον αὐτοῦ. 118.57 Μερίς μου ει , Κύριε, ει πα τοῦ φυ λάξασθαι τὸν νόμον σου. Ὁ ἀποταξάμενος τοῖς βιωτικοῖς πράγμα σιν, καὶ μηδεμίαν ε χων μερίδα ἐπὶ γῆς, μη δὲν τὸ θέλειν τὰ τοσαῦτα, ἀλλ' ἀρκούμενος ἀντὶ πάντων τῷ Κυρίῳ, ἐρεῖ· Μερίς μου Κύ ριος. Τούτῳ δὲ ἀκολουθεῖ λέγειν· Ει πα τοῦ φυλάξασθαι τὸν νόμον σου, τουτέστι τὸν πνευματικόν ... –Παρασκευῆς γὰρ χρεία πρὸς τὰς ἀντικειμένας δυνάμεις, κωλυούσας τοῦ Θεοῦ φυλάξαι τὰς ἐντολὰς, κατὰ τὸν Ἀπόστολον λέγοντα· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ κτλ. 118.58 Ἐδεήθην τοῦ προσώπου σου ἐν ο λῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ λόγιόν σου. Ορα δὲ πηλικός ἐστιν ὁ ὀψόμενος τὸ πρόσωπον τοῦ Θεοῦ· Ἰησοῦς δὲ ἐδιδάξατο λέγων· Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ο τι αὐτοὶ τὸν Θεὸν ο ψονται ... –Μήποτε δὲ πλέον τι ἐμφαίνεται τοῦ ἁπλῶς ἐλέησόν με, ο τε πρόσκειται αὐτῷ κατὰ τὸ λόγιόν σου; ὁ φαῦλος δὲ λεγόμενος παρά τισιν ε λεος ει ναι, ἐστὶν, ο τε οὐ κατὰ τὸ λόγιον τοῦ Θεοῦ ἐλεού μενος, ὡς ο τε ἐλεεῖ Σαοὺλ τὸν Ἀγάγ. [Κα τὰ] κρίσιν δὲ τὸν ε λεον δεῖ γίνεσθαι, καὶ μὴ παρανόμως τῷ λογίῳ σού φησιν· ἐλέησόν με κατὰ λόγιόν σου. Πλὴν νῦν μὲν ευ χεται, ἑξῆς δὲ ἐπακουσθείς φησιν· 118.59 Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου. Ὁ Ἑβραῖος· Τὰς ὁδούς μου ε χει, ὡσαύτως δὲ καὶ οἱ α λλοι ἡρμήνευσαν. Λέγει δέ· Λο γιστεύων μου τὰς ὁδοὺς, πρὸς τὰ μαρτύριά σου τοὺς ἐμοὺς πόδας κατηύθυνον, καὶ οὐκ ει ων ἐκτρέπεσθαι τῆς πρὸς σὲ φερούσης ὁ δοῦ, η οὐδέποτέ τι ε πραξα, μὴ λογισάμενος εἰ καθῆκόν ἐστιν ἡ πρᾶξις. 118.60 Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην, τοῦ φυλάξασθαι τὰς ἐντολάς σου. Εἰ ἠσκήσαμεν, εἰ ἡτοιμάσμεθα, εἰ οι ον δὴ τρόπον παρεσκευάσμεθα, οὐ ταραχθη σόμεθα ἀπὸ τῶν ἀντικειμένων δυνάμεων, τῶν ἀντιστρατευομένων ἡμῖν, ι να μὴ φυλά ξωμεν τὰς τοῦ Θεοῦ ἐντολάς. –Εἰδὼς τὸ εἰρημένον· Τέκνον, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμὸν, καὶ τοῦτο μελετῶν διαπαντὸς, ἐν ταῖς ἐφόδοις οὐκ ἐταραττόμην, α τε μεμε λετηκὼς αὐτὰς φέρειν γενναίως. 118.61 Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Τούτοις δὲ τοῖς σχοινίοις καὶ ὁ Σατανᾶς δέδηκε τὴν θυγατέρα τοῦ Ἁβραὰμ, η ν ε λυ σεν ὁ Χριστὸς, ει περ σειραῖς τῶν ἑαυτοῦ ἁ μαρτιῶν ε καστος σφίγγεται. Εἰ δὲ διττή ἐσ τιν ἡ ἁμαρτία, ἡ μὲν κατὰ διάνοιαν, ἡ δὲ κατ' ἐνέργειαν, διττὰ α ρα νοητέον καὶ τὰ σχοινία· ὁ δὲ τὰ κατ' ἐνέργειαν λύσας, πάν τως καὶ κατὰ διάνοιαν λέλυκε. Καὶ ἡ μὲν παλαιὰ διαθήκη τὰ κατ' ἐνέργειαν λύει σχοινία· ἡ δὲ καινὴ τὰ κατὰ διάνοιαν. Ἐῤ ῥήθη γὰρ, φησὶ, τοῖς ἀρχαίοις· Οὐ φονεύ σεις. Ἐγὼ δὲ λέγω· Οὐκ ὀργισθήσῃ κτλ. –Οἱ κακοὶ λογισμοὶ σχοινία τῶν δαιμόνων ἐσ τὶ, περιπλεκόμενα τῇ ψυχῇ, καὶ οὐκ ἐῶντα ἀπιέναι ἐλευθερίως πρὸς τὸν εἰπόντα· Ἐγώ εἰμι ὁδός. –Εἰ ου τος ἐπιλανθάνεται τοῦ νόμου ὁ μὴ ζῶν κατ' αὐτὸν, ου τος μνημο νεύει τοῦ νόμου ὁ κατὰ τὸν νόμον πολιτευό μενος. 118.63 Μέτοχος ἐγώ εἰμι πάντων τῶν φο


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐν τολάς σου. Ὁ μέτοχος τῶν φοβουμένων τὸν Κύριον, καὶ αὐτὸς φοβεῖται τὸν Κύριον· καὶ ὁ μέτο χος τῶν δικαίων, καὶ αὐτὸς δίκαιός ἐστι· τῶν μὲν γὰρ ὁ φόβος κοινὸς, τῶν δὲ δικαιο σύνη. 118.65,66 Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου. Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδα ξόν με, ο τι ταῖς ἐντολαῖς σου ἐπίστευσα. Ἡ χρηστότης τοῦ Θεοῦ τῇ γευστικῇ δυ νάμει τῆς ψυχῆς ὑποπίπτει. Γεύσασθε γὰρ, φησὶ, καὶ ι δετε ο τι χρηστὸς ὁ Κύριος. Γεῦσις δέ ἐστιν ἡ ἀπάθεια ψυχῆς λογικῆς, διὰ τοῦ πνευματικοῦ νόμου προσγινομένη· χρηστότης δέ ἐστιν γεῦσις ἀληθὴς τῶν γε γονότων ὑπὸ Θεοῦ· παιδεία δὲ μετριοπάθεια παθῶν· γνῶσις δέ ἐστιν ἡ θεωρία τῆς Τριά δος. Πλουσίως ἐκχεῖς, φησὶν, ἐπὶ πάντας τὰς τοῦ ἐλέους πηγὰς, καὶ οὐκ ἐπάγεις καθ' ε καστον φέρων, γάμους διορυττομένους, αι ματι μιαινομένους, σφετεριζομένους τὰ ἀλ λότρια, καὶ τὰ λοιπά. Τούτου κἀμὲ ἀξιώ σας, τῶν σῶν δικαίων τὴν γνῶσίν μοι χα ρίσαι· πεῖραν γὰρ λαβών σου τῆς χρηστό τητος, καὶ αυ θις ταύτης ἀπολαῦσαι παρα καλῶ, ι να σὺν αὐτῇ καὶ παιδείαν καὶ γνῶσιν μάθοιμι· παιδείαν μὲν τὴν ἠθικὴν, γνῶσιν δὲ τὴν θεωρητικήν. –Οι δεν ὁ προφήτης τῆς παιδείας τὸ χρήσιμον, καὶ ο τι φιλανθρωπίᾳ χρώμενος, ὁ δεσπότης ταύτην ἐπιφέρει τοῖς ἀνθρώποις· καὶ ὡς ἡ παιδεία τὴν γνῶσιν ἐρ γάζεται, ἐπεὶ ὀρθῶς καὶ φρονίμως ταῖς πα ρὰ σοῦ ἐντολαῖς προσελθὼν ἐπίστευσα αὐ ταῖς, ὡς τηρῆσαι αὐτὰς, ο ρεξόν μοι σοφίαν, καὶ δίδαξον παιδείαν καὶ γνῶσιν. –Ὁ δὲ Σύμμαχος ἀντὶ τοῦ χρηστότητα ἐποίησας, εὐηργέτησας τὸν δοῦλόν σου ἐξέδωκε. Δι δασκώμεθα δὲ μὴ ἀναισθήτως διακεῖσθαι πρὸς τὰς θείας εὐεργεσίας. Ου σης περὶ τὸν Θεὸν χρηστότητος καὶ ἀ ποτομίας κατὰ τὸν ἀπόστολον, ἡ μὲν χρηστό της γίνεται ἐπὶ τοὺς ἑστηκότας τῇ πίστει, ἡ δὲ ἀποτομία ἐπὶ τοὺς ἀφεστηκότας αὐτῆς· ἐπεὶ ου ν ὁ α γιος ἐβεβαίωτο ἐν τῇ πίστει, χρηστότητα, ει πεν, ἐποίησας μετὰ τοῦ δού λου σου, ο στις ποτ' α ν η αὐτός. Τὸ δὲ κατὰ λόγιόν σου, ἀντὶ τοῦ σὺν λόγοις καὶ αἰτίᾳ λογικῇ γίνεσθαι μετά τινος τὴν τοῦ Κυρίου χρηστότητα. 118.67 Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα· διὰ τοῦτο τὸ λόγιόν σου ἐ φύλαξα. Καίπερ δὲ εἰδὼς ο τι μὴ μόνον δι' ἁμαρ τίας, ἀλλὰ καὶ διὰ δοκιμασίαν ἐπάγεται ταῦ τα, τῷ προτέρῳ τρόπῳ ὑπέβαλλεν ἑαυτὸν, ἀλ λὰ ἐφύλαξα, φησὶ, τὸ λόγιόν σου, ι ν' ω σπερ πλημμελήσας ἐταπεινώθην, ου τω κατορθώ σας διὰ τῆς τοῦ λογίου σου φυλακῆς, ἀφε θῶ τῆς ταπεινώσεως. –Ἐγὼ, φησὶν, ἐμαυ τῷ τὴν παιδείαν προυξένησα· ἀδικίας ἐλευ θέρα τῆς τιμωρίας ἡ ψῆφος· τῇ ἁμαρτίᾳ ἠ κολούθει ἡ παιδεία, τῇ παιδείᾳ τῶν νόμων ἡ φυλακή. Δέομαι ου ν διδασκαλίας, ι να γνῶ ο τι ἡ γενομένη ταπείνωσις κατὰ χρηστότη τα καὶ παιδείαν ἐγένετο. Η πρὸ τοῦ πα θεῖν τελείως τὴν ἁμαρτίαν, πλημμελοῦμεν ἡμεῖς τῇ συνέσει τῶν λογισμῶν [ἐκ τῆς ἡ μετέρας ῥᾳθυμίας] αὐτὴν καταδεχόμενοι, καὶ τόπον εἰσόδου διδόντες διὰ τούτων τῷ Σατανᾷ. 118.68,69 Χρηστὸς ει σὺ, Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώ ματά σου. Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπε ρηφάνων· ἐγὼ δὲ ἐν ο λῃ καρδίᾳ μου ἐξερευ νήσω τὰς ἐντολάς σου. Ἐπεὶ λέγεται· ι δε ου ν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ, μήποτε οἱ μὲν πεσόντες διδάσκωνται ἐν τῇ ἀποτομίᾳ τοῦ Θεοῦ τὰ δικαιώματα αὐτοῦ, οἱ δὲ μακάριοι μανθάνω σιν αὐτὰ ἐν τῇ χρηστότητι αὐτοῦ; οἱ μὲν ἐκ δικαιωμάτων Θεοῦ κολαζόμενοι, οἱ δὲ κατὰ τῶν ἁρμοζόντων αὐτοῖς τυγχάνοντες. 118.70 Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐ τῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα. Λεπτὴ μὲν ἡ τῶν ἁγίων, πίων δὲ ἡ τῶν ὑπερηφάνων καρδία. 118.71 Ἀγαθόν μοι ο τι ἐταπείνωσάς με, ο πως α ν μάθω τὰ δικαιώματά σου. Εὐαρεστούμενος τοῖς ἐπιπόνοις πειρασμοῖς καὶ περιστάσεσιν, α τινα ε θος ταπείνωσιν ὀ νομάζεσθαι, ταῦτά φησιν, ὡσεὶ ε λεγεν· Εὐ δοκῶ ἐν ἀσθενείαις, ἐν υ βρεσιν, ἐν ἀνάγ καις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ι ν' ἐκ τοῦ ταῦτα ὑπομεμενηκέναι, α ξιος κριθῶ τοῦ μανθάνειν τὰ δικαιώματά σου, οὐδενὸς αὐτὰ εἰδομένου, μὴ πρότερον ταπεινωθέντος καὶ ἐν πολλοῖς θλιβέντος.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

118.72 Ἀγαθόν μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου. Εὐαρεστούμενος ἀντὶ τοῦ, ἀγαθόν μοι ἐσ τιν ὁ νόμος, ο ν ἀπὸ τοῦ στόματός σου ἐλά λησας. Στόμα δέ σου ὁ Χριστός ἐστι· κατα φρονῶ γὰρ χιλιάδων χρυσίου καὶ ἀργυρίου ὑπὲρ τοῦ ἀπολαῦσαι τοῦ νόμου τοῦ στόμα τός σου. Δύναται δέ τις καὶ νόμον στόματος λέγειν τὴν τάξιν τῶν χρηματιζομένων καὶ λεγομένων διὰ στόματος Θεοῦ, τῶν πρώτων τοῖς εἰσαγομένοις λεγομένων, καὶ δευτέρων τοῖς τὰ πρότερα ἀνειληφόσι, καὶ ου τω καθ' ἑξῆς ε ως ου τελειωθῶσιν. 118.73 Αἱ χεῖρές σου ἐποίησάν με καὶ ε πλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου. Πεποίηται μὲν ἡ ψυχὴ, πέπλασται δὲ τὸ σῶμα· Ποιήσωμεν γὰρ, φησὶ, α νθρωπον κατ' εἰκόνα ἡμετέραν. Καὶ πάλιν· Λαβὼν χοῦν ἀπὸ τῆς γῆς ε πλασεν. –῾Η ὑπόθεσις τοῦ· αἱ χεῖρές σου κτλ. τῆς περὶ τὴν ἀνθρω πίνην φύσιν φιλοστοργίας ἀναμιμνήσκει τὸν ποιητήν. Λόγος γὰρ πάντα τεκτηνάμενος αὐτὸς λέγεται διαπλάσαι τῶν ἀνθρώπων τὴν φύσιν, οὐ χερσὶ χρησάμενος, ἀσώματος γάρ· ἀλλὰ τὴν πλείονα περὶ τόδε τὸ ποίημα διά θεσιν ἐνδεξάμενος, ἱκετεύει τοίνυν τὸν δια πλάσαντα χορηγῆσαι τῷ ποιήματι σύνεσιν. Η ἀκόλουθον δὲ ὡς πρὸς δημιουργὸν τὸ αι τημα· οι ον, τοῦ σοῦ φρόντισον ποιήματος, καὶ τελείωσον τῇ νοήσει τὸ ζῶον τὸ νοητι κὸν, καὶ ο πρὸς οἰκείωσιν τὴν σὴν παρεσ κεύασας, τοῦτο διὰ τῆς σῆς γνώσεως τῶν βουλημάτων οἰκείωσαι. Ετεροι τὸ Ἐποίησαν ἐπὶ τῆς ψυχῆς εἰρῆσθαί φασιν, τὸ δὲ Επλασάν με ἐπὶ τοῦ σώματος· α λλοι δὲ τὸ μὲν Ἐποίησαν ἐπὶ τῆς πρώτης δημιουργίας φασὶν [τὸ δὲ Επλασαν, ἐπὶ τῆς τοῦ] λου τροῦ παλιγγενεσίας καὶ ἀναπλάσεως. – Χεὶρ Κυρίου ἡ μετ' αὐτοῦ ἐπὶ Χριστοῦ λέ γεται. Συνέσεως δὲ χρῄζομεν, καὶ εἰς τὸν ἠθικὸν τρόπον, ὡς οὐ πάνυ σαφῆ. –Τὸν γὰρ α νθρωπον οὐ μόνον ἐποίησεν, ὡς τὰ λοι πὰ κτίσματα, ἀλλὰ καὶ ε πλασε, τῇ αὐτουρ γίᾳ τιμήσας αὐτόν. –Χεῖρες δὲ ει εν Θεοῦ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, δι' ω ν πάντα δεδη μιούργηται. Ἀκόλουθον δὲ λίαν καὶ τὸ αἰ τεῖν παρὰ τοῦ ποιήσαντος σύνεσιν, η πρὸς τὴν ποίησιν τῶν ἐντολῶν συνωθεῖ. 118.74 Οἱ φοβούμενοί σε ο ψονταί με, καὶ εὐφρανθήσονται, ο τι εἰς τοὺς λόγους σου ἐ πήλπισα. Τοῖς φοβουμένοις σε, φησὶν, τοῖς εὐσε βοῦσι πρόξενος εὐφροσύνης γενήσομαι, ἐλ πίσας εἰς σὲ, καὶ κατάλληλον εὑρὼν τῇ εἰς σὲ ἐλπίδι τέλος. – Η οἱ τὸν Θεὸν φοβού μενοι, τῷ μηδὲν αὐτοὺς ὑστερεῖν τέλειοί εἰ σιν, ο ντες δὲ τοιοῦτοι, ἀγαθοὶ τυγχάνουσιν κατὰ τὸν ο ν ε χουσι φόβον· διὸ καὶ πάντας βούλονται προκόπτειν, καὶ εὐφραίνονται ἐπὶ τοῖς εὐαρεστοῦσι Θεῷ. –Εὐφραίνονται πρακτικοὶ, ἀκούοντες γνωστικῶν. –Συνᾴ δει τὸ ἐπαγόμενον, ο τι εἰς τοὺς λόγους σου ἐπήλπισαν. ῾Υπόδειγμα γάρ με λαβόντες καὶ ὁρῶντες, καὶ αὐτοὶ τῶν ὁμοίων προσδοκή σουσι τυχεῖν. –Βούλεται ὡς προφήτης τοὺς φοβουμένους τὸν Θεὸν ἐπιστρέψαι πρὸς αὐτὸν, καὶ η κειν, ι να αὐτοῖς μετάδῳ τοῦ χα ρίσματος τοῦ ἐν αὐτῷ. 118.75 Εγνων, Κύριε, ο τι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με. Ζητήσεις δὲ μᾶλλον τοὺς περὶ κρίσεως λόγους, μεμαθηκὼς ο τι Δαυὶδ γεγράφηκε τοῦτο, η ἁπλῶς πεπιστευκὼς ο τι οὐκ ἐνδέ χεται τὸν δίκαιον Θεὸν ἀδικῆσαι. –Ταῦτα διαφερόντως λέγει, τὴν οἰκείαν εὐγνωμοσύ νην δεικνύς. Οι δα δὲ, φησὶν, ἀκριβῶς ὡς ὀρ θῶς μοι καὶ δικαίως καταψηφίσουσιν, καὶ ταῖς παντοδαπαῖς περιέβαλες συμφοραῖς. – Πολλάκις δὲ ἐτήρησα ο τι ἐταπείνωσάς με, ἀντὶ τοῦ πειρασμοῖς περιέβαλές με πολλα χοῦ, καὶ μάλιστα ἐν τοῖς ψαλμοῖς λέγεται· χωρὶς γὰρ τῆς ἐν πολλοῖς ὀδυνηροῖς γυμνα σίας καὶ τῆς παρ' ἐλπίδα γενομένης Θεοῦ βοηθείας, οὐκ ε στι βεβαίως α νθρωπον ἐν ἀ ρετῇ παγῆναι. –Τοῖς αὐτοῖς [δικαίοις] πάν τα τὰ κρίματα Θεοῦ γίνεται, καὶ ο τι δικαιο σύνη ἐστὶ τὰ κρίματα τοῦ Θεοῦ. ῾Ο πιστὸς πιστεύει, ἀλλ' οὐκ ε γνω, εἰ μὴ λάβοι λόγον γνώσεως. Ελεγεν γὰρ ὁ Ἰησοῦς πρὸς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐὰν μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, γνώσεσθε τὴν ἀλή θειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς. Πε πιστευκόσιν ου ν ε δωκε γνώσεσθαι, ὡς τῆς πίστεως οὐ πάντως παρεχούσης γνῶσιν. Τὸ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀληθείᾳ ἐταπείνωσάς με, τουτέστιν κατὰ ἀλήθειαν. 118.76 Γενηθήτω δὲ τὸ ε λεός σου τοῦ πα ρακαλέσαι με, κατὰ τὸ λογιόν σου τῷ δού λῳ σου. ʼΑλλὰ φιλανθρωπίας λοιπὸν, καὶ ψυχα γωγίας καιρός· τοῖς γὰρ μεταμελείᾳ χρω μένοις τὴν σὴν εὐμένειαν ἐπήγγειλας. Η ε λεος τοῦ Πατρὸς ὁ Υἱὸς, ο ς καὶ παρεκάλε σεν ἡμῶν τὰς καρδίας τυραννουμένας ὑπὸ Σατανᾶ. Η ὁ προφήτης, ὡς γενναῖος ἀθλητὴς, οὐκ ἀποστῆναι τὰ λυποῦντα αὐτὸν ευ χεται, ἀλλὰ δοθῆναι αὐτῷ ἐν τῷ καιρῷ τῶν λυπηρῶν λόγον ἰσχυρὸν παρακλήσεως, τὸν δυνάμενον αὐτὸν ἰσχυρίσασθαι μετὰ πάσης εὐθυμίας καὶ ἀταραξίας φέρειν τὸ συμβεβη κός· ἐν τούτῳ γάρ με, φησὶν, ἐλέησον, ι να γένηταί μοι παράκλησις καὶ παραμυθία. 118.77 ʼΕλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ο τι ὁ νόμος σου μελέτη μού ἐσ τιν. ʽΟ εὐαγγελικὸς δηλονότι. – Ωσπερ ὑπέσ χου, φησὶ, τὴν παράκλησιν, ου τω καὶ ποίη σον, τοὺς σοὺς οἰκέτας οἰκτείρων. Μάθωμεν καὶ ἡμεῖς λέγειν, ο τι ὁ νόμος σου μελέτη μού ἐστιν. Σχολάσωμεν ταῖς ἱεραῖς γραφαῖς· ἐπειδὴ δὲ μὴ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν α λλοις πολλοῖς οἱ οἰκτιρμοὶ τοῦ Θεοῦ λέγον ται, ἐπιστατέον μή ποτε ὁ Μονογενὴς καὶ τὸ α γιον Πνεῦμα, οἱ ζωῆς παρεκτικοὶ, οἰκ τιρμοὶ Θεοῦ, καὶ πατὴρ ει ρηται, κατὰ τὴν τοῦ ἀποστόλου θεοσοφίαν, τῶν οἰκτιρμῶν. Πᾶσα ἡ ἀνθρωπίνη φύσις δεῖται τῶν οἰκτιρ μῶν τοῦ Θεοῦ.ʼΕὰν γὰρ ου τοι μὴ ε λθωσιν, ζῆσαι τὴν ἀληθινὴν ζωὴν οὐ δυνάμεθα, τὴν κεκρυμμένην σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. 118.78 Αἰσχυνθήτωσαν ὑπερήφανοι, ο τι ἀδίκως ἠνόμησαν εἰς ἐμὲ, ἐγὼ δὲ ἀδολεσχή σω ἐν ταῖς ἐντολαῖς σου. Ευ χεται μηκέτι αὐτοὺς ἀναισθητεῖν η ς ε χουσι κακίας· ἐπαισχυνομένους δὲ παύ σασθαι. Γεννηθήτω πάντα τὰ ἁμαρτήμα τα αἰσχύνης α ξια. Εως μὲν ου ν [ἡ ψυ χὴ] ἀτελὴς τυγχάνει, πολλὴ φροντὶς, μή πῃ α ρα ἀσθενήσῃ καὶ χειρίων ἑαυτῆς γέ νηται· ο τε δὲ εἰς α κρον φθάσει τελειότη τος, ἐν ε ξει ἀρετῆς καταστᾶσα, ε ξω γενήσε ται παντὸς φόβου, οὐκέτι ἀμφιβάλλουσα μήποτε καὶ καταισχυνθῇ. Αμωμος ου ν ἡ καρδία ἐν τοῖς δικαιώμασι τοῦ ἁγίου ἐστὶν, ἀκριβήσασα τὴν περὶ αὐτῶν ἀλήθειαν. – Οὐκ ἐπαρᾶται τοῖς ἐχθροῖς, ἀλλ' ευ χεται ὑ πὲρ τούτων· ἡ γὰρ αἰσχύνη σωτηρίαν πραγ ματεύεται· η ς τοίνυν ἀπέλαυσεν ἰατρείας, κἀκείνοις τυχεῖν ἀξιοῖ. Η ου τως, εἰ τύχοιμι τῆς παρὰ σοῦ βοηθείας, τότε οἱ πονηροὶ δαί μονες η καὶ α νθρωποι τῆς ἀληθείας ἐχθροὶ, αἰσχυνθήσονται· ἐγὼ δὲ οὐκ ἐπαρθήσομαι, ἀλλ' ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω. 118.81 ʼΕκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τὸν λόγον σου ἐπήλπισα. ʼΕπείπερ ὁ σὸς λόγος ἐκήρυσσέ μοι τὸ σωτήριόν σου, καὶ τίνα ἀπόκειταί μοι ἐν τῷ σωτηρίῳ σου, ἐξέλιπον ἐπιθυμῶν, καὶ ἐξε λυόμην ἀπὸ τῆς ὀρέξεως· ὁ λόγος γενόμενος ἐκείνου τοῦ ἐπιθυμητοῦ, τὸ σωτήριον τοῦ Θεοῦ, ὁ Κύριος ἡμῶν ʼΙησοῦς Χριστὸς, ὁ ἐπώνυμος τῆς σωτηρίας ἡμῶν· αὐτὸς γάρ ἐσ τιν ἡ σωτηρία, ἡ ἀλήθεια, ἡ δικαιοσύνη, καὶ ο σα α λλα παρέστησεν ὁ θεῖος λόγος τὸν Υἱὸν ει ναι τοῦ Θεοῦ. –ʽΕρμηνεύων δὲ τὸ σωτήριον, ἐπήγαγεν ἐπὶ τὸν λόγον σου, τὸν Υἱὸν ει ναι σημαίνων, τὸν Κύριόν φησι. 118.82 ʼΕξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες· Πότε παρακαλέσεις με; ʼΕν ο σῳ γάρ τις μήπω καταλαβὼν ἐπιθυ μεῖ νοῆσαι τὴν γραφὴν, προσδοκίαν ε χει τῆς καθόδου τοῦ Λόγου, καὶ ο σῳ βλέπει αὐτὸν τρανότερον, τοσούτῳ βλέπει αὐτὸν ἐγγίζοντα, μέχρι πρὸς αὐτὸν ἐλθὼν παρα κληθῇ. –ʼΕκλείπουσιν εἰς τὸ λόγιον ζη τοῦντες πότε ἐγγίσει, πότε φανείη, οι ον ει ποτέ τις ὑμῶν ε τεινε τὴν διάνοιαν πρὸς τὸ νοῆσαι τὴν γραφὴν, καὶ οὐδέπω αὐτὴν ἐνό ησεν, οἱονεὶ προσδοκίαν ε χει τῆς καθόδου τοῦ λόγου καὶ τοῦ η κειν τὸν λόγον. ʼΕὰν δὲ τὴν διάνοιαν πόῤῥωθεν [τείνῃ], τὸν λόγον οὐδέπω τρανὸν, οὐδὲ σαφῆ τοῦτον ὁρᾷ, καὶ ο σῳ ἐγγίζοντα τῇ διανοίᾳ τῇ ζητούσῃ τὴν ἀλήθειαν· ου τω καὶ ὁ προφήτης παθὼν τοι αῦτα πρὸς τὸν λόγον τοῦ Θεοῦ, καὶ διδάσ κων ἡμᾶς ἐπιθυμεῖν τοῦ λόγου καὶ ἐρωτι κῶς ε χειν πρὸς αὐτὸν, φησίν· ʼΕξέλιπον κτλ. Οτε γὰρ ἐπιδημήσει Λόγος, τότε παρακα λοῦμαι. 118.83 Οτι ἐγεννήθην ὡς ἀσκὸς ἐν πάχνῃ· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Χρηστέον τῷ ῥητῷ τούτῳ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸς τοὺς ἐγ καταλειφθέντας παρὰ Θεῷ εἰς ὠφέλειαν ψυχῆς· Τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Καὶ ἐν τῷ εὐαγγελίῳ ει ρηται τὸ σῶμα ἀσ κός· Οὐ γὰρ βάλλουσι νέους οι νους εἰς ἀσ κοὺς παλαιοὺς, δηλονότι τὸν παλαιὸν α ν θρωπον, ο ς ἐστι σῶμα. Ὡς ου ν πάντα κα τορθώσας, φησίν· Ἐνέκρωσά μου τὰ μέλη ἐ πὶ τῆς γῆς, θείῳ λόγῳ τὴν θερμότητα ψύξας τοῦ σώματος, ὡς γαστὴρ νενέκρωται ταῖς σωματικαῖς ἡδοναῖς. Τὰ γὰρ δικαιώματά σου ἐν σαρκὶ ζώσῃ καὶ ἐν τῷ κατὰ σάρκα στρατευομένῳ χώραν οὐκ ε χει. –Νεκροὶ μὲν, μᾶλλον οἱ ζῶντες παρὰ τῶν κακῶν γί νονται δίκαιοι, ὡς ἀσκοὶ ἀπόκενοι, μᾶλ λον η ἀνθρώποις ἀποψυχόμενοι, καθάπερ πάχνῃ περιπηγνύμενοι, καὶ τὸ θερμὸν καὶ πρακτικὸν παραιρούμενοι. Ὁ τοῦ Θεοῦ λό γος, πνευματικὸς ω ν, πάχνη ἐκεῖ καὶ δρό σος καὶ ὑετὸς λέγεται, ο ς καταψύχει μὲν τὸν ἀπὸ παθῶν ἀκόλαστον ὀφθαλμὸν, ὡς τὴν νέκρωσιν Ἰησοῦ φέρειν ἐν ἑαυτῷ. 118.84 Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου, πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόν των με κρίσιν; Ὀλίγαι γὰρ αἱ τῶν ἀνθρώπων ἡμέραι ἐπὶ τῆς γῆς, αι ς ευ χεται ταχέως συντριβῆναι τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας αὐτοῦ, ὡς α ν ὑποτάσσοιτο τὴν ψυχὴν, τοῦ θείου λόγου γεγονότος ἐν αὐτῇ· κα ν γὰρ α νθρωπος ἡμᾶς καταδιώκει, ἀλλ' οὐ προηγούμενος, ἀλλ' ὡς παρέσχεν ἑαυτὸν τόπον ἐκείνου. Ποίει ου ν αὐτὸν καταπατῆσαι ὑπὸ τοῦ σοῦ λόγου, γε νομένου ἐν τῇ προαιρέσει μου. 118.85 Διηγήσαντό μοι παράνομοι ἀδο λεσχίας, ἀλλ' οὐχ ὡς νόμον σου, Κύριε. Οἱ τῶν ἑτεροδόξων παρανόμων ο ντων λό γοι, καὶ διηγήσεις αὐτῶν ἀδολεσχίαι εἰσὶν, καὶ οὐδαμῶς συγκρίνονται τῷ θείῳ νόμῳ. –Σπανίως γὰρ ε χω ἀπὸ Θεοῦ πρὸς τὸ τὴν γραφὴν ἐξηγήσασθαι χάριν, α λλων α λ λως ἐξηγουμένων αἱρετικῶν, Ἰουδαίων, Σα μαριτῶν. Καὶ οἱ παρανόμως βιοῦντες, ει τι λέγουσιν, ἀδολεσχία ἐστιν· ἐν ψυχῇ γὰρ πα ρανόμῳ ποῖος λόγος ευ τονος η σωτήριος; 118.86,87 Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι. Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. Διώκεται δικαίως μὲν ὁ παρανόμως βιοὺς, ἀδίκως δὲ ὁ δίκαιος, ὁ φιλαλήθης, ἐχθρὸς ἀνθρώποις γενόμενος, διὰ τὴν ἀλήθειαν. – Οὐ τύπος, οὐδὲ σύμβολον· μικροῦ δεῖ ἐκ τοῦ διωγμοῦ αὐτῶν ἐτελεύτησα, ἀλλ' ο μως κατ' οὐδέν σου παριδὼν τὰς ἐντολὰς ἀπεῖ πον. 118.88 Κατὰ τὸ ε λεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου. Ζωοποίησόν με κατὰ τὸ ε λεός σου, καὶ ποιήσω τὰ μαρτύρια, ο σα ἐκ τοῦ στόματός σου ἐξῆλθον. Στόμα δὲ Θεοῦ οἱ προφῆται, οι τινες διηκονήσαντο τοῖς μαρτυρίοις, ταῖς ἐντολαῖς, τοῖς δικαιώμασιν, τοῖς προστάγ μασι τοῦ Θεοῦ. 118.89 Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ. Ἐν τῷ οὐρανῷ, ἀντὶ τοῦ ἐν ταῖς ἁγίαις αὐτοῦ δυνάμεσιν. Τέτακται γὰρ ἐκεῖνα πάν τα, καὶ οὐδεμία λόγου παράβασις. Οὐρανῷ δὲ λέγω, οὐ μὴ παρερχομένῳ, ἀλλὰ καὶ ὡς ει ρηται θρόνος ει ναι τοῦ Θεοῦ. Εἰ δὲ θέλεις ἀκριβέστερον θεωρῆσαι τὸ εἰρημένον τῷ προφήτῃ, ἐξέταζέ μοι τὰ οὐράνια καὶ τὰ ἐ πίγεια· οὐδεμία παράβασις τῆς ἡλιακῆς κι νήσεως, ἀλλὰ τὸν δρόμον αὐτοῦ ἀπαραβά τως τηρεῖ· ι δε καὶ τῆς σελήνης τοὺς δρό μους καὶ τάξιν καὶ σχήματα, ἀνάβα, μετὰ ταῦτα, καὶ ἐπὶ τοὺς ἀστέρας καὶ τὴν λοιπὴν κτῆσιν, καὶ εὑρήσεις α παντα τῷ λόγῳ τοῦ διακοσμήσαντος ἰθυνόμενα. Καὶ μετ' ὀλίγα. Εἰ δὲ περὶ ἁγίων δυνά μεων φῂς, ἀγγέλων φημὶ καὶ ἀρχαγγέλων, καλῶς φῄς· ἀκίνητοι γὰρ, μᾶλλον δὲ δυσκί νητοί εἰσιν πρὸς τὸ κακόν· τοῦτο γὰρ πεί θει με λέγειν ὁ πεσὼν ἑωσφόρος δι' ε παρσιν, ἐπεὶ οὐκ ε χει τὸν λόγον τοῦ Θεοῦ. Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; Καλῶς δὲ οὐκ εἰς τὸν αἰῶνα τῶν αἰώνων η εἰς τὸν αἰῶ να τοῦ αἰῶνος, ἀλλὰ εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ· μετὰ γὰρ τὸν αἰῶνα ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύ σονται. Ἐν οι ς δέ ἐστιν ὁ λόγος διαμένων (δυνατὸν γὰρ τέλειον ει ναι, δοκοῦντα μὲν ἐπὶ γῆς τυγχάνειν, τὸ δὲ πολίτευμα ε χοντα ἐν τῷ οὐρανῷ), ου τως ἐστὶν ἐν αὐτοῖς καὶ ὡς ἐν οὐρανῷ ἡ ἀλήθεια. 118.90 Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου· ἐθεμελίωσας τὴν γῆν, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαμένει. Δύο εἰσὶ γενεαὶ αἱ χωρήσασαι τὴν τοῦ Θεοῦ ἀλήθειαν, ο τε τῶν ᾿Ιουδαίων λαὸς, ὁ εχων τὸν νόμον καὶ προφήτας, καὶ ἐκκλησία ἐξ ἐθνῶν· καὶ κατὰ τὴν τοῦ Χριστοῦ ἐκ κλησίαν οὐκ εἰς γενεὰς καὶ γενεὰς ἡ ἀλή θεια τοῦ Θεοῦ, ἀλλ' εἰς γενεὰν τὴν προτέραν καὶ γενεὰν τὴν δευτέραν· τὰ δὲ α λλα ε θνη πεπλάνηνται, ο τε δὲ καὶ ἡ προτέρα γενεὰ ἐ ξέβαλε τὴν ἀλήθειαν, καὶ ει πεν· Αι ρε, αι ρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον, μεταβέβηκεν ἡ ἀλήθεια ἀπ' ἐκείνης τῆς γενεᾶς ἐπὶ ταύτην τὴν γενεάν. –῾Ο ἐν προκοπῇ γενόμενος καὶ ὑψηλοτέρων α πτεται δογμάτων, ω στε ἀϊδίου Λόγου τοῦ Πατρὸς μνημονεύειν, καὶ τό· ᾿Εν ἀρχῇ η ν ὁ Λόγος, μονονουχὶ λέγων, καὶ τῆς διακοσμήσεως τοῦ παντὸς σαφῶς δούλην αὐτοῦ κτίσιν α πασαν ἀποκαλεῖ. –᾿Εν ταῖς ἐπουρανίοις δυνάμεσιν ὁ τοῦ Θεοῦ λόγος ἀεὶ διαμένει ἀκίνητος· δυνατοὶ γὰρ εἰς ἰσχὺν, ποιοῦντες τὸν λόγον αὐτοῦ. 118.91 Τῇ διατάξει σου διαμένει ἡ ἡμέρα, ο τι τὸ σύμπαντα δοῦλα σά. Εἰ τὰ σύμπαντα δοῦλα τοῦ Θεοῦ, πῶς ἐν ταῖς Παροιμίαις Σολομὼν περὶ τοῦ μύρμη κός φησιν· ᾿Εκεῖνος, γεωργίου μὴ ὑπάρχον τος, μηδὲ τὸν ἀναγκάζοντα ε χων, μηδὲ ὑπὸ δεσπότην ω ν, ἑτοιμάζεται θέρους τὴν τρο φήν; Καὶ τάχα τοιοῦτόν ἐστι τὸ ἐν ταῖς Παροιμίαις λεγόμενον, ο τι ἐκεῖνος νόμον μὴ ε χων τὸν καταναγκάζοντα, μήτε γνώ σεως μέτοχος ω ν, ἑτοιμάζεται θέρους τὴν τροφήν. ῾Ο Θεὸς γὰρ δεσπότης λέγεται δίττως· η ὡς δημιουργὸς, η ὡς γινωσκόμε νος· διὸ καὶ Παῦλος γράφει· Νυνὶ ἐλευθε ρωθέντες μὲν ἀπὸ τῆς ἁμαρτίας, δουλωθέν τες δὲ τῷ Θεῷ, δηλονότι κατ' ἀρετὴν καὶ γνῶσιν, ε χετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασ μὸν, τὸ δὲ τέλος ζωὴν αἰώνιον. Εἰ δὲ τοῦ τοιούτου τέλους α μοιρός ἐστιν ὁ μύρμηξ, δη λονότι καὶ ταύτης τῆς δουλείας. Καλῶς ου ν λέγεται μὴ ει ναι ὑπὸ δεσπότην κατὰ ταύτην τὴν δεσποτείαν. 118.92 Εἰ μὴ ο τι ὁ νόμος σου μελέτη μου, τότε α ν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου. Τὸν καιρὸν τῶν πειρασμῶν καιρὸν ὠνό μαζε ταπεινώσεως, καθ' ο ν μάλιστα θλίβε ται ἡ ψυχὴ, ἀφ' ου οὐδὲν ε τερον ῥύεται ὡς ἡ θεωρία τῶν λόγων τοῦ Θεοῦ. Εχων γὰρ ὁ νόμος πνευματικὰ θεωρήματα πρὸς ἑαυτὸν, περισπᾷ τὴν διάνοιαν, καὶ ἀπωθεῖται τοὺς λογισμούς. Μακάριον γὰρ ο ντως τὸ μὴ ἀ πολύεσθαι ἐν περιστάσεσι γεγονότας, οι ον ἐπὶ μαρτυρίου· εἰ μή τις προμελετήσει τοῦ Θεοῦ τὸν νόμον, ἀπόλλυται. 118.95 ᾿Εμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀ πολέσαι με· τὰ μαρτύριά σου συνῆκα. Νοῦς παθῶν γυμνωθεὶς καὶ γνώσεως μέ τοχος γεγονὼς πανουργότερος γίνεται τῶν δαιμόνων, λέγων πολλάκις τὸ τοῦ Παύλου· Ινα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ, οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. 118.96 Πάσης συντελείας ει δον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα. ῾Ο πλατυνθεὶς καὶ μηκέτι διὰ τὴν κακίαν στενοχωρούμενος, πλατεῖαν ὡμολόγησε πᾶ σαν ει ναι τὴν ἐντολὴν τοῦ Θεοῦ. 118.97 ῾Ως ἠγάπησα τὸν νόμον σου, Κύ ριε, ο λην τὴν ἡμέραν μελέτη μού ἐστι. ῾Ο ἀγαπῶν τὰς ἐντολὰς ποιείτω αὐτὰς, καὶ ζήσεται ἐν αὐταῖς, η διὰ αὐτῶν. Καρ διαγνῶστα πάντων, ει δες ο τι ἡδέως ε χω πληρῶσαι τὰς ἐντολάς σου, Κύριε· ἐλεῶν μοι καὶ βοηθῶν μοι, ζῆσόν με διὰ τῆς χάριτός σου, τουτέστιν διὰ τὰς ἐπιφανείας τοῦ Υἱοῦ σου. –῾Ο τοιοῦτος ἐν ἡμέρᾳ διὰ παντὸς μελετᾷ. Οὐκ ει πε δέ· ἐποίησα τὸν νόμον σου, ἀλλ' ἠγάπησα. Τελειότερος γὰρ ὁ ἐξ ἀγάπης, ἀλλ' οὐκ ἀνάγκης ποιῶν. Τοιοῦτον δὲ ἀγαπήσατε νόμον δικαιοσύνης, οἱ κρίνον τες τὴν γῆν. Καὶ μετ' ὀλίγα. Δυνάμεθα νοεῖν τό· Ολην τὴν ἡμέραν μελέτη μού ἐστιν, ἐν ο λῳ τῆς ζωῆς μου χρόνῳ, πολλαχοῦ γὰρ ὁ πᾶς χρό νος τῆς ζωῆς τῶν ἀνθρώπων ἡμέρα καλεῖ ται, ὡς ἐν τῷ· Καὶ σὲ ὑπέμεινα ο λην τὴν ἡ μέραν, καὶ τό· Ενεκά σου θανατούμεθα ο λην τὴν ἡμέραν. 118.98,99 ῾Υπὲρ τοὺς ἐχθρούς μου ἐσόφι σάς με τὴν ἐντολήν σου, ο τι εἰς τὸν αἰῶνα ἐμή ἐστιν.῾Υπὲρ πάντας τοὺς διδασκάλους συνῆκα, ο τι τὰ μαρτύριά σου μελέτη μού ἐστιν. Εἰπὼν ὑπὲρ τοὺς ἐχθρούς μου, ἐχθροὶ δὲ ἡμῶν ἐκεῖνοι, οἱ ε χοντες ζῆλον Θεοῦ, ἀλλ' οὐ κατὰ ἐπίγνωσιν· ἐκείνων δὲ η σαν καὶ αἱ γραφαὶ, καὶ πρῶτοι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ, καὶ ἐκεῖνοι οἱ διδάσκαλοι ἐπαγ γέλλονται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γεγονέναι, α τε πρῶτοι παραλα βόντες νόμον καὶ προφήτας· ἡμεῖς νῦν οἱ ἀπὸ τῶν ἐθνῶν λέγομεν· Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα. Διὰ τί δέ; ο τι τὰ μαρτύριά σου μελέτη μού ἐστιν. –Ὁ πάντα κατὰ νόμον καὶ λέγων καὶ πράττων, μελετᾷ τὸν νόμον τοῦ Θεοῦ. 118.100 Ὑπὲρ πρεσβυτέρους συνῆκα, ο τι τὰς ἐντολάς σου ἐξεζήτησα. Ὁ Ἡσαὺ πρεσβύτερος η ν τοῦ Ἰακὼβ, ἡ εὐλογία ἀπέκειτο τῷ Ἡσαὺ, καὶ ἡ εὐλογία τοῦ εὐλογοῦντος ει ρηται πρὸς τὸν Ἡσαὺ, ε ως ἐκεῖνος ἐξῆλθεν. Ἐνεδυσάμην τοῦ Ἡσαὺ τὰ ἱμάτια· ἐξῆλθεν γὰρ ἐκεῖνος ἐπὶ τὰ θηρία, καταλιπὼν τὰς ἡμέρους διατριβάς· κἀγὼ, ἐκείνου ἐξελθόντος, ἐνδυσάμενος τοῦ Ἡσαὺ τὴν στολὴν τὴν καλὴν, εἰσέρχομαι καὶ λαμ βάνω τὴν εὐλογίαν. Ἡ στολὴ αὐτοῦ καλὴ, ὁ νόμος καὶ οἱ προφῆται, καλῶς ὑφανθέντα· προσέρχομαι τῷ Πατρὶ, προσφέρω ἐγὼ αὐ τῷ τροφὰς, τρέφεται ταῖς ἡμέροις μου τρο φαῖς, οὐ ταῖς ἀγρίων ἐκείνων (ταχινοὶ γάρ εἰσιν ἐκχέαι αι μα). Προσφέρω ἐγὼ η μερον τροφὴν, ἐρίφους ἁπαλοὺς καὶ καλοὺς κατὰ τὰς ὑποθήκας τῆς μητρός μου· ἡ δὲ α νω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, η τις ἐστὶν μή τηρ ἡμῶν. Προσφέρω τῷ Πατρὶ, λαμβάνω τὰς εὐλογίας ὑπὲρ τοῦ πρεσβυτέρου, ἐγὼ βέ βηκα, ἐγὼ συνῆκα. 118.101 Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ο πως α ν φυλάξω τοὺς λό γους σου. Ἐκζητῶμεν ου ν πρῶτον τὰς ἐντολὰς, ι να καὶ ἡμεῖς ὑπὲρ τοὺς ἀληθῶς πρεσβυτέρους συνῶμεν. –Ἐκ πάσης ὁδοῦ κτλ. Ου τε γὰρ δύο δυνατὸν κατὰ ταὐτὸν ὁδεύειν ὁδοὺς, ἀ κολασίας καὶ σωφροσύνης, δικαιοσύνης καὶ ἀδικίας· ἀλλὰ δεῖ τὰς ἐναντίας φυγεῖν, καὶ τὴν εὐθεῖαν ὁδεῦσαι· ου τω γὰρ οι όν τε τῶν θείων γενέσθαι φύλακας λογίων. Ὁδοὶ πο νηραὶ, ο σαι πάντως πρὸς πονηρίαν α γουσιν, ὡς ἡ μέθη καὶ ἀσωτία ἐπὶ πορνείαν χειρα γωγοῦσιν, [ὁμοίως] καὶ θυμός ποτε μὲν πρὸς φόνον, ποτὲ δὲ πρὸς βλασφημίαν ἐξάγει, καὶ ἐπὶ τῶν ὁμοίων· φυλάξαι ου ν τὸν θεῖον νό μον ἐστὶ τὸ ε ργοις αὐτὸν ἀποπληρῶσαι. 118.102 Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέ κλινα, ο τι σὺ ἐνομοθέτησάς με. Τοῦ σοῦ διὰ παντὸς ἐμεμνήμην δικαστη ρίου· ἐν τῷ θ΄ δὲ λέγει ψαλμῷ· Κατάστησον νομοθέτην ἐπ' αὐτούς· γνώτωσαν ε θνη ο τι α νθρωποί εἰσιν. Κατάστησον νομοθέτην τοῖς ε θνεσιν. Ὁ Μωσῆς μὲν γὰρ ἐνομοθέτησε τὰ τοῦ γράμματος τοῖς μηδέπω δυναμένοις χω ρεῖν τὴν ἐπιδημίαν τῆς καινῆς διαθήκης. Ἰησοῦς δὲ Χριστὸς ἐπιδημήσας ἐνομοθέτη σέ μοι τὸ εὐαγγέλιον καὶ πνευματικόν μοι τὸν τοῦ Μωσέως ε δειξε νόμον, τῶν ἀπὸ τοῦ λαοῦ οὐχ ἑωρακότων τοιοῦτον. 118.103 Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λό γιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. Διαγράφει τὴν τοῦ ἁγίου διάθεσιν γλυκύ τητος ἀντιλαμβανομένου ἐν τῷ προσιέναι τῷ λόγῳ τοῦ Θεοῦ καὶ εὐφραινομένου ἐπ' αὐ τῷ· ω σπερ γὰρ τὸ ὑγιαῖνον αἰσθητήριον ἀντι λαμβάνεται τῆς τοῦ μέλιτος γλυκύτητος, ὁ δὲ νοσῶν καὶ πυρέττων πικράζεται μᾶλλον ὑπ' αὐτοῦ· τὸν αὐτὸν τρόπον, ἐὰν ὑγιαίνῃ σου τὸ θεῖον τῆς γεύσεως αἰσθητήριον, γλυκά ζεται τῷ λόγῳ τοῦ Θεοῦ, ἐὰν δὲ νοσῇ, οὐκ ἀποδέχεται αὐτὸν, οὐδὲ γλυκάζει. Διὰ τοῦτο ει ρηται· Εἰς ω τα α φρονος μηδὲν λέγε, μή ποτε μυκτηρίσῃ τοὺς συνετούς σου λόγους. Καὶ μετ' ὀλίγα. Γλυκέα διὰ τὴν ἐπ' αὐ τοῖς λογικὴν τέρψιν, ἀλλ' ὑπὲρ μέλι τῶν παρ' ἀνθρώποις πάντων ἡδέων δι' αὐτοῦ δη λουμένων. –Ὁ ἡδόμενος καὶ τρεφόμενος ἐπὶ τῇ γνώσει νοῦ, ὀνομάζεται στόμα. 118.104 Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.

Οὐκ ει πε· παρανόμους ἐμίσησα, ου τε γὰρ πατραλοίαν Ἀβεσσαλὼμ, ου τε τὸν Σαοὺλ, ἀλλ' ὡς α γιος αὐχεῖ ο τι μισεῖ τὰ μίσους α ξια, τοὺς λόγους τοὺς παρανόμους, τὰ δόγ ματα τὰ παράνομα, τὰς τοιαύτας διδασκα λίας, τὴν διάθεσιν καθ' η ν ἁμαρτάνουσιν, ο τι γὰρ καύχημά ἐστιν ο λέγει. Ορα πῶς ἐν τῇ πρὸς Θεὸν εὐχῇ παῤῥησιάζεται, καί φησι· Παρανόμους ἐμίσησα ὡς τἀναντία τῶν ἠγα πημένων ὑπ' ἐμοῦ νόμων πράττοντας. 118.105 Λύχνος τοῖς ποσί μου ὁ νόμος σου [αλ. ὁ λόγος σου] καὶ φῶς ταῖς τρίβοις μου. Ει τις ε χει τὸν λόγον τοῦ Θεοῦ, καὶ χρῆ ται


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ λόγῳ ἐν πάσῃ πράξει, ὡς ε στιν εἰ πεῖν, καθ' ε καστον βῆμα ἐπαίρων πρὸς τὸν περιπατεῖν τὸν πόδα, ου τος οὐ δύναται προσ κόψαι· ε χει γὰρ τὸν λύχνον, καὶ χρῆται αὐ τῷ. Εἰ δὲ παρεδέξατο μὲν τὸν λύχνον, καὶ πιστεύειν αὐτῷ δοκεῖ, οὐ παραλαμβάνει δὲ αὐτὸν ἐν πάσῃ πράξει, καὶ ἐν παντὶ διαβή ματι αὐτοῦ, οὐ σκοπεῖ μετὰ τοῦ λόγου ποῦ θῇ τὸν πόδα (τὸν πόδα λέγω τῆς ψυχῆς), ου τος δὴ ἁμαρτάνει διπλῆν ἁμαρτίαν, ο τι ε χει τὸν λόγον, καὶ οὐ χρῆται αὐτῷ παντα χοῦ, οἱονεὶ τοιοῦτος γεγένηται· ἐλθόντος γὰρ τοῦ λόγου ἀπὸ τῶν οὐρανῶν, ε καστος τῶν πιστευόντων, μὴ μειουμένου ἐκείνου, ἀνῆ ψεν ἀπ' ἐκείνου ἐν ἑαυτῷ τὸν λύχνον καὶ τὸ φῶς, καὶ ου τως ἀφ' ἑνὸς φωτὸς πολλοὶ γε γόνασι λύχνοι, καὶ ε καστος τῶν ἐχόντων τὸν ἁφθέντα λύχνον Λόγῳ Θεοῦ λέγει· Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ κτλ. ᾿Εν παντὶ ου ν καιρῷ α παξ παραλαβόντες τὸν λόγον τοῦ Θεοῦ, μέλλον τες κινεῖν τὰ βήματα, ει τε ἐν λόγῳ, ει τε ἐν διαλογισμῷ, χρησώμεθα τῷ λύχνῳ ε μπροσ θεν ἡμῶν· οὐδεὶς γὰρ λύχνον α ψας, καλύπ τει αὐτὸν σκεύει. Καὶ μετ' ὀλίγα. Λύχνος ἐστὶν ὁ Λόγος τοῦ Θεοῦ ο ν παρεδέξατό τις, δι' ου πεπίσ τευκε τῷ Θεῷ, ου τος ου ν ε στω καιόμενος, καὶ μηδέποτε σβεννύσθω. Φῶς δικαίοις δια παντὸς [καίεται], φῶς δὲ ἀσεβῶν σβέννυται. Καὶ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου λύχνος α πτεται, ι να οἱ λατρεύοντες τῷ Θεῷ βλέπωσι τὸν λύχνον, καὶ τὰς λατρείας ἐπιτελῶσι φω τιζόμενοι ὑπ' αὐτοῦ· ου τως ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, η τοι τῇ ἐκκλησίᾳ, λύχνος α πτε ται. ῾Ο λύχνος τοῦ σώματός ἐστιν ὀφθαλ μός· ου τος ὁ ὀφθαλμὸς μὴ λεγέτω τῇ χειρί· Τί πράξεις; καὶ ἡ χεὶρ μὴ λεγέτω τῷ ὀφθαλ μῷ· Χρείαν σου οὐκ ε χω, ἐπεὶ οὐ βλέπει ἡ χεὶρ ο πολιτεύεται. 118.107 ᾿Εταπεινώθην ε ως σφόδρα, Κύ ριε, ζῆσόν με κατὰ τὸν λόγον σου. Τὰ α λογα ζῶα ζῇ, ἀλλ' ὡς α λογα· τὰ ζῶα δὲ λογικὰ λογικῶς, ο σον ἐπὶ τῇ φύσει κα τασκευασθέντα λογικά· ἀλλὰ πλειόνων ο ν των τῶν λογικῶν ζώων (εἰς ἀγγέλους γὰρ διῄρηνται καὶ ἀνθρώπους), οἱ μὲν α γγελοι τὴν νοερὰν ἀεὶ ζῶσι καὶ μακαρίαν ζωήν· α νθρωπος δὲ σπάνιός ἐστιν ὁ ζῶν νοερῶς· καὶ προφήτης διὰ τοῦτο γενόμενος, διὸ καὶ ὁ Δαυίδ, ὡς μηδέπω κατορθώσας αὐτό, φησιν· Ζῆσόν με κατὰ τὸν λόγον σου. ᾿Εν ἀνθρώποις δὲ μάλιστα λέγω· οὐ ζῇ κατὰ τὸν λόγον τοῦ Θεοῦ, ου τω σπάνιός ἐστιν ὁ προφήτης. 118.108 Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή, Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με. Τὰ ἑκούσια τοῦ στόματος ἡμῶν ἐστιν παρ θενία, βρωμάτων καὶ πομάτων ἀποχὴ, ἀ ναχώρησις (ἡ ἐν ταῖς ἐρήμοις διαγωγή)· τὰς γὰρ ἐντολὰς ὁ νόμος ἡμᾶς καταναγκάζει ποιεῖν· ὁ τοίνυν πάσας ποιήσας ἐντολὰς, προστεθεικὼς δὲ καὶ τὰ προειρημένα, ου τος λέγει· Τὰ ἑκούσια τοῦ στόματός μου εὐδό κησον δή, Κύριε· παραβαίνων δὲ τοῦ νόμου τινὰ, τοῦτο λέγειν οὐχ ε ξει παῤῥησίαν. – Τοῦτο α γιόν ἐστιν εἰπεῖν διαθέσει, καὶ χεί λεσιν καὶ ἐν παντὶ καιρῷ περιστατικῷ πει ρασμοῦ σαυτῷ ἐπιφέροντι καὶ ἐπὶ πᾶσιν οι ς κρίνει περὶ ἡμῶν ὁ Θεός. 118.112 Εκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀνάμειψιν. Εκλινα ἐπὶ τὸν νόμον καὶ τὰ δικαιώμα τά σου, ἐπὶ τὰ προστάγματά σου, ἐπεὶ ει δον ἀποκειμένην μοι ἀμοιβήν· ἡ δὲ ἀμοιβὴ βα σιλεία Θεοῦ, α ὀφθαλμὸς οὐκ ει δε, καὶ ου ς οὐκ η κουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, α ἑτοίμασεν ὁ Θεὸς ἀγαπῶσιν αὐ τόν. 118.113 Παρανόμους ἐμίσησα, τὸν δὲ νό μον σου ἠγάπησα. ῾Ο παράνομος ου ν, καθὸ παράνομος ὑπάρ χει, μισητός ἐστιν, καθὸ δὲ εἰκὼν καὶ πλάσ μα Θεοῦ, ἀγαπητός. 118.114 Βοηθός μου καὶ ἀντιλήπτωρ μου ει σὺ, εἰς τοὺς λόγους σου ἐπήλπισα. Εὐχαριστεῖ τῷ βοηθήσαντι ἐν τῷ πολέ μῳ, τῷ πρὸς τὸν διάβολον καὶ τοὺς δαίμο νας. Τί τότε τοίνυν ἐποίεις; ἐπήλπισα εἰς τοὺς λόγους σου· ὡς δὴ τῇ τοιαύτῃ προκόπ των ἐλπίδι, οὐκ ει πεν η λπισα, ἀλλ' ἐπήλπι σα. –Δεόμεθα Θεοῦ βοηθοῦντος ἐν τῷ πρὸς τὸν διάβολον καὶ τοὺς δαίμονας πολέ μῳ, καὶ ὁ προφήτης ἐβοηθήθη. ᾿Αντελάβετο γὰρ αὐτοῦ ὁ Θεὸς, καὶ διὰ τοῦτο εὐχαριστῶν ταῦτά φησιν. Ει τα τί πεποίηκε βοηθούμενος ὑπὸ τοῦ Θεοῦ; εἰς τὸν λόγον σου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπήλπισα, καὶ ζῆσόν με. Διὰ τί οὐκ ει πεν· Εἰς τοὺς λόγους η λπισα, ἀλλὰ ἐπήλπισα; οἱ ἐλπίζον τες οὐχ ὡς α ρχονται τοῦ ἐλπίζειν, ου τω μέ νουσιν, ἀλλ' εἰ προκόπτοιεν κατὰ Θεὸν, ἐ παυξάνουσιν τὸ ἐλπίζειν, καὶ ο σῳ γε αυ ξει ἡ ἀγάπη, τοσοῦτον αυ ξει ἡ ἐλπὶς, καὶ μά λιστα ο ταν βοηθηθῶμεν ὑπὸ τοῦ Θεοῦ, τότε προστίθεμεν τῇ πρὸς τὸν πόθον τοῦ Θεοῦ ἐλπίδι. 118.115 ᾿Εκκλίνατε ἀπ' ἐμοῦ, πονηρευό μενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου. ῾Ως ει ρηται ἐρευνᾶν τὰς γραφὰς (δέονται γὰρ ἐρεύνης, ι να καὶ νοηθῶσιν), ου τω καὶ τό· ᾿Εξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ· οὐ γὰρ ὡς οι ονταί τινες, σαφεῖς καὶ τοῖς τυχοῦ σι ληπταί. 118.118,119 ᾿Εξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ο τι α δικον τὸ εὐθύμημα αὐτῶν. Παραβαί νοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτω λοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρ τύριά σου. Οὐ ταὐτόν ἐστι τὸ ἁμαρτάνειν καὶ ἀποσ τατεῖν· ὁ γὰρ ἀποστατήσας ἀπέστη τέλειον τῆς θεοσεβείας. Καὶ μετ' ὀλίγα. ᾿Αναγκαίως προσέθηκεν τὸ πάντας· εἰκότως καὶ δίκαιοί ποτε η σαν, υ στερον δὲ ἀπέστησαν. Καὶ πάλιν. Τί τὸ αι τιον, ο τι ἐξουδένωσας αὐτούς; ο τι α δικον τὸ ἐνθύμημα αὐτῶν. Πε ρὶ αὐτῶν φησιν ὁ προφήτης· Οὐαὶ, τέκνα ἀποστάται! Καὶ ἐν α λλοις· Οὐαὶ αὐτοῖς ο τι ἀπεπήδησαν ἀπ' ἐμοῦ. Τοὺς ου ν τοιούτους οὐ παιδεύει, οὐ μαστίζει κατὰ τοὺς ἀγαπη μένους υἱοὺς παρ' αὐτοῦ, ἀλλὰ ἐξουθενεῖ, φάσκων πρὸς ε καστον· Παιδεύσει σε ἡ ἀ ποστασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε. ῾Ημεῖς μὲν παραβαίνοντας λέγομεν τοὺς δεδιδαγμένους τὸν λόγον, καὶ μετὰ τὸ δεδι δάχθαι μὴ τετηρηκότας, ἀλλ' ἀποστάντας καὶ παραβεβηκότας. Ου τος δὲ ὁρᾷ ο τι πάν τες ε χουσιν ἀφορμὰς πρὸς καλοκαγαθίαν, εἰ καὶ μὴ ἐδιδάχθησαν· ω στε μὴ μόνους πα ραβάτας λέγεσθαι τοὺς μετὰ τὴν πίστιν ἀ ποστάντας, ω σπερ ἐλέγομεν, ἀλλὰ καὶ τοὺς ὁπωσοῦν ἁμαρτάνοντας, ὡς ἀφορμὰς πρὸς καλοκαγαθίαν ε χοντας, εἰ δὲ μὴ ἐδιδάχθη σαν.῾Αμαρτωλοὶ δὲ τῆς γῆς οἱ ἐπὶ γῆς ἡ μαρτηκότες α νθρωποι. Αλλοι γάρ εἰσιν ἁμαρτωλοὶ οὐρανοῦ, οἱ πρὸς ου ς ἡμῖν ἐστιν ἡ πάλη, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.᾿Εκεῖ γὰρ πρῶτον ἁ μαρτόντες, υ στερον καὶ ἐπὶ γῆς τοῦτο ποιοῦ σιν. Διό φησιν· ᾿Ηγάπησα τὰ μαρτύριά σου, τὰ μετὰ μαρτύρων μοι παραδεδομένα. – Τοῦτο γὰρ περιμένει τὸ τέλος τοὺς τὸν νό μον τοῦ Θεοῦ ἀθετοῦντας, τὸ βουλεύσασθαι πατῆσαι τὸν Θεοῦ νόμον. –᾿Επεὶ ου ν τού τους παραβαίνοντας ἐλογισάμην, διὸ, φησὶν, ἠγάπησα τὰ μαρτύριά σου, τὰ μετὰ μαρτύ ρων μοι παραδεδομένα. Καὶ μετ' ὀλίγα· ῾Ο ᾿Ακύλας ἀντὶ τοῦ παραβαίνοντας ἐλογισάμην, στέμφυλα διελογί σω· ὁ δὲ Σύμμαχος, σκωρίαν ἐξέδωκεν. 118.120 Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου. Δι' ου ·᾿Εμοὶ ὁ κόσμος ἐσταυρώθη, κἀγὼ τῷ κόσμῳ. 118.121 ᾿Εποίησα κρίμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με. ᾿Επειδὴ μετὰ τὸ ἡμαρτηκέναι μεταβαλὼν ἐποίησα κρίμα, καὶ κλίνας τὸ α δικον, δρά σας τὴν δικαιοσύνην, ἀξιῶ βοηθηθῆναι, καὶ μὴ κατὰ πεπραγμένα ἁμαρτήματα παραδο θῆναι τοῖς ἀδικοῦσί με εἰς τιμωρίαν, ὡς μὴ ἐπιστρέψαντα πρὸς σέ. Τί δὲ τὸ παραδοθῆναι τούτοις, ἐξεταστέον. Πᾶν ἁμάρτημα ο ταν ποιῶμεν, τόπον δεδωκότες τῷ διαβόλῳ ποι οῦμεν, ἐφεδρεύοντι καὶ ἐπιτηροῦντί ποτε εἰσελθεῖν ἡμῶν εἰς τὸ ἡγεμονικὸν, ι να βα λὼν ἑαυτοῦ τὰ βέλη, μετὰ ταῦτα καὶ αὐτὸς ἐνοικήσῃ καὶ ἐνεργήσῃ εἰς ἡμᾶς. Οὐκοῦν ο τε ἁμαρτάνομεν, ἐνεργούμενοι ὑπὸ τοῦ δια βόλου ἁμαρτάνομεν, καὶ ἀδικούμεθα ὑπ' αὐ τοῦ.᾿Αδικεῖ γὰρ ἡμᾶς προτρέπων ἐπὶ τὴν ἁμαρτίαν, ει τα πρὸς τὰ δίκαια κρίματα τοῦ Θεοῦ· ο ρα τί ποιεῖ· ἐπειδὴ ἀντὶ τοῦ Θεῷ ἀ νοῖξαι τὴν θύραν τῆς ψυχῆς καὶ τὸν Χρισ τὸν παραδέξασθαι, τὴν ἁμαρτίαν προσηκά μεθα, παραδιδόμεθα ἐκείνῳ ο ν παρεδεξάμε θα ἐπὶ τῷ κολασθῆναι ὑπ' αὐτοῦ. Ου τω πα ρεδόθη ὁ ἐν Κορίνθῳ πεπορνευκὼς, περὶ ου φησιν ὁ ἀπόστολος. ᾿Αλλὰ καὶ Φύγαλον καὶ ῾Ηρμογένην παρέδωκε τῷ Σατανᾷ, ι να παι δευθῶσιν μὴ βλασφημεῖν.῾Αμαρτήσαντες δὲ τοῖς ε θνεσι παραδόθησαν υἱοὶ ᾿Ισραήλ. – ᾿Εποίησα κρίμα, τοῦτο τοῦ Δαυίδ. Οτι, φησὶν, ὡς βασιλεὺς τὸ δίκαιον μὴ ἐξέκλινα, διὸ μὴ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραδῷς με τοῖς δαίμοσιν· ἐκεῖνοι ἀδι κοῦντες οὐ παύονται. –Τίς ὁ ποιήσας κρίμα καὶ δικαιοσύνην ἀδόκητον; τίς ὁ μὴ παντελῶς ἐπαφιεὶς τὴν ῥάβδον τῶν ἁμαρτω λῶν; Αρα θαῤῥῆσαι χρὴ τῷ κλήρῳ τῶν δι καίων εἰπεῖν, η ο τούτου μετριώτερον, τῷ κλήρῳ τῶν αὐτὸν γινωσκόντων. 118.122 Ενδεξαι τὸν δοῦλόν σου εἰς ἀγα θὸν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι. Τοῖς σοῖς, φησὶν, ἀκολουθεῖν προελόμενος νόμοις, μὴ γένωμαι τοῖς δυσμενέσιν εὐάλω τος. Τίς δὲ νῦν ε χει τοσαύτην ψυχῆς καθα ρότητα, ω στε σὺν παῤῥησίᾳ τοιούτοις χρή σασθαι λόγοις; τούτοις μέντοι καὶ ὁ θεῖος ἀπόστολος προσόμοια ει ρηκεν· Ἡ γὰρ καύ χησις ἡμῶν, αυ τη ἐστὶν, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν. Ὁ Σύμμαχος· Ἀνάδειξαί με τὸν δοῦλόν σου εἰς ἀγαθόν· ὁ δὲ Ἀ κύλας καὶ Θεοδωτίων· Ἐγγυῆσαι, ἀντὶ τοῦ· ἀληθεύω, οὐ ψεύδομαι, πίστευσον ὑποσχο μένῳ τῷ δούλῳ σου· αὐτὸς ἐγγυητὴς ἐγένου τῆς ἐμῆς ὑποσχήσεως, ο τι σου πληρῶσαι σπουδάζω τοὺς νόμους. 118.124 Ποίησον μετὰ τοῦ δούλου κατὰ τὸ ε λεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με. Οὐ γὰρ ὡς δίκαιοι παρεδόθημεν· τοῦτο γὰρ ὀλίγοι καὶ ὀλιγάκις, ι ν' ὡς ἀθληταὶ γεν ναῖοι, τὸν πειραστὴν καταισχύνωσιν, ἀλλ' ὡς ἁμαρτάνοντες κατεκρίθημεν, ει τα ἐλεήθη μεν, κηδεμονικῶς τε καὶ πατρικῶς ο σον σω φρονισθῆναι πληγέντες, καὶ ο σον πρὸς αὐ τὸν ἐπιστρέψαι νουτεθέντες. 118.125 Δοῦλός σού εἰμι ἐγώ. Μόνος ὁ σοφὸς δοῦλός ἐστι τῆς σοφίας· μόνος ὁ δίκαιος δοῦλος τῆς δικαιοσύνης ἐσ τίν. Ου τω καὶ ἑαυτὸν Παῦλος προέγραφεν δοῦλον Ἰησοῦ Χριστοῦ. 118.126,127 Καιρὸς τοῦ ποιῆσαι τῷ Κυ ρίῳ, διεσκέδασαν τὸν νόμον σου· διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον. Καιρὸς δὲ κεκράξαι τῷ Κυρίῳ ο τι σκε δαννύουσι νόμον σου. Οτε ου ν καιρὸς γέγο νεν τοῦ ποιῆσαι τῷ Κυρίῳ, διασκεδασθέντος τοῦ νόμου ὑπὸ τῶν παραλαβόντων αὐτὸν, τότε ἐρῶ, ὁ ἐγὼ ἀπὸ τῶν ἐθνῶν, ου προσω ποποιεῖ ὁ προφήτης· Ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίου καὶ τοπαζίου· τελειότερον δέ ἐστιν τὸ ποιεῖν μετὰ τοῦ ἀγαπᾶν· ἀτε λέστερον δὲ ποιεῖν μὲν, οὐ μετὰ τοῦ ἀγαπᾶν δέ. Τῶν δὲ ἐν τῷ κόσμῳ τιμιωτάτων δοκεῖ ει ναι χρυσὸς καὶ λίθοι τίμιοι· παρακειμένων γοῦν τούτων καὶ ἐντολῆς σου, οὐχ ου τως ἐνεῦρον αὐτὰ [τὰ αὐτὰ] ἐν τῇ ἐντολῇ σου. 118.128 Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντο λάς σου κατωρθούμην, πᾶσαν ὁδὸν α δικον ἐμίσησα. Ὁ μὴ πάσας τὰς ἐντολὰς κατορθώσας, πᾶσαν ὁδὸν ἀδικίας οὐκ ἐμίσησεν· εἰ δὲ ὁ φόβος τοῦ Κυρίου μισεῖ ἀδικίαν, ου τος δὴ οὐκ ἠμίσησεν ἀδικίαν, ο στις οὐ φοβεῖται τὸν Κύριον. Ὁ δὲ μὴ φοβούμενος τὸν Κύριον, οὐ μακάριος, ει περ μακάριος ἀνὴρ ἐστιν ὁ φο βούμενος τὸν Κύριον. 118.130 Ἡ δήλωσις τῶν λόγων σου φω τιεῖ καὶ συνετιεῖ νηπίους. Ἡ ἑρμηνεία τῶν λόγων τοῦ Κυρίου φω τίζει τοὺς νηπίους ἐν Χριστῷ. 118.131 Τὸ στόμα μου η νοιξα, καὶ ει λκυσα πνεῦμα, ο τι τὰς ἐντολάς σου ἐπεπόθουν. Νοητὸν στόμα νοητέον, ι να ἑλκύσωμεν πνεῦμα, τὸ μὴ εἰσιὸν εἰς κεκλεισμένον στό μα· διὸ μὲν Κύριος ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν· ὁ δὲ Παῦλός φησι· Τὸ στόμα μου ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι. –Τὸ στόμα τῆς ἐμοῦ ψυχῆς ἐστιν ἡ διάνοια. Τοῦτο ου ν κλείσας τοῖς πονηροῖς λογισμοῖς η νοιξα τοῖς ἀγαθοῖς, καὶ ει λκυσα πνεῦμα συνέσεως, χά ριτος καὶ σοφίας. Ὁ ἀνοίξας διὰ τῆς πρακτικῆς τὴν καρ δίαν, ε λκει τὸ α γιον πνεῦμα, τὸ ἀποκαλύ πτον αὐτῷ τὰ μυστήρια τοῦ Θεοῦ· περὶ γὰρ τοῦ στόματος τοῦ κρυπτοῦ ἀνθρώπου φησί. Καὶ δύναται ει ναι ψυχῆς στόμα ἡ διανοητικὴ αὐτῆς δύναμις, ἡ διανοουμένη προφέρει τὸν ἐν διανοίᾳ λόγον· ι να ου ν μὴ ἀεὶ ἐκ ψιλῆς τῆς ἑαυτῆς νοήσεως ἀπαγγέλ λῃ, ἀλλὰ καὶ ἐκ διδομένων αὐτῇ θεόθεν λό γων περὶ πνευματικῶν καὶ αἰσθητῶν· ἀνοίγει τὸ στόμα λόγῳ Θεοῦ, ι να λάβῃ λόγον ἐν ἀνοίξει τοῦ στόματος, ο πως εὐαγγελιζομένη δυνάμει πολλῇ τὸ δοθὲν αὐτῇ ὑπὸ τοῦ Κυ ρίου ῥῆμα προσφέρῃ· Τὰ δὲ λέγει Κύριος, ἀπαγγέλλουσα· οὐδὲν διαφέρει λαβεῖν λόγους τοῦ ἑλκύσαι πνεῦμα εἰπεῖν. Ταὐτὸν γὰρ τὸ πνεῦμα τῷ Θεῷ λόγῳ· διὸ καὶ ὁ σωτὴρ περὶ ου ε λεγεν λόγου καὶ ῥημάτων, ει ρηκεν· Τὰ ῥήματα α λελάληκα ὑμῖν, πνεῦμά



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστιν καὶ ζωή ἐστιν. Καὶ τὴν αἰτίαν δὲ ἀποδέδωκε τοῦ εἱλκυκέναι εἰς τὸ στόμα αὑτοῦ πνεῦμα, εἰπών· Οτι τὰς ἐντολάς σου ἐπεπόθουν, αὐ τῆς ἐπιθυμήσεως τῶν ἐντολῶν ἐπιεσπωμέ νης καὶ ἐφελκουμένης τὸ Πνεῦμα. 118.133 Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσά τω πᾶσα ἀνομία. Τὸ λόγιον τοῦ Θεοῦ κατευθύνει τὰ δια βήματά μου, ἐκ κακίας καὶ ἀγνοίας εἰς ἀ ρετὴν καὶ γνῶσιν διαβαίνοντος· εὐθυντὴρ γὰρ καὶ ἡγεμὼν τῶν τούτων διαβημάτων ὁ ὀρθὸς Θεοῦ λόγος. Τούτου γινομένου, οὐδε μία ἀνομία κατακυριεύσει. Τοῦ μὲν κατὰ διάνοιαν ἁμαρτάνοντος κυριεύειν λέγεται ἡ ἀνομία· κατακυριεύσει δὲ τοῦ ἐπὶ αὐτὴν ἐ νεργοῦντος τῷ πάντη τὸν ποιοῦντα τὴν ἁ μαρτίαν δοῦλον ει ναι τῆς ἁμαρτίας. 118.134 Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. Μισθὸν τοῦ λελυτρῶσθαι ἀπὸ συκοφαν τίας ἀνθρώπων ὑπισχνεῖται δώσειν τὴν τῶν ἐντολῶν τοῦ Κυρίου φυλακήν· η οὐδὲ μισ θὸν, φησὶν, ἀλλ' εὐχαριστίαν [οι σω] εἰς τὸ λυτρωθῆναί με ἀπὸ συκοφαντίας ἀνθρώπων. Καὶ τετυχήκασιν ταύτης τῆς αἰτήσεως Ἰωσὴφ καὶ Σουσάννα. Ῥηθεῖεν δὲ ὁ α νθρωπος τροπικῶς διάβολος καὶ αἱ κατὰ αὐτὸν πο νηραὶ δυνάμεις, ἀφ' ω ν τῆς συκοφαντίας μό νου τοῦ Θεοῦ λυτροῦσθαί ἐστιν. 118.135 Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώ ματά σου. Τοῦτο τὸ πρόσωπον διαπαντὸς οἱ α γγελοι βλέπουσι τοῦ Πατρὸς, τοῦ ἐν τοῖς οὐρανοῖς. Πλὴν τοῦτο σημειωτέον ο τι τῆς ἀγγελικῆς γνώσεώς ἐστιν ἡ θεωρία τῶν δικαιωμάτων. 118.138 Ἐνετείλω δικαιοσύνην τὰ μαρτύ ριά σου, καὶ ἀλήθειαν σφόδρα. Οὐχ ἁπλῶς, ἀλλὰ μετὰ προσθήκης, τῆς σφόδρα, τὸ μετὰ μαρτύρων οὐρανοῦ καὶ γῆς, η ω ντινων παραδεδομένα· ταῦτά ἐστι τὰ μαρτύρια, α ἐνετείλατο ὁ Θεὸς, ο ντα δικαιο σύνην, ο ντα ἀλήθειαν, ἀλλ' ἐπεὶ διαφορά ἐστι καὶ τῶν δεχομένων τὴν ἀλήθειαν, ο τε μὲν ἐκ τύπου δεχομένων αὐτὴν καὶ τρανὴν, ο τε δὲ ἀμαυρὰ, διὰ τοῦτο πρόσκειται τὸ Ἀ λήθειαν σφόδρα. 118.140 Πεπυρωμένον τὸ λόγιόν σου σφό δρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. Διδάσκει ἡμᾶς τί δεῖ φρονεῖν περὶ τῶν λογίων τοῦ Θεοῦ· ἐξητασμένα, ο τι οὐδεμία συλλαβὴ εἰκῇ καὶ ὡς ε τυχον παρέῤῥιπται ἐν ταῖς γραφαῖς, ἀλλὰ πάντα ου τως γεγραμμέ να ὡς τὸ πεπυρωμένον ἀργύριον· διὰ τοῦτο ὁ Σωτὴρ διδάσκει ἡμᾶς μὴ καταφρονεῖν μη δεμίας κεραίας γεγραμμένης ἐν τῇ γραφῇ, λέγων· ι ωτα ε ν η μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ε ως α ν πάντα παραγένηται. Τίς δὲ τοῦτο ἠγάπησεν τὸ πεπυρωμένον, ἀλλ' η ὁ δουλεύων τῷ Θεῷ; ἀλλὰ καὶ διά πυρόν ἐστιν τὸ λόγιον Κυρίου, ἀφ' ου ἐλή λυθεν Ἰησοῦς βαλεῖν πῦρ ἐπὶ τὴν γῆν, ο καὶ τὴν κακίαν ε ξιν ου σαν ὑλικὴν κατα φάγεται, ὡς χόρτον, καλάμην, τὰς μοχθη ρὰς ε ξεις. Τὸ λόγιον τοῦ Θεοῦ πεπυρωμέ νον ἐστὶ σφόδρα, τουτέστι ἐξητασμένον καὶ πάσῃ βασάνῳ ἀνέγκλητον, καὶ ει τις ε χοι τὸ πεπυρωμένον τοῦτο λόγιον, ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. –Τούτῳ ἀκολουθεῖ, εἰ μελέτημά ἐστιν αἱ ἐντολαὶ τοῦ Θεοῦ, [ο τε] θλίψεις καὶ ἀνάγ και με εὑρίσκουσιν. Καὶ πάλιν· οὐδὲ ἐν ταῖς περιστάσεσι, φησὶ, τοῦτον σὸν μελετᾶν ἠμέ λησα νόμον. 118.142 Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. Ἡ δικαιοσύνη σου οὐκ ε στιν ὁμοία τῇ παρ' ἀνθρώποις δικαιοσύνῃ· ι να γὰρ δίκαιος ῃ α νθρωπος η δικαστὴς, ἡ δικαιοσύνη αὐτοῦ ἀποδίδωσιν τὸ δίκαιον τῷ κρινομένῳ πρὸς πέντε ἡμέρας· πρὸς ἡμέρας πλείονας οὐ δύναται ἀποδοῦναι. Ὁ μέντοι γε Θεὸς δι καιοσύνην ε χει κρίνουσαν, καὶ ἀποδίδωσιν αἰωνίως τὰ τῆς κρίσεως τῆς δικαίας· διὸ λέλεκται· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα· α τρεπτος γὰρ καὶ ἀναλλοίωτος η ν, ου ποτε μὲν, ποτὲ δ' οὐκ ε χει δικαιο σύνην, πηγὴ γὰρ καὶ γεννήτωρ αὐτῆς ὑ πάρχων. Καὶ μετ' ὀλίγα· ἐπεὶ ὁ παρὰ Ἰουδαίοις νο μιζόμενος νόμος ει ναι ἀλήθεια, οὐκ ἀλήθεια ω ν, ἀλλὰ τύπος, παρ' ἡμῖν τοῖς ἐπιστρέψα σιν πρὸς Κύριον, οὐκέτι τύπος, ἀλλ' ἀλή θεια. 118.143 Θλίψεις καὶ ἀνάγκαι ευ ροσάν με, αἱ ἐντολαί σου μελέτη μου. Ἡ γὰρ ὁδός μου στένη καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τεθλιμμένη ἐστὶν, ἡ ἀνάγουσα εἰς τὴν ζωήν. Καί· Πολ λαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτούς. Ει τά φησιν· Αἱ ἐν τολαί σου, μελέτη μου. 118.145 ᾿Εκέκραξα ἐν ο λῃ καρδίᾳ μου, ἐπάκουσόν μου, Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω. Ινα ἀκριβῶς αὐτὰ νοήσας, σοφὸς ἐν αὐ τοῖς γένωμαι. Πρότερον μὲν, ἐν ο λῃ καρδίᾳ μου ἐκέκραξα· δεύτερον δὲ, ἐκέκραξα πρὸς σὲ, καὶ αὐτὸ δὲ ο ἐλάλουν, κατὰ ἡγεμονικὸν, οὐκ α λλο τι η ν η ὁ Θεός.᾿Επεὶ ου ν σε με γάλως ἐπεκαλεσάμην, διὰ τοῦτό με σῶσον. Η τὸ λαλῆσαι εἰς ω τα Κυρίου, πεφυκότα ἀκούειν ἐν κρυπτῷ, ἀπὸ τῆς ἐν ο λῃ καρδίᾳ γίνεται πρὸς αὐτὸν κραυγῆς, η ς μάλιστα ἐ πακούει ὁ Θεός. – Τίς ἐκέκραξε πρὸς τὸν Θεόν; ὁ αἰτῶν τὰ μεγάλα καὶ [οὐ] περὶ μι κρῶν ἀξιῶν· δικαιολογεῖται ου ν πρὸς τὸν Θεόν· οὐ μικρῶς ἐλάλησα πρὸς σὲ, οὐδὲ διὰ χειλέων καὶ στόματος, ἀλλὰ διὰ τῆς καρδίας, καὶ ταύτης κεκραγυίας μετὰ ἀναστήματος, προσήνεγκά μου τὴν εὐχὴν, ἀξιῶ ου ν ἐπα κουσθῆναι, καὶ τὰ δικαιώματά σου ἐκζη τήσω καὶ ἀκριβῶς αὐτὰ νοήσας, σοφὸς ἐν αὐτοῖς γίνομαι. –Οὐχ ἡ κραυγὴ μεγάλη ἐστὶ φωνὴ, ἀλλὰ τὸ μέγεθος τῶν σημαινο μένων ὑπ' αὐτῆς τῷ Θεῷ.῾Ο γὰρ δίκαιος μεγάλην ἀποτελεῖ πρὸς τὸν Θεὸν φωνὴν, αἱ τῶν ἐπουράνια καὶ μεγάλα. ῾Ο ἐπιμένων ζητεῖν ἐν πᾶσι τοῖς κτίσ μασι καὶ μάλιστα τοῖς λογικοῖς πᾶσι ζώοις, τὸ δίκαιον τῆς προνοίας τοῦ Θεοῦ, ου τος τὰ δικαιώματα ἐκζητεῖ τοῦ Θεοῦ, οι ον τὴν αἰ τίαν ὑπεροχῆς λογικῶν τινων παρ' ἑτέρῳ, ω Μονογενὲς, ει τε ἐν τοῖς ε θεσιν, ει τε ἐν χαρίσ μασιν, ει τε ἐν διατάξει τοῦ παντὸς, ει τε τῶν ἐν ἀνθρώποις συμπτωμάτων. ᾿Αλλὰ καὶ ὁ τὰ ἐν τῇ γραφῇ ὀνομαζόμενα δικαιώματα ἀκ ριβῶς ἐξετάζων, δικαιώματα τοῦ Θεοῦ ἐκ ζητεῖ. Μόνης δὲ δηλοῦται [κραυγὴ] καρδίας ο λως πρὸς Θεὸν βοώσης ἐν τῷ· ᾿Εκέκραξα ἐν ο λῃ καρδίᾳ μου· παρασπᾷ γὰρ τὸ ἐν ο λῃ παραλαμβανομένη κραυγὴ καὶ ἡ αἰσθητή. Προτραπῶμεν ἐκ διαθέσεως εἰπεῖν· Τὰ δι καιώματά σου ἐπιζητήσω. 118.147 Προέφθασα ἐν ἀωρίᾳ, καὶ ἐκέκρα ξα, εἰς τοὺς λόγους σου ἐπήλπισα. Καὶ τὸ ῥητὸν ἡμᾶς οἰκοδομησάτω, καὶ ἡ ἀναγωγὴ ὠφελησάτω. Τὸ μὲν ῥητὸν τοῦτον ε χει τὸν νοῦν· οὐ περιέμενον τὴν ἡμέραν ἐγγίζουσαν, ι να ευ ξωμαι πρὸς σέ· ἀλλ' ε τι ἀωρίᾳ νύκτωρ ἀνιστάμην, προλαβὼν τὰ ση μεῖα τῆς ἡμέρας, ι να νυκτὸς εὐξάμενός σοι, ἐπιτύχω τῆς τοῦ ἀληθινοῦ φωτὸς εἰς τὴν ψυχήν μου ἀνατολῆς, καὶ πρὸς τῷ ἐλπίζειν, πάλιν ἐπήλπισα, προκόπτων τῇ ἀγάπῃ, ἐπεὶ ἡ ἀγάπη πάντα ἐλπίζει. Οὐ θαυμαστὸν δὲ, α ν ὁ πρεσβύτης καὶ μηκέτι ὀχλούμενος ὑπὸ τῶν σωματικῶν ὀρέ ξεων, ἑαυτὸν ἐπιδίδωσιν ἀσκήσει τῆς θεοσε βείας· θαυμαστὸν δὲ α ν νέος καταπατῇ τὰ τῆς νεότητος κακὰ καὶ προφθάνῃ ἐν ἀωρίᾳ, βουλόμενος νικῆσαι τὴν νεότητα πρεσβυτικῷ φρονήματι. Τότε γὰρ ει ποιμι α ν περὶ τού του, ο τι πνευματικῶς ἐποίησε τό· Προέφθα σα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐφήλπισα. 118.148 Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ο ρθρον τοῦ μελετᾶν τὰ λόγιά σου. Βασιλεὺς ω ν ὁ προφήτης, καὶ μυρίαις φροντίσι περικλυζόμενος, οὐκ ἐν ἡμέρᾳ μό νον προσέφερε τῷ Θεῷ τὰς ἱκετηρίας, ἀλλὰ καὶ μεσούσης νυκτὸς, οὐκ ἀναμένων τὰς τῶν ἀλεκτρυόνων ᾠδὰς, ου τως ἐπόθει τὸν πε ποιηκότα Θεὸν, ου τω προθύμως τὴν ἐκεῖθεν η τει βοήθειαν. –῾Ο ἐκ νυκτὸς ὀρθρίζων πρὸς Θεὸν λέγοι α ν τοῦτο· προτρεπτικὸν δέ ἐστιν ἐπὶ τὸ ε ωθεν μελετᾶν τὰ λόγια τοῦ Θεοῦ. Μήποτε δὲ καὶ ὁ λύχνος τοῦ σώματος ἡμῶν ὁ νοῦς, λεγόμενος ὀφθαλμὸς, προφθά νων ὀφείλει ταῖς ἰδίαις ἐνεργείαις τὸν ἀπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης ο ρθρον, ἐξαιρέ τως ἀνατέλλοντος τοῖς προφθάσασιν αὐτὸν ὀφθαλμοῖς; 118.149 Τῆς φωνῆς μου α κουσον, Κύριε, κατὰ τὸ ε λεός σου, κατὰ τὸ κρίμα σου ζῆ σόν με. Εχεις μεθόδους πολλὰς, ο πως ζωοποιή σῃς τοὺς ἀναξίους τῆς ζωῆς, κατὰ γοῦν τὸ κρίμα σου καὶ κατὰ τὸ ε λεός σου, ζωοποίη σόν με, Κύριε, οὐ γὰρ θαῤῥῶ κατὰ τὴν ἐμὴν πρᾶξιν ἐπακουσθήσεσθαι, Κύριε, ἀλλὰ κατὰ τὸ κρίμα σου, τουτέστιν ὡς ἐὰν συγκρίνῃς περὶ τοῦ ζῆσαί με. 118.151 ᾿Εγγὺς ει , Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου [αλ. αἱ ἐντολαί σου] ἀλήθεια. ῾Ο Θεὸς ἀλλαχοῦ φησιν· Θεὸς ἐγγίζων ἐγώ εἰμι,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ οὐχὶ Θεὸς πόῤῥωθεν, λέγει Κύ ριος.῾Η δύναμις γὰρ τοῦ Θεοῦ πανταχῇ ἐσ τι κατὰ τὸν τῆς δημιουργίας καὶ προνοίας λόγον. Καὶ μετ' ὀλίγα. Αὐτὸς μὲν ου ν ἐγγίζει ου τως· ἀλλ' ἐὰν μὴ καὶ ἡμεῖς ἐνεργήσωμεν, αὐτοῦ ἐγγίζοντος, τὸ ἐγγίζειν αὐτῷ, οὐκ ἀ πολαύσομεν τῆς ἐγγύτητος αὐτοῦ· διὰ τοῦτο πόῤῥω εἰσὶν οἱ ἁμαρτωλοὶ τοῦ Θεοῦ· ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται. ῾Ο δὲ δίκαιος ἐνεργεῖ τὸ ἐγγίζειν τῷ Θεῷ. Καὶ μετ' ὀλίγα. ᾿Εγγὺς ει , Κύριε, καὶ πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ὁ σωματικὸς ᾿Ιουδαῖος οὐ δύναται ἀληθεύων ταῦτα λέγειν· τύπον γὰρ ποιεῖ, περιτέμνεται, οὐ τὴν ἀλη θινὴν περιτομήν· α ζυμα α γει, οὐ τὰ ἀληθῆ, καὶ ἁπλῶς εἰπεῖν, ἐν τύποις ἀσχολεῖται, καίτοιγε οὐκέτι αὐτοὺς ε χων. ῾Ο μέντοι γε νοῶν τὰ πράγματα καὶ μυστήρια τῆς βασι λείας τῶν οὐρανῶν, καὶ τίς ἡ ἀλήθεια, περὶ ἑκάστου τῶν γεγραμμένων ἐρεῖ· Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια. –῾Ετέρα δὲ γραφὴ ω δε ε χει· Καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια, δηλονότι αἱ πρὸς αὐτὸν φέρουσαι· τέλος γὰρ πασῶν τῶν ὁδῶν τούτων, ὁ εἰπών· ᾿Εγώ εἰ μι ἡ ὁδὸς καὶ ἡ ζωὴ καὶ ἡ ἀλήθεια. 118.152 Κατ' ἀρχὰς ε γνων ἐκ τῶν μαρτυ ρίων σου, ο τι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. Τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν. Πό σοι κατὰ τὴν ἡμέραν τῆς κρίσεως εὑρεθή σονται ἐν τῷ κρυπτῷ πολλάκις ἀρνησάμε νοι, κα ν ὑπ' ἀνθρώπων μὴ γένωνται ἀποσυ νάγωγοι· τὰ γὰρ κρυπτὰ τῷ Κυρίῳ τῷ Θεῷ ἡμῶν, τάδε φανερὰ ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν. 118.153 Ιδε τὴν ταπείνωσίν μου, καὶ ἐ ξελοῦ με, ο τι τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Καλεῖ ὁ προφήτης τὸν Θεὸν, ὡς ἐν πει ρασμοῖς γενόμενος, καὶ νενικηκὼς, καὶ προσ καλεῖται αὐτοῦ τοὺς ὀφθαλμοὺς θεωρεῖν ἐπὶ τῷ πεπαλαικέναι καλῶς καὶ νενικηκέναι. Οὐ παντὸς δὲ ε στιν εἰπεῖν· Οτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην, ἀλλὰ τοῦ νοήσαντος τὸν νόμον, καὶ ἀεὶ τηρήσαντος αὐτὸν, καὶ παρα καλοῦντος τὸν Θεὸν ἐπὶ τὴν θέαν τῆς ἐπαι νετῆς ἐν τῇ ψυχῇ ἑαυτοῦ ταπεινότητος.᾿Α κριβέστερον δὲ νοήσεις τίνα τρόπον ὁ πειρα ζόμενος λέγει τῷ Θεῷ· Ιδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με τοῦτον τὸν τρόπον, ὡσεὶ ἐν μαρτυρίῳ τις γένοιτο, καὶ ταπεινωθείη διαφόρως αἰκιζόμενος καὶ μαστιζόμενος, πάντων αὐτὸν καὶ τὴν αὐτοῦ πίστιν χλευα ζόντων καὶ καταδικαζόντων· ἐκεῖνος γὰρ λεγέτω κατ' ἐκείνου καιροῦ τῷ Θεῷ, εἰ μαρ τυρεῖ, εἰ ὑπομένει· Ιδε ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ο τι τοῦ νόμου σου οὐκ ἐπελαθό μην. Εκαστος τῶν κρινόντων, μάλιστα ἐν ἐκ κλησίᾳ Θεοῦ, προσεχέτω, μήποτε ἀδίκως κρίνας κατά τινα, κατεντευχθῇ ὑπὸ τοῦ ἀ δίκως κριθέντος δικαίου, λέγοντος τῷ Θεῷ· Κρίνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με. Οὐ ταὐτὸν δέ ἐστιν τό· Κρίνον με, τῷ· Κρί νον τὴν κρίσιν μου. Εκαστος δὲ τῶν εὐχομέ νων διὰ τί θέλει ζῆν;῾Ο μὲν φαῦλος, δι' ἡ δονὴν, ι να αὐτῆς ἀπολαύῃ· ὁ δὲ δίκαιος, διὰ δικαιοσύνην. 118.155,156 Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ο τι τὰ δικαιώματά σου οὐκ ἐξεζή τησαν. Οἱ οἰκτιρμοί σου πολλοὶ, Κύριε, κα τὰ τὸ κρῖμά σου ζῆσόν με. Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία. Διὰ τί; ο τι τὰ δικαιώματα τοῦ Θεοῦ οὐκ ἐξεζή τησαν. Ει τις γὰρ τὰ δικαιώματα αὐτοῦ οὐκ ἐκζητεῖ, τούτου μακράν ἐστιν ἡ σωτηρία, δηλονότι ὁ Θεός. –Εἰ καὶ μακράν ἐστιν ἀπὸ ἁμαρτωλῶν ἡ σωτηρία, ἀλλὰ πολλοί εἰσιν οἱ οἰκτιρμοὶ Κυρίου, ὡς τοὺς μακρὰν ἐγγὺς γενέσθαι δύνασθαι. 118.157 Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξ έκλινα. Πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χρισ τῷ διωχθήσονται. Μὴ πάντως δὲ τοὺς διωγ μοὺς τοὺς ε ξωθεν προσδοκᾷ, ἀλλὰ διωγμοὶ ἀεὶ τῷ δικαίῳ γίνονται, ε ξωθεν μάχαι, ε σω θεν φόβοι. Διώκουσιν αἱ δυνάμεις αἱ ἀντικεί μεναι, κινοῦσαι πρὸς ἁμαρτίαν, διὰ οἰκείων, διὰ γυναικὸς μαχίμου τε καὶ γλωσσώδους, δι' οἰκέτου ἀτάκτου, δι' ἑτέρων πολλῶν, δι' αὐτῶν τῶν ἁμαρτημάτων· καὶ ἐὰν μὴ ἀγω νίσωμαι ὁμολογῆσαι τῷ Θεῷ διὰ τῆς σωφρο σύνης καὶ τῶν λοιπῶν ἀρετῶν, ἀρνησίθεος γίνομαι, ω σπερ καὶ γεγόνασί τινες μάρτυ ρες. Ου τω τοσαυτάκις τις γίνεται [δίκαιος]· ὁσάκις γὰρ α ν ἐξιχνιάζῃ τις τῶν μαρτύ ρων τὰ ἀγωνίσματα, σκοπῷ τῆς ὁμοίας ἀ θλήσεως, ου τος τοσαυτάκις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γίνεται τοῦ Θεοῦ μάρτυς.῾Οσάκις τε ὑπὸ δυνάμεων ἀντικει μένων διώκεται καὶ οὐχ ἡττᾶται, οὐδὲ νι κᾶται πάθεσιν ἀτιμίας, καὶ νικᾷ. Περὶ τού του Παῦλος τοῦ μαρτυρίου φησί· Τοῦτο γάρ ἐστι τὸ καύχημα ἡμῶν, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν. ῾Ο ου ν δίκαιος οὐκ ε σ τιν, ο τε οὐ διώκεται· οὐκ ε στιν, ο τε οὐ μαρ τυρεῖ. – Οὐδὲ πολλαῖς, φησὶ, περιστοιχι ζόμενος συμφοραῖς, τῶν ὑπὸ σοῦ νενομο θετημένων ἠνεσχόμην τι παραβῆναι. Ταῦ τα μέντοι δῆλον ὡς ὑπὸ τοῦ Σαοὺλ διω κόμενος ει ρηκε· τηνικαῦτα γὰρ τῆς ἁμαρ τίας ἀπείραστος η . 118.158 Ει δον ἀσυνετοῦντας, καὶ ἐξετη κόμην, ο τι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο. ῾Ο ζῆλος τοῦ οι κου σου κατέφαγέ με. Λέγει ὁ ἀπόστολος· Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσ θενῶ, ζήλῳ θεοσεβείας ζηλῶν; Μακάριος ὁ ἀπὸ ἀγάπης Θεοῦ τῆς πρὸς ἀνθρώπους ἀ συνετοῦντας ἐκτηκόμενος. Τὸ ἑξῆς ἐστιν ου τως· Ει δον αὐτοὺς, ο τι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο ἀσυνετοῦντες, καὶ ἐξετηκόμην· εἰ μή τις ου ν ἀσυνετεῖ, ἐκεῖνος, ἐπεὶ τὰ λόγια τοῦ Θεοῦ οὐκ ἐφυλάξατο, ἀσυνετεῖ. 118.159 Ιδε ο τι τὰς ἐντολάς σου ἠγάπη σα, Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με. ῾Ο ἀγαπῶν τὰς ἐντολὰς, ποιείτω αὐτὰς, καὶ ζήσεται ἐν αὐταῖς, η δι' αὐτῶν· ἐν αὐταῖς μὲν, τοὺς λόγους τῆς πρακτικῆς γνώσεως ἐκ μαθών· δι' αὐτῶν δὲ, σοφίας καταξιωθείς. Οὐ πᾶς ὁ ποιῶν τὰς ἐντολὰς, ἀγαπᾷ αὐτὰς, ἀλλ' ὁ ἀπὸ τελείας ἀγάπης ε ξω βάλλων τὸν φόβον, καὶ ει η· ἀγαπήσας ου ν τὰς ἐντολάς σου, ἐλέῳ ζήσεσθαι αἰτῶ. 118.160 ᾿Αρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δι καιοσύνης σου. Εἰ ἀρχὴ τῶν λόγων τοῦ Θεοῦ ἀλήθεια, ὁ Χριστὸς α ρα ἀρχὴ τῶν λόγων ἐστὶ τοῦ Θεοῦ· ἀρχὴν δὲ ἐνταῦθα λέγει, ὡς αι τιον. Πάλιν εἰ ἡ ἀρχὴ τῶν λόγων [Θεοῦ] ἐστὶν ἡ ἀλήθεια, ἐν οι ς α ν αὐτὴ ἐγγίνηται, ἐν ἐκεί νοις γενήσονται καὶ οἱ λόγοι τοῦ Θεοῦ. 118.161,162 Αρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ὑπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. ᾿Αγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. ῾Ο ἐν τῷ διώκεσθαι ὑπὸ ἀρχόντων, οὐδένα μὲν αὐτῶν φοβούμενος, δειλιῶν δὲ ὑπὸ τῶν λόγων τοῦ Θεοῦ, υ στερον ἀγαλλιάσεται ἐπὶ τὰ αὐτὰ λόγια, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. ῾Ο ἀπὸ τῶν ἐθνῶν λαὸς χαριέντως ταῦτα ἐρεῖ, οἱονεὶ σκυλεύσας τὸν ἐκ περιτομῆς λαὸν, ο τε ε λαβε τὰ λόγια τοῦ Θεοῦ, α πρῶ τοι ᾿Ιουδαῖοι ἐπιστεύθησαν. ᾿Αληθὴς καὶ ουτος ὁ λόγος, ὁ γὰρ θερμῶς περὶ τὰ θεῖα λό για διακείμενος, τἀναντία μυσαττέθω. Τῷ ἐδειλίασεν, ἀντὶ τοῦ εὐλάβετο, ἐχρή σατο. –᾿Εκ τῶν προφερομένων ἐγκλημά των ἐστὶ τῇ γραφῇ καὶ τὸ εἰρημένον ἐνταῦ θα ῥητὸν, παρὰ τῶν μὴ ἐπισταμένων, μήτε ποίᾳ προφάσει, μήτε ποίᾳ δυνάμει λελάλη ται τὰ α για λόγια τῶν γραφῶν.῾Ορᾷς γὰρ, φασὶν, τὸν προφήτην ἀκολουθοῦντα τῷ πά θει τῷ κακίστῳ ἐν ἀνθρώποις, δειλιὰν ἀνειλη φέναι ἀπὸ τῶν λόγων, ω ν φησιν ει ναι τοῦ Θεοῦ. Πῶς ου ν ἀπολογησόμεθα ἡμεῖς περὶ τῆς ἐνταῦθα λεγομένης ἐπαινετῆς δειλιᾶς; ᾿Ακουστέον. Οἱ ἐγκαλοῦντες ταῦτα, Ελληνές εἰσιν· ι ν' αὐτοὺς πείσωμεν καὶ τοὺς οἰομένους ὑπὸ τῆς πιθανότητος τῶν λόγων αὐτῶν, παρ' αὐ τοῖς τοιγαροῦν ευ ρωμεν παράδοξον λόγον· ᾿Ασκητέον τὸ λοίδωρον, ἀλλὰ καθ' ἑαυτοῦ· παραδόξως ἐχρήσατο ἐκεῖ τῷ λόγῳ ὁ φάσ κων· ᾿Ασκητέον τὸ λοιδωρὸν, ἀλλὰ καθ' ἑαυ τοῦ, ι να μὴ τὸν πέλας λοιδορῶμεν· ἀλλ' ἐφ' οι ς ἁμαρτάνομεν, αὐτοὶ ἑαυτοῖς λοιδορῶμεν. Ορα πῶς τῷ λόγῳ τῷ ψεκτῷ (ψεκτὸν γὰρ ἡ λοιδωρία) ευ ρε χρήσασθαι εἰς δέον ὁ Ελ λην. Καὶ πάλιν. Τὸν θυμὸν καὶ τὴν πικρίαν ἀ νακινητέον· ἀλλὰ κατὰ τῆς ἐν ἡμῖν ἡδυ παθείας χρησάμενος τοῖς τοιούτοις παρα δείγμασιν, πρὸς ἐκείνους ει ποιμι α ν· α ρα, εἰ μὴ μεγάλη ἀρετή ἐστι τοῦ λέγοντος· Αρ χοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου; Καὶ μάλιστα τοῦτο λεγέσθω ὑπ' ἀνθρώπου εἰς μαρτύριον κεκλημένου, διωχθέντος ὑπὸ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, καὶ τῶν ἔξου σιῶν, τῶν ἐγκεχωρισμένων τὴν περὶ ζωῆς· καὶ θανάτου τῶν ἀνθρώπων κρίσιν. Ιδε μοι τὸν μαρτυροῦντα, βλέποντα τὰ ποικίλα τῶν βασανιστηρίων ο ργανα, καὶ μὴ δειλιῶντα ἐπὶ τούτοις, ἀλλὰ μεμνημένον τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κριτηρίου τοῦ Θεοῦ, καὶ δειλιῶντα ἐκεῖνο, καὶ ο λον γινό μενον τῆς ἀναζωγραφήσεως αὐτοῦ καὶ τῶν ἀποκειμένων ἐκεῖσε κολάσεων τῷ ἀρνησι θέῳ. Διὰ τοῦτό φησιν· Αρχοντες κατεδίωξάν με δωρεὰν, οὐχ ὡς λῃστὴν, οὐχ ὡς, φησὶ, λῃστὴν, οὐχ ὡς φονέα, οὐδὲ ὡς α λλο τι τῶν ἀτόπων πεποιηκότα· ἀλλ' ἐπειδὴ σὲ σέβω, τὸν Θεὸν τῶν ο λων δημιουργὸν, ἐπεὶ πεπίσ τευκα εἰς τὸ ο νομα τοῦ Μονογενοῦς σου. Διὰ τοῦτο διώκομαι, καὶ διωκόμενος δειλιῶ, οὐκ ἀπ' αὐτῶν, οὐδὲ ἀπὸ τῶν προσφερομένων ὑπ' αὐτῶν, ἀλλὰ διὰ τὴν πρὸς τοὺς σοὺς λό γους δειλιάν. ᾿Ασκητέον ου ν τὴν δειλιὰν, τὴν ἀπὸ τῶν λόγων τοῦ Θεοῦ, ι ν' ἀποστῶμεν ἀ πὸ τῶν ἁμαρτημάτων, καὶ μάλιστα τῆς φο βερᾶς ἁμαρτίας τοῦ ἀρνήσασθαι τὸν ὑπὲρ ὑμῶν ἀποθανόντα. Ου τος ὁ ταῦτα εἰπὼν ἀ γαλλιάσεται ἐπὶ τοῖς λόγοις τοῦ Θεοῦ. ᾿Αγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. Ποίοις λόγοις; η περὶ ω ν λέγει ὁ Παῦλος· πρῶτον γὰρ ἐπισ τεύθησαν τὰ λόγια τοῦ Θεοῦ, περὶ τῶν ᾿Ιου δαίων φάσκων. Καὶ πάλιν. Αξιον ζητῆσαι διὰ τί παρέ λαβε τὸν ἀγαλλιῶντα ἐπὶ τοῖς λόγοις τῷ εὑρίσκοντι σκῦλα. ᾿Εὰν ι δῃς τίνες ει χον τὰ λόγια τοῦ Θεοῦ, καὶ κατανοήσῃς τίνες νῦν ε χουσιν αὐτὰ, ο ψῃ ο τι ᾿Ιουδαίους Χριστια νοὶ ἐσκυλεύσαμεν, τοῦ Χριστοῦ εἰπόντος· ᾿Αρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται τῷ ε θνει ποιοῦντι τοὺς καρ ποὺς αὐτῆς. Πολλὰ δὲ τὰ σκῦλα, ἐπειδὴ καὶ πολλαὶ τῆς θείας γραφῆς αἱ βίβλοι. ᾿Εκεῖ νοι γὰρ οὐκ ε χουσιν αὐτὰ, α τε δὴ μηδὲ τὸν νοῦν αὐτῶν ἐπιστάμενοι. 118.163 ᾿Αδικίαν ἐμίσησα καὶ ἐβδελυξά μην, τὸν δὲ νόμον σου ἠγάπησα. Βδελύξασθαι καὶ μισῆσαι δεῖ τὴν ἀδικίαν, εἰ μέλλοι μὲν ε ργοις ἐπιδείκνυσθαι τὴν εἰς τὸν νόμον τοῦ Θεοῦ ἀγάπην· οὐ τὸν α δικον, ἀλλὰ τὴν ἀδικίαν μισητέον, καὶ οὐ νεκρὰ ἀνθρώπων σώματα, η ὡς ᾿Ιουδαῖοι ὀνομά ζουσι Κύριον, δαίμονα βδελυκτὸν, ἀλλὰ τὴν ἀδικίαν· αὐτὴ γὰρ ἀληθῶς βδέλυγμα. 118.165 Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ε στιν αὐτοῖς σκάνδαλον. ᾿Εάν τις ἀγαπᾷ τὸν νόμον τοῦ Θεοῦ, εἰρή νην ε χει πολλήν· πόλεμος οὐχ α πτεται τῆς ψυχῆς αὐτοῦ, οὐδὲν γὰρ τῶν ἁμαρτημάτων ἐκκαίει τὴν ψυχὴν αὐτοῦ, καὶ α τε εἰρήνην ε χων, τοιοῦτος γεγένηται, ι να ὑπὸ μηδενὸς ε τι σκανδαλισθήσεται· κεκτημένος γὰρ τὴν εἰρήνην τοῦ Θεοῦ ἐν ἑαυτῷ, διὰ τὸ ο νομα αὐτοῦ σκάνδαλον οὐκ ε στιν ἐν τούτοις. – Εἰ οἱ μικροὶ σκανδαλίζονται, (ο στις γὰρ α ν σκανδαλίσῃ, φησὶν, ε να τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμὲ, συμφέρει αὐτῷ ι να κρεμασθῇ μύλος ὀνικὸς εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει) οἱ δὲ ἀγαπῶντες τὸν Κύριον, οὐ σκανδαλίζον ται· οἱ μικροὶ οὐκ ἀγαπῶντες τὸν Κύριον, σκανδαλίζονται, διὸ καὶ ἀγνοοῦντες τοὺς λόγους τῶν γινομένων, ἐφ' οι ς καὶ σκανδα λίζονται. 118.169 ᾿Εγγυσάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λογιόν σου συνέτισόν με. Πτεροῖ τὴν δέησιν τοῦ δικαίου ὁ καλὸς αὐτοῦ βίος, ὡς ἐνώπιον τοῦ Θεοῦ γένηται· ἀλλὰ καὶ τὸ πνεῦμα ῳ προσεύχεται, κουφί ζει δὴ τὴν εὐχὴν καὶ φέρει πρὸς Θεόν· ἡ δὲ ἁμαρτία, βαρεῖα ου σα, τοῦ μὴ καλοῦ βίου ἐχομένου, μακρύνει ἀπὸ Θεοῦ τὴν εὐχὴν το σοῦτον, ο σον ἐστὶ βαρεῖα πλεῖον η ε λαττον. Ου τω καί τινων μὲν ἀναβαίνει προσευχὴ καὶ στεναγμὸς ἀπὸ τῶν καλῶν ε ργων, καὶ τοῦ μισεῖν τὸν αἰγύπτιον ἐργάσεσθαι πῆλον· ἑτέρων δὲ πίπτει η καταβαίνει, ω ν γίνεται εἰς ἁμαρτίαν ἡ προσευχή. ᾿Αντιδιέστειλε τῇ τοῦ κόσμου συνέσει κατὰ τέχνας τε καὶ πᾶν ἐπιτήδευμα, κατὰ τὸ λόγιόν σου προσθεὶς καὶ τὴν θείαν δηλονότι σοφίαν, η ν ε χοντες οἱ μαθηταὶ τοῦ Σωτῆρος, ἠλλαττοῦντο τῆς ἀνθρωπίνης· λέγει γάρ· Οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν αὐτῶν. Οτι δίκαιος ου ν τοῦτο ευ χεται, συνετὸς γενέσθαι κατὰ τὸ λόγιον τοῦ Θεοῦ. Χρὴ δὲ εἰδέναι, ο τι περὶ τοῦ τῷ Θεῷ ἐγ γίσαι, διαφορὰς ευ ρομεν ταύτας· ὁ μὲν τελει ότερος ἐγγίζει τῷ Θεῷ· ὁ δὲ ὑποδεέστερος καὶ ἐγγὺς τούτου, αὐτὸς μὲν οὐκ ἐγγίζει τῷ Θεῷ, εὐχὴν δὲ ε χει ἐγγίζουσαν αὐτῷ. Οθεν περὶ Μωϋσέως ευ ροις α ν τό· ᾿Εγγιεῖ Μωσῆς μόνος πρὸς τὸν Θεὸν, οἱ δὲ λοιποὶ οὐκ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγ γιοῦσιν· ἐπὶ δὲ τούτου εὐχὴν λέγουσαν· ᾿Ηγγίσατο ἡ δέησίς μου, καὶ ἑξῆς. Τίς δὲ τούτων ἡ διαφορά; Αξιον θεωρῆσαι· ὁ Θεὸς οὐκ ἐν τόπῳ ἐστὶν, δύναμις γάρ ἐστιν α ῥῥητος καὶ α φθεγκτος καὶ ἀόρατος. Εἰ δὲ οὐκ ε στιν ἐν τόποις ὁ Θεὸς, ἐγγίζειν δὲ ε σ τι τῷ Θεῷ, δηλονότι τῷ ἐν ἡμῖν ἀοράτῳ ἐγ γίζομεν αὐτῷ. Τί δὲ ἐν ἡμῖν ἀόρατον; η ὁ κρυπτὸς τῆς καρδίας α νθρωπος, ο ν ὠνόμα σεν ἡ γραφὴ ε σω α νθρωπον. Τούτου ε στιν ἐγγίσαι τῷ Θεῷ. Εστι δὲ ἐγγίσαι διὰ ᾿Ιησοῦ Χριστοῦ, καὶ μάλιστα ἐὰν νοήσωμεν τὸν Χριστὸν, ο τι δικαιοσύνη ἐστὶ, ο τι ἀλήθεια, καὶ σοφία, καὶ ἀνάστασις, καὶ φῶς ἀληθινόν. Ανευ γὰρ τούτων οὐκ ε στιν ἐγγίζειν τῷ Θεῷ, ἀλλ' οὐ δὲ χωρὶς εἰρήνης τῆς φρουρούσης τὰς καρ δίας καὶ τὰ νοήματα, η τις ἐστὶν ὁ Χριστός. Οσῳ δέ τις ἀπολείπεται δικαιοσύνης καὶ σοφίας, τοσούτῳ μακράν ἐστιν ὁ τοιοῦτος τοῦ Θεοῦ. 118.170 Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιον σου, Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με. ᾿Εν τῷ βίῳ τούτῳ κοσμικά ἐστιν ἀξιώμα τα τούτων τῶν πραττόντων τὰς νομιζομένας ὑπεροχὰς ἐν ἐξουσίαις καὶ ἀρχαῖς· ου τως ἐστὶν ψυχῆς ἀξίωμα· ο περ ε χει ὁ ἀπόστο λος· ἀξίωμα γάρ ἐστιν ει ναι ἀπόστολον Χριστοῦ ᾿Ιησοῦ, καὶ σώζειν τὸν χαρακτῆρα τοῦ ἀποστόλου. ᾿Αξιώματά ἐστι καὶ τὰ ἐκ κλησιαστικὰ τάγματα, τὸ ει ναι ἐπίσκοπον, εἰ τύχοι, η πρεσβύτερον, η α λλο τι τῶν ἑξῆς. ᾿Αξιώματα δὲ ψυχῆς καὶ τὸ ε χειν τὰς ἀρε τὰς, η μίαν τινὰ ἐξ αὐτῶν. ᾿Εὰν οὐκ ε χῃ τις τοιοῦτον ἀξίωμα, ο κυρίως καὶ ἀληθῶς ἐστιν ἀξίωμα, ευ χεται τῷ Θεῷ λέγων· Εἰσ έλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, κατὰ τὸ λόγιόν σου ῥῦσαί με. –Τὸ ἀξίωμα τινὲς μὲν ἡρμήνευσαν τὴν ἀπάθειαν, α λλοι δὲ τὴν ἀξίωσιν. 118.171 ᾿Εξερεύξαιντο τὰ χείλη μου υ μ νον. Τὸ μὲν ψάλλειν ἀνθρώποις ἁρμόζει· τὸ δὲ ὑμνεῖν ἀγγέλοις, η τοῖς ε χουσι σχεδὸν ἀγγελικὴν κατάστασιν. Οντως καὶ οἱ ἀ γραυλοῦντες ποιμένες οὐκ η κουσαν ψαλλόν των ἀγγέλων, ἀλλ' ὑμνούντων καὶ λεγόν των· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ τὰ ἑξῆς. – Υμνος δέ ἐστιν δοξολογία μετ' ἐκπλήξεως ἐπὶ τῇ θεωρίᾳ τῶν γενομένων ὑπὸ Θεοῦ. 118.172 Φθέγξαιτο ἡ γλῶσσά μου τὰ λό γιά σου, ο τι πᾶσαι αἱ ἐντολαί σου δικαιο σύνη. Τουτέστι δικαιοσύνης ποιητικαί. –῾Ο λέγων τοῦτο ευ χεται ι να α φθέγγεται, λόγοι ω σι Θεοῦ. Καὶ γὰρ γέγραπται ἀλλαχοῦ· Ανοιγε σὸν στόμα λόγῳ Θεοῦ. ῾Ο δὲ τοιοῦτος εὐχόμενος ἀργὸν ῥῆμα οὐ λαλεῖ, φθέγ γεται δὲ κυρίως τὸν περὶ δικαιοσύνης λόγον, οὐχὶ φωνῇ μόνῃ αὐτὸ προφέρων, ἀλλὰ καὶ ε ργοις καὶ προθέσει πρακτικῇ τῇ κατὰ τὸν ὀρθὸν λόγον εὐθυνομένῃ. – Ορα τῶν θείων ῥημάτων τὸ ευ τακτον, ω ν ὡς ἰδιωτικῶν κα ταφρονοῦσιν παῖδες ῾Ελλήνων. Πρῶτον γὰρ τὸ ἐγγίσατο, ει τα τὸ μεῖζον, τό· Εἰσέλθοι τὸ ἀξίωμά μου. Πρὸ γὰρ τοῦ εἰσέλθοι, τὸ ἐγγί σαι· ἐγγίσας γάρ τις οἰκίᾳ, ἐὰν ῃ φίλος τοῦ οἰκοδεσπότου, εἰσέρχεται. Ην δὲ κέκληκε δέησιν, νῦν ει πε ἀξίωμα παρὰ τὸ ἀξιοῦν. 118.175 Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέ σει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι. Τὸ αἰνεῖν σε τῶν ζώντων ἐστίν· οἱ γὰρ νεκροὶ οὐκ αἰνέσουσι τὸν Κύριον. 118.176 ᾿Επλανήθην ὡς πρόβατον ἀπο λωλός· ζήτησον τὸν δοῦλόν σου, ο τι τὰς ἐν τολάς σου οὐκ ἐπελαθόμην. Εἰ καὶ ἐπλανήθην, ἀλλ' οὐκ ἐπελαθόμην τῶν ἐντολῶν σου· ἠθέλησα ου ν βιῶσαι κατὰ ταύτας. Ζήτησόν με, ευ ρόν με, ἐπανάλαβέ με, ἐπάνελθε, ε χων με. Ζήτησον τὸν δοῦλόν σου, ο τι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην. Εἰ καὶ παρέβην τινὰς, ἀλλὰ λήθην οὐκ ἐδε ξάμην παντελῆ. ᾿Αλλὰ ταύτην μὲν ὁ προφή της προσενήνοχε τὴν εὐχὴν, τετύχηκε δὲ α πασα τῶν ἀνθρώπων ἡ φύσις τῆς σωτηρίας. Εδραμε γὰρ ὁ καλὸς Ποιμὴν ἐπὶ τὸ πλα νώμενον πρόβατον, καὶ περιελθὼν τὰ ο ρη καὶ τοὺς βουνοὺς (παρὰ ταῦτα γὰρ ἐπλανᾶ το λατρεῦσαι τοῖς δαίμοσιν), ευ ρε, καὶ ἐπὶ τῶν ω μων λαβὼν, ἐπανήγαγε, καὶ ηὐφράνθη μᾶλλον η ἐπὶ τοῖς ἐννενήκοντα ἐννέα τοῖς μὴ πεπλανημένοις. Η ου τως· ἐπειδὴ τέλος νόμου ὁ Χριστὸς εἰς δικαιοσύνην, εἰκότως σφραγῖδα τῇ παρούσῃ ψαλμῳδίᾳ τὸν νῦν στίχον ὁ προφήτης ἐπέθηκε. ᾿Αλλ' ὁ Ποιμὴν ἡμᾶς ὁ ἀληθινὸς, οὐδὲ ου τως ἀπογινώσκων· η λθε γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σῶσαι τὸ ἀπολωλὸς, ᾡ ἡ δόξα εἰς τοὺς αἰῶ νας. Ἀμήν. 119.π Ὠδὴ τῶν ἀναβαθμῶν. Μόνοι οἱ τῷ λόγῳ καὶ τῷ βίῳ ἀναβαίνον τες, οἰκεῖοί εἰσι τῶν ἀναβαθμῶν καὶ τῶν ἐν ταῖς ᾠδαῖς αὐτῶν μυστηρίων. Στοχαζώμεθα τὴν μὲν πρώτην ᾠδὴν τῶν ἀναβαθμῶν λέ γεσθαι ἐν τῷ λαῷ, ει ποτε πόλεμος προσεδο κᾶτο. Τὴν δὲ δευτέραν, ὁπότε παρεσκευά ζοντο καὶ συμμάχων ἐδέοντο. Τὴν δὲ τρίτην, ο τε συμβαλόντες τοῖς πολεμίοις ὑπέρτεροί πως αὐτῶν ἐγένοντο. Τὴν δὲ τετάρτην, ο τε περὶ τῆς νίκης ἐπὶ τέλει η λπιζον. Τὴν δὲ πέμπτην, ἐν τῷ κατωρθωκέναι. Τὴν δὲ ε κ την, ἐπανερχόμενοι. Τὴν δὲ ἑβδόμην, ἐπα νεληλυθότες. Τὴν δὲ ὀγδόην, ἐπισκευάζον τες τὸν ναόν. Τὴν δὲ ἐννάτην, μετὰ τὸ ἐν εἰρήνῃ γενέσθαι, διαγράφοντες τίς ὁ μακά ριος ἐπὶ τῷ τοὺς οἰκείους ἀπειληφέναι καὶ ει ναι σὺν αὐτοῖς. Τὴν δὲ δεκάτην ἐν βαθείᾳ τυγχάνοντες εἰρήνῃ, ο τε φασὶ πολλάκις μὲν πεπολεμῆσθαι, μηδὲ πώποτε δὴ δεδυνῆσθαι κατ' αὐτῶν τοὺς πολεμίους. Τὴν δὲ ἑνδεκά την, η δη τοῖς θείοις σχολάσαντες, καὶ τὰ βά θη ἐσχηκότες ἐν τοῖς ἡγεμονικοῖς ἀπὸ βα θέων καὶ ἀποῤῥητοτέρων τινῶν. Τὴν δὲ δω δεκάτην, ὡς οὐκ ἐπαιρόμενοι ἐπὶ τοῖς γνωσ θεῖσιν. Τὴν δὲ τρισκαιδεκάτην περὶ ἀποκα ταστάσεως ευ χονται Χριστοῦ. Τὴν δὲ τεσ σαρεσκαιδεκάτην, περὶ ἀποκαταστάσεως τῆς ἐκκλησίας. Τὴν δὲ πεντεκαιδεκάτην περὶ τοῦ δεῖν αὐτοὺς, φθάσαντας εἰς τὸν οι κον τοῦ Θεοῦ, ἑστηκέναι ἐν αὐτῷ, καὶ εὐλογεῖν αὐ τὸν, ἐπαίροντας τὰς χεῖρας εἰς τὰ α για, ι να καὶ αὐτοὶ εὐλογηθῶσιν ἀπὸ Κυρίου. 119.1 Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐ κέκραξα. Οτε καὶ μεγάλαι εἰσὶ καὶ πολλαὶ αἱ θλί ψεις, οὐ παρελκόμεθα ὑπ' αὐτῶν εἰς τὸ μὴ κεκραγέναι λεγόντες· Κύριε, ῥῦσαι τὴν ψυ χήν μου. 119.5 Κατεσκήνωσα μετὰ τῶν σκηνωμά των Κηδάρ. Βαρβάρων γένος τοῦτό ἐστι θηριωδέστε ρον διακειμένων, οι όν εἰσιν οἱ Αραβες σκη ναῖς καὶ καλύβαις κεχρημένοι, καὶ πρὸς τὴν τῶν θηρίων ἀγριότητα μὴ ἐκπεπτωκότες. 119.6 Πολλὰ παρῴκησεν ἡ ψυχή μου με τὰ τῶν μισούντων τὴν εἰρήνην. Ἀλλ' οὐδὲν η ττον τῷ ἑαυτῷ ἐποίησέ τι ὁ ἀπὸ τῆς Ἱερουσαλὴμ ὁρμώμενος· ει τα ἑρ μηνεύεται εἰρήνης ο ρασις, ι ν' οἱ τοῦ σκοτασ μοῦ τῆς Κηδὰρ ἀποστρέφωνται. 119.7 Ημην εἰρηνικὸς, ο ταν ἐλάλουν αὐ τοῖς, ἐπολέμουν με δωρεάν. Τότε μάλιστα χαλεπώτεροι γίνονται πο λεμοῦντες οἱ δαίμονες, ο ταν τις αὐτοῖς πρὸς τοὺς λογισμοὺς ἀποκρίνηται· καὶ διδάσκει ἡμᾶς τοῦτο ποιεῖν ὁ Χριστὸς πειραζόμενος· νηφούσης γὰρ ε σται διανοίας πρὸς τοὺς λο γισμοὺς ἀπαντᾶν· νήφειν δὲ ἡμᾶς ἐν τῇ πά λῃ οὐ βούλονται οἱ ἐχθροὶ, ι να μὴ εὐπορή σωμεν νοημάτων ἀντικειμένων τοῖς λογισμοῖς αὐτῶν· ἐφ' ο σον γὰρ οὐδὲν αὐτοῖς προσφέρο μεν οι κοθεν, χρονίζοντες αὐτῶν ἐν ἡμῖν οἱ λογισμοὶ διαστρέφουσι τὴν ψυχήν· διὸ κα λῶς λέγει ἐν ταῖς Παροιμίαις τό· Ἀποπήδη σον, μὴ χρονίσῃς ἐν τῷ τόπῳ αὐτῆς, μηδὲ ἐπιστήσῃς σὸν ο μμα πρὸς αὐτὴν, δηλονότι τὴν ἀντικειμένην δύναμιν, η τὴν κακίαν, η ν σωματικῶς ἡ σοφία μορφοῖ εἰς γυναῖκα. 120.4 Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. Ὁ φυλάσσων Κύριος ἀπὸ παντὸς κακοῦ, οὐκ ἀπὸ νόσου, η ζημίας, η πενίας τῶν σω ματικῶν φυλάσσει, ἀλλ' ἀπὸ τῶν ἀληθῶς κακῶν καὶ βλαπτόντων τὴν ψυχήν. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ, φυ λαὶ Κυρίου, μαρτύριον τοῦ Ἰσραὴλ, τοῦ ἐ ξομολογήσασθαι τῷ ὀνόματι Κυρίου. Οτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οι κον Δαυίδ. Πᾶσαι αἱ φυλαὶ, φησὶν, ἐξ Αἰγύπτου δυ νάμει τοῦ Κυρίου ἐξελθοῦσαι, εἰς αὐτὴν ε σ πευδον τὴν πόλιν μαρτυρῆσαι, η τοι εὐχα ριστῆσαι τῷ Θεῷ τοῦ Ἰσραήλ. –Προφη τεύει ἐπὶ τῶν μελλουσῶν φυλῶν ἀναβαίνειν ἐπὶ τὴν ἀρετὴν καὶ γνῶσιν τοῦ Θεοῦ. Πρό τερον γὰρ ὁ Ἰσραὴλ ἐκαλεῖτο ἐπὶ τὴν Ἱερουσαλὴμ, καὶ ἐπὶ τὸν οι κον Κυρίου. Νῦν δὲ πᾶσαι αἱ φυλαὶ τετυχήκασι τῆς ἀρετῆς καὶ τῆς γνώσεως, ἐφ' αι ς ἐπλήρωσαν τὴν θαυ μασίαν ὑπόσχεσιν· θρόνους τε τοῦ οι κου Δα υὶδ ἱδρυνθῆναί φησιν ἐπ' αὐτῆς. Ἐπὶ καὶ βασιλείας πάντων ὁ Δανιὴλ προφητεύει, οὐχ ἑνὸς λέγων ἀρχὴν, ἀλλὰ κοινὴν ὑπὲρ ἀρίσ των καὶ θεοσεβεστάτων, δι' ω ν ἡ βασιλεία Δαυὶδ ἀνορθοῦται χάριτι Χριστοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ τοῖς δώδεκα δεδωκότος ἀποστόλοις, τοῖς ἐπὶ δώ δεκα θρόνους καθεζομένοις κρίνειν τὸν Ἰσ ραήλ. –Ἐκεῖ γὰρ θύειν, ευ χεσθαι, πανη γυρίζειν ἐκέλευσεν, ὡς α ν μὴ πανταχοῦ πλα νώμενοι, πρόφασιν ε χωσι ἐξόδους ποιεῖσθαι πρὸς ει δωλα· Θεοῦ γὰρ τοῦτο μαρτύριον ἐκά λεσεν. Τῆς γὰρ αὐτοῦ προνοίας τοῦτο μέγισ τον τεκμήριον η ν, καὶ γὰρ ε ξω ὁ νόμος· ἀνεγι νώσκετο διηγήματά τε καὶ κατορθώματα ἀρ χαίων, καὶ σύνοδον ἐποιοῦντο, τὴν πρὸς ἀλ λήλους ἀγάπην συνεσφίγγουσαν. Λέγοις δ' α ν ου τως κατὰ τὴν ἱστορίαν, ἐκεῖ ει ναι καὶ τὴν βασιλείαν καὶ τῶν ἱερέων θρόνους, ω σπερ διπλῷ στεφάνῳ καὶ διαδήματι καλλωπιζομέ νης τῆς πόλεως. Νῦν δὲ πάντων ε κπτωσις καὶ τῆς παλαιᾶς εὐδαιμονίας ἐλάχιστα λείψανα. – Ετεροι δέ φασιν, ὡς η δη τῶν πραγμά των ἀπολαύοντες, τρόπον τινα τὴν πόλιν καὶ τὸν ναὸν περιπλέκονται· α γὰρ ε χοντες οὐκ ᾐσθάνοντο, νῦν ἀπολαύοντες εὐφραίνονται, οι κοι μὲν ἀπολαύοντες, θείᾳ δὲ φιλανθρω πίᾳ κομισάμενοι. 121.7 Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. Μαθόντες, ω ου τοι, τίς ποτε η ν ἡ ῾Ιερου σαλὴμ, ευ χεσθε ὑπὲρ τῆς εἰρήνης αὐτῆς, μηδὲν ζητοῦντες ε τερον η τὰ πρὸς εἰρήνην αὐτῇ συντελοῦντα. Πυργόβαρός ἐστι νοῦς θεωρητικός. Εὐθηνία τοίνυν ἐστὶν ἀπόλαυ σις ἀνεμπόδιστος τῶν σωματικῶν ἡδονῶν. 122.2 ᾿Ιδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖ ρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσ κης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, ου τως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον Θεὸν ἡμῶν. Τῶν μὲν ἐχόντων τὸ πνεῦμα τῆς δουλείας εἰς φόβον, οἱ ὀφθαλμοὶ εἰς χεῖρας κυρίων καὶ εἰς χεῖρας κυρίας· τοῦ δὲ τὸ πνεῦμα τῆς υἱοθεσίας ε χοντος πρὸς Κύριον τὸν Θεὸν, ι να α μα τῷ κελευσθῆναι εἰς ἐνέργειαν μεταβάλῃ τὴν πρόσταξιν, οἰκτιρμὸν ε χειν παρ' αὐτοῦ ἡγούμενος τῷ προσταχθῆναι ποιῆσαι αὐτῷ δοκοῦντα. Καὶ ω σπερ δὲ πολλάκις οἰκέται καὶ θεραπαινίδες ἐνατενίζουσι ταῖς χερσὶ τῶν δεσποτῶν ἐν ταῖς ἑστιάσεσιν, τροφῆς τι παρ' αὐτῶν λαβεῖν προσδοκῶντες, ου τως καὶ ἡμεῖς παρὰ τῶν σῶν χειρῶν ἐλπίζομεν τυ χεῖν τῶν παρὰ σοῦ ἀγαθῶν, οὐ ῥητῷ δὲ χρό νῳ ταύτην τὴν ἐλπίδα περιορίζομεν, ἀλλὰ προσμένομεν ε ως α ν ἀξιωθῶμεν τοῦ οἰκτει ρῆσαι ἡμᾶς. 123.3,4,5 Αρα ζῶντας α ν κατέπιον ἡ μᾶς ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς· α ρα τὸ υ δωρ α ν κατεπόντισεν ἡμᾶς, χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν· α ρα διῆλ θεν ἡ ψυχὴ ἡμῶν τὸ υ δωρ τὸ ἀνυπόστατον. Τὸ δέ· Αρα ζῶντας α ν κατέπιον ἡμᾶς, δόξει ὑπερβολικῶς εἰρῆσθαι, οὐχ ου τως ε χον· δηλοῦται γάρ τι ἐκ τούτου, ὡς καὶ υ δωρ κατεπόντισεν ἡμᾶς, η καὶ χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ου υ δωρ τὸ ἀνυπόσ τατον. ᾿Ιωνᾶς γοῦν ζῶν κατεπόθη, καὶ κα τέπιεν αὐτὸν ὁ θάνατος ἰσχύσας. Τροπικῶς δὲ ταῦτα ει ρηκεν, ἐπειδὴ γὰρ ει πεν· Αρα ζῶντας α ν κατέπιον ἡμᾶς, δείκνυσι τὴν τοῦ πλήθους ὑπερβολὴν, χειμάῤῥου δίκην προσ βαλόντος καὶ συγκαλύψαι α παντα προσδο κήσαντος· ἁρμοδίως δὲ τοῦ χειμάῤῥου τέ θεικε τὴν εἰκόνα· καθάπερ γὰρ ὁ χείμαῤ ῥος ἐκ πολλῶν ἀθροιζόμενος ὀχετῶν σφο δρότερος γίνεται, ου τως οἱ τηνικαῦτα τῇ ῾Ιερουσαλὴμ προσβαλόντες, ἐκ πολλῶν καὶ διαφόρων ἐθνῶν συνηθροίσθησαν, ἀλλὰ κα τελύθησαν ψήφῳ δικαίᾳ· τοῦτο γὰρ ὁ προ φήτης διδάσκει. 123.6 Χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν ... Εὐλογητὸς Κύριος, ο ς οὐκ ε δωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. Χείμαῤῥον δὲ πάλιν λέγει τοὺς λογισ μοὺς, διὰ τὸ μὴ χρονίζειν αὐτοὺς, ἀλλὰ ἀ θρόως ἐπιπηδᾶν εἰς τὸν νοῦν καὶ πάλιν ξηραί νεσθαι, ῥαθυμοῦντες· γεγόνασι γὰρ ἰσχυροὶ, κατασταλέντες μὲν, γνόντες σαρκὸς κινή ματα· ἀφανισθέντες δὲ τοῦ τῆς ἁμαρτίας φορτίῳ, καὶ πνεύματος ἐλάβομεν χάριν. – Τρέφει τε ἡμᾶς ἰδίῳ σώματι, καὶ ποτίζει τῷ αι ματι, ἀκαμπὲς δορὺ παρέσχεν ἡμῖν τὸν σταυρόν. 123.7 ῾Η ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσ θη ἐκ τῆς παγίδος τῶν θηρευόντων. Οὐ γὰρ μόνης ἀπελαύσαμεν τῆς σωτη ρίας, ἀλλὰ καὶ τῶν ἐχθρῶν τὸν ο λεθρον ει δο μεν. 124.1 Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ο ρος Σιών· οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κα τοικῶν ῾Ιερουσαλήμ. Ου τε γὰρ ο ρος σαλεύσειέ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τις, ου τε τὸν ἐπὶ  Θεὸν ἠλπικότα, ὡς ου τε τὸν Δανιὴλ, ου τε  τοὺς τρεῖς παῖδας, [εἰ] καὶ τῆς πατρίδος [ἐ ξεβλήθησαν], καὶ τοσούτῳ κλύδωνι συνεί χοντο· μόνον γὰρ πτῶσις ἀρετῆς καὶ ψυχα πώλεια. ᾿Αλλ' οὐδὲ σαλεύεταί τις, τῆς α νω  τυχὼν ῾Ιερουσαλήμ. –Οὐκ ει πεν δηλονότι οὐ σαλευθήσεται ὁ κατοικήσας, ἀλλ' ὁ κα τοικῶν· αἱ γὰρ ἀρεταὶ ἐν τῷ ἀεὶ γενέσθαι  ε χουσι τὸ ει ναι.  124.3    Οτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον  τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δι καίων.  ῾Ο Κύριος τῷ κλήρῳ τῶν δικαίων τὴν  τῶν ἁμαρτωλῶν ῥάβδον οὐ τέθεικεν.    124.4  ᾿Αγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς καὶ  τοῖς εὐθέσι τῇ καρδίᾳ.  ῾Ημῶν δὲ δείκνυσι τὴν ἀρχὴν τῆς ἀπο λαύσεως τῆς ἐνθέου καὶ κολάσεως, εἰ καὶ  διὰ φιλανθρωπίαν νικᾷ μὲν ταῖς ἀντιδόσεσι,  τὰς δὲ κολάσεις μειοῖ. –῾Ο κατὰ φύσιν ω ν  ἀγαθὸς, τοῖς ἐπιμελείᾳ γενομένοις ἀγαθοῖς  συντήρησον τὴν πρὸς τὴν σὴν ἀγαθότητα  αὐτῶν διάθεσιν ἀδιάπτωτον.  124.5   Τοὺς δὲ ἐκλίνοντας εἰς τὰς στραγ γαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομέ νων τὴν ἀνομίαν.   Οὐκ ἐργασαμένων, ἀλλ' ἐργαζομένων.  Δίκαια δὲ τὸν Θεὸν ὁ προφήτης αἰτεῖ, ἀγα θούς τε καὶ πονηροὺς τῶν προσηκόντων τυ χεῖν. Τί γὰρ ει χον οἱ κατὰ τοῦ᾿Ισραὴλ  στρατεύσαντες ἐγκαλεῖν, πλὴν εἰ μὴ τὴν  ἐκδοθεῖσαν ἐλευθερίαν· ἡ γὰρ ὑπερέχουσα  πάντα νοῦν εἰρήνη μόνῳ τὸν νοῦν Χριστοῦ  ε χοντι δίδοται· ἀλλὰ καὶ τῶν πολεμίων ἀ πολωλότων, ου τοι τῆς εἰρήνης ἀπέλαυσαν. 125.4,5  ᾿Επίστρεψον, Κύριε, τὴν αἰχμαλω σίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ. Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θε ριοῦσι.    Θεοδώρου. Ει ρηται ὡς οὐκ ἐν προοιμίοις  κατωρθώθη τὸ πᾶν, ἀλλ' οἱ μὲν ἐπανῆλθον,  οἱ δὲ ἐναπέμειναν· τοῦτο ἐνταῦθα οἱ ἐπα νελθόντες ἀξιοῦσιν εὐχόμενοι, μὴ μερικὴν  ε τι γίνεσθαι τὴν τῶν λοιπῶν ἐπάνοδον, ἀλλ'  ἀθρόαν καὶ κατὰ πλῆθος, μετὰ πολλῆς  τῆς ῥύμης, μετὰ πολλῆς τῆς σφοδρότητος.     Διὸ᾿Ακύλας· ὡς καταῤῥοίας ἐν νότῳ· ὁ δὲ  Σύμμαχος· ὀχετούς· ἡ δὲ πέμπτη· ἀφέσεις. ᾿Εν νότῳ δὲ, ἐπεὶ ὁ νότος ὑγρὸς ω ν, νεφῶν  τὸν ἀέρα πληροῖ καὶ ο μβρους ἐπάγει σφο δροὺς, ἀλλὰ καὶ τὸν χιόνα διαλύων, ἐμπί πλησι τοὺς χειμάῤῥους ὑδάτων.  Η νότον τὴν  ῾Ιερουσαλὴμ καλεῖ ἀπὸ τῆς θέσεως.  Ινα τί; ι να παρόμοιοι, φησὶν, εὑρεθῶμεν τοῖς σπεί ρουσι μετὰ δακρύων, θερίζουσι δὲ μετ' εὐ φροσύνης· η  περὶ τῶν καταλοίπων εὐξαμέ νοις ἀντιφθέγγεται λέγων ὁ προφήτης, ο τι  εἰ κλαύσαιεν κἀκεῖνοι, ε σται καὶ αὐτοῖς ἐ πιστροφή.  126.1   ᾿Εὰν μὴ Κύριος οἰκοδομήσῃ  οι κον,    εἰς  μάτην  ἐκοπίασαν  οἱ  οἰκοδομοῦντες.      ῾Ως μεγαλοφρονούντων τῶν᾿Ιουδαίων ἐπὶ  τῷ στερεῷ τῆς οἰκοδομῆς τῶν ἐκκλησιῶν τὰ τοιαῦτά φησι.  126.2  Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν·  ἐγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες  α ρτον ὀδύνης.   Ωσπερ ὁ υ πνος τρέφει τὸ σῶμα, πέπτων  τὰς τροφὰς διὰ τοῦ χυμοῦ, ου τω καὶ ἡ γνῶ σις τὴν ψυχὴν, τοὺς τῆς πρακτικῆς αὐτὴν  λόγους διδάσκουσα.  127.3  ῾Η γυνή σου ὡς α μπελος εὐθηνοῦσα  ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου.   Γυνὴ τοῦ νοῦ ἡ σοφία ἐστίν. ᾿Εράσθητι  γὰρ, φησὶν, αὐτῆς, καὶ τηρήσει σε. Τίμησον  αὐτὴν, ι να σε περιλάβῃ, καὶ κτήσῃ ἀπ' αὐ τῆς λόγους σοφοὺς καὶ δόγματα ὀρθά. Λέ γει δὲ αὐτὴν καὶ ἀδελφὴν τοῦ νοῦ ει ναι· Ει  πον τὴν σοφίαν ἀδελφὴν σὴν ει ναι. ᾿Αδελ φὴν δὲ αὐτὴν ὀνομάζει, διότι καὶ αὐτὴ ἐκ     τοῦ Πατρὸς τῶν πάντων ἐστί. Μνημονευτέον  δὲ καὶ τοῦ῾Αβραὰμ πῶς τὴν ἰδίαν γυναῖκα  ὠνόμασεν ἀδελφὴν, πάντως τοῦ βουλομένου  τὴν σοφίαν ει ναι διδάσκων.  128.π  ᾿Ωδὴ τῶν ἀναβαθμῶν. ῾Υπόθεσις. Χρηστὰς ἐλπίδας ἐμβάλλει  τοῖς ἐκ τῶν πολεμίων πρὸς τὴν οἰκοδομίαν ἐμποδιζομένοις, ὡς α ν ἐκ τῶν παρελθόντων  μὴ ἀπογινώσκοιεν πρὸς τὸ μέλλον· καίτοι  πολλάκις ἡττήθησαν καὶ ἁλόντες μετέστη σαν, ἀλλ' οὐκ ἐκείνων δυνάμει, τῇ δὲ σφετέ ρᾳ παρανομίᾳ, καὶ οὐδὲ ου τοι ι σχυσαν ἐξα φανίσαι τὸ γένος.᾿Αλλ' ο σον ὁ Θεὸς ἐδίδου  σωφρονίζειν, ἐκράτουν.  128.2-8   Πλεονάκις ἐπολέμησάν με ἐκ νεό τητός μου, εἰπάτω δὴ᾿Ισραήλ ... Καὶ γὰρ  οὐκ ἠδυνήθησάν μοι.᾿Επὶ τοῦ νώτου μου ἐτέκταινον οἱ ἁμαρτωλοί.᾿Εμάκρυναν τὴν  ἀνομίαν αὐτῶν. –Κύριος δίκαιος συνέκο ψεν αὐχένας ἁμαρτωλῶν. –Αἰσχυνθήτω σαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάντες οἱ μισοῦντες Σιών. –Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ο ς πρὸ τοῦ ἐκσπασ θῆναι ἐξηράνθη. –Ου οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐ τοῦ ὁ τὰ δράγματα συλλέγων. –Καὶ οὐκ ει πον οἱ παράγοντες· Εὐλογία Κυρίου ἐφ' ὑ μᾶς. Δηλοῖ δὲ τὸ ἐπὶ τοῦ νώτου τὸ δολερόν τε καὶ υ πουλον, η τὸ μετὰ πλείστης σφοδρότη τος· αὐτὴν γάρ μου συνθλάσαι τὴν δύναμιν ἐπεχείρουν. Πλεονάκις ἐπολέμησαν κτλ. Τὸν νῦν μάρτυρα καλεῖ, τὸν μηδέποτε ἡττη θέντα, καὶ διὰ τοῦτο ᾿Ισραὴλ ἐπικαλεῖται. –Μακρύνουσι τὴν ἀνομίαν αὐτῶν οἱ ἐχ θροὶ, συνεχεῖς πειρασμοὺς ἐπιπέμποντες, η τοι κατὰ διάνοιαν, διὰ τῶν λογισμῶν, η καὶ ἐκ τῶν ε ξωθεν, ὡς ἐπὶ τοῦ ᾿Ιώβ. –᾿Αντὶ δὲ τοῦ ἐτέκταινον ἠροτρίασαν ἐξέδωκεν ε τερος· τουτέστιν [α ρατρον] ει χον τὴν ἐπιβου λὴν τὴν ἐμὴν περὶ Κύριον, φησὶν, ὁ νική σας, ἀλλ' ὁ συγκόψας αὐτῶν τοὺς αὐχένας Θεὸς, ἑκατέρου ἑρμηνεύσαντος βροχοὺς, τουτέστιν ἐπιβουλὰς, α ς ἐπιδείκνυσιν, ἀρχο μένης τῆς πόλεως, φύεσθαι, ὡς καὶ τῇ ἐκ κλησίᾳ πολλοὶ κατ' ἀρχὰς ἐπετίθεντο βασι λεῖς, αἱρέσεις, δῆμοι. –Παραθαῤῥύνας διὰ τῆς τῶν προλαβόντων διηγήσεως, τοῦτο νῦν καὶ δι' εὐχῆς ἀπεργάζεται, τὴν τοῦ πολέ μου δεικνὺς ὑπόθεσιν α δικόν τε καὶ διὰ φθό νον, οι ς ἁρμόττει τὸ αἰσχυντήθωσαν, α μα δὲ καὶ διὰ τοῦ χόρτου τῶν δωμάτων, τὴν τῶν ἐναντίων εὐτέλειαν καὶ τὸ εὐκατάπτωτον διά τε τοῦ τόπου καὶ τοῦ φύντος ἐν αὐτῷ· αἱ γὰρ ε φοδοι τῶν πολεμίων τοιαῦται, μὴ ῥίζαν ε χουσαι, μὴ ὑπόστασιν, ἀλλὰ δοκοῦ σαι πρὸς ὀλίγον ἀνθεῖν. –Ταῦτα τὰ δράγ ματα τῶν ζιζανίων ἐστὶν, καὶ οὐ πληροῖ τὸν νοῦν· οὐ γάρ ἐστιν ἐκ τοῦ πληρώματος, τοῦ τὰ πάντα ἐν πᾶσι πληρωμένου· διόπερ καὶ οἱ α γιοι, ου ς παράγοντας ει πε τὸν κόσμον τοῦτον, οὐκ εὐλογοῦσι, τὰ δράγματα ταῦτα συνάγοντες. Εστι καὶ δράγματα κακίας καὶ ἀγνωσίας. – Οταν δὲ ἐμφυὴς ψυχὴ καὶ δύναμις τελεία ματαία ῃ καὶ ψευδῆ μαθή ματα, τὰ τοιαῦτα χόρτος ἐστὶ δωμάτων. 129.3-5 ᾿Εὰν ἀνομίας παρατηρήσῃς, Κύ ριε, Κύριε, τίς ὑποστήσεται; Οτε παρὰ σοὶ ὁ ἱλασμός ἐστιν, ε νεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε. ᾿Απὸ φυλακῆς κτλ. ῾Ο δὲ τοῦ Κύριε διπλασιασμὸς, θαυμά ζοντός ἐστι τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὸν ο γκον, παρ' η ς καὶ τὸν ἱλασμὸν ει ναί φησιν, ἀλλ' οὐκ ἐν τοῖς ἡμετέροις κατορθώμασιν. Ενεκεν, ὡσεὶ ε λεγεν, τῆς γνώσεώς σου ὑ πέμεινά σε, Κύριε, η διὰ τὸ τοῦ Θεοῦ ο νο μα ὑπομονὴ κρείττων τῆς δι' α λλο τι. – Ταῦτα τῶν μὴ διὰ χρείαν βιωτικὴν, δι' αὐ τὸ δὲ τὸ σεπτὸν ο νομα προσιόντων, ου τω καὶ ἐν ὑπομονῇ τρεχόντων τὸν προκείμενον ἀγῶνα, καὶ κατὰ μηδένα καιρὸν ἀφισταμέ νων Θεοῦ καὶ τῶν ἀρεσκόντων αὐτῷ. – ᾿Αντὶ δὲ τοῦ ὀνόματος ᾿Ακύλας μὲν καὶ Θεοδοτίων φόβον ἡρμήνευσαν· Σύμμαχος δὲ νόμον. Οὐ γὰρ ἀπαγορεύω, φησὶν, εἰδὼς ο τι καθάπερ νόμον ε χεις τὸν ε λεον, ἀλλὰ ἀ ναμένω τῶν ἀγαθῶν τὴν ὑπόσχεσιν. Ταύτην γὰρ ὁ λόγος δηλοῖ, διότι φιλανθρωπίαν τοῖς μετανοοῦσιν ὑπέσχετο. Τὸ γὰρ τίμιον αὐτοῦ λύτρον ὑπὲρ ἡμῶν δέδωκεν αι μα, γενόμενος ἀμνὸς τοῦ Θεοῦ· ου τος γὰρ τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται. ᾿Ε ποίησε δὲ καὶ λύτρωσιν τῷ λαῷ αὐτοῦ, κα τὰ τὸν Ζαχαρίαν, καὶ κατὰ τὴν ἁγίαν Παρ θένον· ᾿Αντελάβετο ᾿Ισραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους. Δεῖ γὰρ ἐν τοῖς σκυθρω ποῖς προσδοκᾶν ἐπὶ Κύριον· οὐ γὰρ μόνον ο τε φυλακὴ πρωϊνὴ καὶ λαμπρὰ τὰ παρόν τα, ἀλλὰ καὶ μέχρι τῶν ζοφερῶν περιστά σεων· ἀλλὰ καὶ ἀνατείλοντος τοῦ ἀληθινοῦ φωτός, ὁ θεωρητικὸς νοῦς προσθήκην ἐκ Θεοῦ τῶν φαιδρῶν καὶ τῶν σκυθρωπῶν ἀ παλλαγὴν ἠλπίσατο· παραιτέω γὰρ ὡς ἐν πηγῇ, καὶ παρ' αὐτῷ τῷ ε λεος· τὸ αὐτῷ ο ντι λυτρώσει καὶ τῷ ἱλασμῷ τῷ ἱκανῶς πολλὰς τὰς ἁμαρτίας περικαθαίροντι. 130.π ᾿Ωδὴ ἀναβαθμῶν. ῾Υπόθεσις. Παιδεύει διὰ τούτων τὸν ἀ κροατὴν, [μὴ] μετὰ κακῶν ἀπαλλαγὴν ἐπα νελθεῖν εἰς ἀπόνοιαν, καὶ τῶν ἐκ ταύτης πά λιν πειραθῆναι κακῶν, ἑτέρας δεηθέντα ἁ λώσεως, μὴ ἀνεσπακέναι, λέγοντα τὰς ὀ φρῦς τῆς ε νδον πληγῆς, τοῦ πάθους κατα τεινούσης μοι τὸν αὐχένα. 130.1 Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, οὐδὲ ἐπορεύθην ἐν μεγάλοις,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. ᾿Εν μεγάλοις δὲ λέγει, τοῖς ὑπερηφάνοις ἀνδράσιν· καὶ τοὺς τὸ πάθος γὰρ ε χοντας ε φευγον, τὴν ἐξ αὐτῶν ἐφορώμενος λύμην. –Πρὸς δὲ τὸ μὴ ἐπαρθῆναι, φησὶν, τὴν ἐ ναντίαν ἀρετὴν εἰς ὑπερβολὴν ἐπετήδευον, η ν καὶ ὁ σωτὴρ ἐδίδασκε, λέγων· ᾿Εὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. 130.2 Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ υ ψω σα τὴν ψυχήν μου, ὡς τὸ ἀπογεγαλακτισ μένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώ σεις ἐπὶ τὴν ψυχήν μου. ᾿Απογαλακτισθέντα δὲ λέγει παιδία, τὴν θλῖψιν δηλῶν· οὐ γὰρ ἀφίσταται τῆς μη τρὸς, ὀδυνώμενος ἐπὶ τῷ στερηθῆναι τοῦ γά λακτος· ου τως ω ν ἐν συμφοραῖς κἀγὼ, φη σὶν, ηὐχόμην ἀεὶ τῷ Θεῷ· εἰ δὲ μὴ ου τως η ν, δίκην δοίην ἐσχάτην· καὶ α λλως τῇ τοῦ ἀπογεγαλακτισμένου ψυχῇ μισθὸν ἀνταπο δίδωσι Κύριος τῆς ἐπὶ τοσοῦτον ἀναβάσεως· ὁ δὲ τοιοῦτος ἑαυτὸν οὐχ ὑψοῖ, ἀλλ' ἐπὶ τὴν ἑαυτοῦ μητέρα ὑψοῦται, περὶ η ς ει ρηται·῾Η δὲ α νω῾Ιερουσαλὴμ ἐλευθέρα ἐστίν· η τις ἐστὶ μήτηρ πάντων ἡμῶν. Καίπερ βασιλεὺς ἐγὼ, φησὶν ὁ τοσοῦτος, ταπεινὸν ἐμαυτὸν καταστήσας, προσήγαγον τῷ ἱλασμῷ καὶ τῷ λύτρῳ τῆς σωτηρίας· ου τως εἰ ταύτην μετ έλθοι τὴν ὁδὸν ᾿Ισραὴλ, λυτρωθήσεται. Τὸ τῆς ὑπερηφανίας πάθος, καρδίας ψεκτὸν υ ψωμα καὶ ὀφθαλμῶν μετεωρισμὸν ὠνόμα σεν. 131.1 Μνήσθητι, Κύριε, τοῦ Δαυὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ. ᾿Εκείνου μνημονεύει ὁ Κύριος τοῦ ἐν ῳ γίνεται ... Εἰ δὲ πραότητος μνημονεύει ὁ Κύ ριος, πολλῆς ἀοργησίας χρεία, ι να τις δέξη ται τὸν Θεόν. – Η καὶ ὡς πρᾶος ὁ Δαυὶδ, κληρονομίαν αἰτεῖ, τὴν τῶν πραέων, γῆν. 131.6 ᾿Ιδοὺ ἠκούσαμεν αὐτὴν ἐν ᾿Εφραθᾷ, ευ ρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Περὶ τῆς σοφίας λέγει προφητικῶς, η τις ἐστὶν ὁ Χριστός. – Η καὶ α λλως· α περ η κουσαν παρὰ τῶν πατέρων, φησὶν, ὡς ἡ τοῦ Θεοῦ σκηνὴ περιείη πανταχοῦ, ἐκ τό που τόπον ἀμείβουσα, ἐν ἀγροῖς τε καὶ πε δίοις, καὶ ἡδράσθη μετὰ ταῦτα, ο δὴ γενέσ θω καὶ νῦν. ᾿Εφραθὰ δὲ νῦν λέγει τὴν ᾿Ιούδα φυλὴν, εἰς η ν μετὰ τὴν πολλὴν εἰσηνέχθη περίοδον.᾿Εν τῇ Γενέσει,᾿Εφραθὰ θυμὸν ο ρα αὐτήν.᾿Εν Δευτερονομίῳ σημαίνεται ὁ σκο πὸς ὁ τέταρτος· ἐν Μιχαίᾳ, γῆ καρποφορου μένη. Παρ' ῾Εβραίοις τὸ ᾿Εφραθὰ Μαρία σημαίνει. 131.7 Προσκυνήσωμεν εἰς τὸν τόπον, ου ε στησαν οἱ πόδες αὐτοῦ. Λέγει δὲ ο τι ἐκεῖ προσκυνοῦμεν, θείας ἐ πιφανείας τὸν ναὸν ἠξιῶσθαι πιστεύοντες· ταύτην γὰρ ε χει διάνοιαν τό· Ου ε στησαν οἱ πόδες αὐτοῦ. ᾿Ασώματον γὰρ καὶ ἀπερίγρα φον τὸ θεῖον· σωματικώτερον δὲ ἡ γραφὴ περὶ αὐτοῦ διαλέγεται, ταῖς ἀνθρωπίναις ἀ κοαῖς μετιοῦσα τοὺς λόγους. Προσκυνοῦμεν τὴν σάρκα τοῦ σωτῆρος [οὐ] διὰ τὴν φύσιν, ἀλλ' ἐπειδὴ ὁ Χριστός ἐστιν ἐν αὐτῇ· καὶ ἡ μὲν σὰρξ προσκυνητὴ διὰ τὸν Θεὸν Λόγον, τὸν ἐν αὐτῇ. –Χριστὸν δὲ ἐνταῦθά φημι τὴν λογικὴν ψυχὴν, τὴν μετὰ τοῦ Θεοῦ Λό γου ἐπιδημήσασαν τῷ βίῳ τῶν ἀνθρώπων· μόνη γὰρ σὰρξ οὐ πέφυκε δέχεσθαι Θεὸν, διότι ὁ Θεὸς ἡμῶν σοφία ἐστίν.᾿Εν δὲ καρ δίᾳ ἀγαθῇ, φησὶν ὁ Σαλομὼν, ἀναπαύσεται σοφία. Οὐδὲν δὲ συνεστώντων ἐκ τῶν τετ τάρων στοιχείων γνώσεώς ἐστι δεκτικόν. Γνωστὸς δὲ ἡμῶν ἐστιν ὁ Θεός. 131.8 ᾿Ανάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυ σίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. ῾Η σὰρξ μέν ἐστι κιβωτὸς τοῦ Κυρίου· κιβωτὸς δὲ Θεοῦ ὁ Χριστὸς, ει περ ὁ Θεὸς η ν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ. Καὶ α λλως ἀνάπαυσιν Θεοῦ καλοῦσιν τὴν κατὰ νόμον λατρείαν, οὐχ ο τι δεόμενος η ν, ἀλλ' ο τι τοῖς εὐσεβοῦσιν ἀνενεπαύετο. Τῷ δὲ ναῷ τὴν θείαν χάριν καὶ τὴν ἐπιφάνειαν ἀξιοῦσιν αυ θις ἀποδοθῆναι. Μέμνηται δὲ τῆς κιβωτοῦ, ἐπειδὴ ἐν τοῖς ἁγίοις τῶν ἁγίων ε κειτο, τὰς πλάκας ε χουσα, δι' ου τῷ ἀρ χιερεῖ μηνύματά τινα τῆς θείας ἐπιφανείας ἐγίνετο. 131.9 Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύ νην, καὶ οἱ ο σιοί σου ἀγαλλιάσονται. Οὐκέτι φησὶ κατὰ τὸν νόμον στολὰς, ἀλλ' αὐτὴν τὴν δικαιοσύνην· δικαιοσύνη δὲ ὁ Χριστός. Ωσπερ ἐνδύεταί τις δικαιοσύνην, ου τω καὶ σωφροσύνην καὶ ἀνδρείαν καὶ ἀ γάπην καὶ μακροθυμίαν καὶ τὰς λοιπὰς ἀ ρετάς. Καὶ τοῦτό ἐστι τὸ ἐν τοῖς εὐαγγε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λίοις ε νδυμα γάμου, ἱερατικὸν ε νδυμα δι καιοσύνη, ο περ ἑαυτῷ τις ἐνδύεται, διὰ τὸ ει ναι δίκαιος, ι να μετὰ τοῦτο αὐτὸς ὁ Θεὸς ἐνδύσῃ αὐτὸν σωτηρίας, ὡς ἐπηγγείλατο λέ γων· Τοὺς ἱερεῖς αὐτῶν ἐνδύσω σωτηρίαν. Τοὺς μέντοι ἐχθροὺς τοῦ Θεοῦ, φησὶν, ἐν δύσει αἰσχύνην. ᾿Ανωτέρω μέν· Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, λέγεται. Μετ' ὀλίγα δέ· Καὶ τοὺς ἱερεῖς αὐτῆς ἐνδύσει σωτηρίας· ο ταν γὰρ ἐκ τοῦ ἐφ' ἡμῖν ἐνδύσωνται δι καιοσύνην, τότε ἀπὸ Θεοῦ ἐνδύσονται σωτη ρίας. Μετ' ὀλίγα δέ. Καὶ οἱ ο σιοι σου ἀγαλλιά σει ἀγαλλιάσονται. Τῇ γὰρ ἐκ τοῦ ἐφ' ἡμῖν ἀγαλλιάσει καὶ οἱ ο σιοι τοῦ Θεοῦ ἀγαλλιά σονται. 131.11 Ωμοσε Κύριος τῷ Δαυὶδ ἀλήθει αν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. Λέγει δὲ καὶ ὁ ᾿Ωριγένης· Τὸ ἀψευδὲς τῆς ἐπαγγελλίας, ο ρκον ὠνόμασεν. Ανθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσιν· ὁ δὲ Θεὸς κατ' οὐδενὸς ε χει ὀμόσαι. –᾿Εκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρό νου σου. Καὶ δώσει αὐτῷ, φησὶ Γαβριὴλ τῇ Μαρίᾳ, ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πα τρὸς αὐτοῦ. Θρόνος μέν ἐστι τοῦ Θεοῦ ἡ φύ σις ἡ λογική· θρόνος δὲ Χριστοῦ ἡ θεωρία τῶν γεγονότων καὶ γενησομένων αἰώνων. 131.15 Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλο γήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω α ρτων. Ταύτης τῆς θήρας ὁ ἐν ταῖς Παροιμίαις οὐκ ἐπιτεύξεται δόλιος. ᾿Εκ ταύτης δὲ θήρας η ν καὶ τὸ προσενεχθὲν βρῶμα τῷ ᾿Ισαὰκ ἀ πὸ ᾿Ιακὼβ τοῦ παιδὸς αὐτοῦ. 131.16 Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτη ρίαν, καὶ οἱ ο σιοι αὐτῆς ἀγαλλιάσει ἀγαλ λιάσονται. Θήρα, πτωχοὶ, ἱερεῖς, ο σιοι, τέσσαρα ει δη τῶν οἰκείων τῆς Σιών. 131.17 ῾Ητοίμασα λύχνον τῷ Χριστῷ μου. ᾿Εκεῖνος η ν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων. 131.18 Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύ νην· ἐπὶ δὲ τὸν αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου. Διὸ καὶ ἐπ' αὐτὸν ἐξανθήσει τὸ ἁγίασμα αὐτοῦ, περὶ ου φησιν ἐν ῾Ησαΐᾳ· Καὶ α νθος ἐκ τῆς ῥίζης ἀναβήσεται, ῳ ἀκολούθως τό· Τὰ α νθη τῆς γῆς ω φθη ἐν τῇ γῇ ἡμῶν, τῷ ει ναι α νθη τοιαῦτα εἰληφότα πρὸς τοῦ ἐξαν θουμένου ὑπὸ Κυρίου ἁγιάσματος. Τοῦτο γὰρ τὸ ἐξανθοῦν ἁγιάζει τοὺς προσπελάζον τας αὐτῷ· αὐτὸ ο ν τὸ α γιον τοῦ Θεοῦ καὶ α νθος, ω στ' α ν εἰπεῖν· ᾿Εγὼ α νθος τοῦ πε δίου, καὶ κρῖνον τῶν κοιλάδων. ᾿Επὰν ου ν αὐτὰ ποιῇ τὸ α νθος καὶ τὸ κρῖνον τοῦ πε δίου καὶ κρῖνον τῶν κοιλάδων, εἰκότως ὀφ θήσεται τὰ α νθη ἐν τῇ γῇ ἡμῶν, ἐξανατεί λαντος τοῦ Θεοῦ τὸ ἁγίασμα αὐτοῦ ἐπὶ τοὺς πεφωτισμένους καὶ νεάζοντας ει ναι ἐπὶ τὴν μακαρίαν καὶ πνευματικὴν ἑορτήν. 132.1 ᾿Ιδοὺ δὴ τί καλὸν η τί τερπνὸν, ἀλλ' η τὸ κατοικεῖν ἀδελφοὺς ἐπιτοαυτό. Ου τοι κατοικοῦσι ἐπιτοαυτὸ, οἱ τὸ αὐτὸ ἐν Κυρίῳ φρονοῦντες. 132.2 ῾Ως μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖ νον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ ᾿Ααρὼν, τὸ καταβαῖνον ἐπὶ ω αν τοῦ ἐνδύματος αὐ τοῦ. Εἰ τὸ ε νδυμα τῶν ἱερέων δικαιοσύνη ἐσ τὶν (οἱ ἱερεῖς σου γὰρ, φησὶν, ἐνδύσονται δι καιοσύνην), ἱερεὺς δὲ η ν ὁ ᾿Ααρὼν, τὸ ε νδυ μα αὐτοῦ η ν α ρα δικαιοσύνη. ᾿Επὶ ου ν τὸν τοιοῦτον πώγωνα καὶ τὸ ε νδυμα τὸ τοιοῦτον ε ρχεται τὸ οὐράνιον μύρον, ο ἐστιν γνῶσις ἡ τοῦ Θεοῦ. Μύρον ἐκκενωθὲν, ο νομά σου. – Τοῦτον τὸν πώγωνα φέρει ὁ καταντήσας εἰς α νδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πλη ρώματος τοῦ Χριστοῦ. 133.4 Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν. ᾿Εκ Σιὼν δὲ, φησὶν, ἐπειδὴ καὶ του νομα ποθεινὸν ὑπῆρχεν αὐτοῖς, ε νθα πάσης ἁ γιστείας ὑπόθεσις η ν· ει τα διδάσκει παντα χόθεν καλεῖν, λέγων·῾Ο ποιήσας τὸν οὐρα νὸν καὶ τὴν γῆν. 134.5,6 Οτι ἐγὼ ε γνωκα ο τι μέγας ὁ Κύ ριος. Καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς. Πάντα ο σα ἠθέλησεν ὁ Κύριος, ἐποίη σεν ἐν τῷ οὐρανῷ καὶ τῇ γῇ, ἐν τοῖς θαλάσ σαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. Γνώσεως χρεία, πρὸς τὸ θεωρῆσαι τὴν με γαλειότητα τοῦ Κυρίου. –Συμμετρεῖ τὸν λόγον πρὸς τὴν τῶν ἀκουόντων ἀσθένειαν· ἀγαπητὸν γὰρ αὐτοῖς γνῶναι Θεὸν, τέως ο τι πάντων ἀνώτατος, κατασκευάζοντα τὰ μέ γιστα δείκνυσι, λέγων· Πάντα ο σα ἐποίησεν ὁ Κύριος, καλά ἐστιν, α τε θελήματι Θεοῦ γεγενημένα. –Καὶ ἐν ταῖς ἀβύσσοις ἀλλη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γορικῶς λεγομέναις οἱ καταχθόνιοι δαίμο νες, πρὸς ου ς οὐ πεμφθῆναι ἐκάλουν τὸν Χριστὸν ἐν τοῖς εὐαγγελίοις οἱ ἐπίγειοι δαί μονες.῾Η δὲ τούτων τῶν κόσμων καὶ τῶν διαφόρων σωμάτων ἀκριβεστέρα γνῶσις ἐν τοῖς περὶ κρίσεως λόγοις ἀπόκειται. – Ιδε ἐξουσίαν μηδαμοῦ Κυρίῳ κωλυομένην· τὰς ἀβύσσους γὰρ ἐποίησε, τὰς ἐπάνω τοῦ οὐρα νοῦ καὶ ὑπάτω τῆς γῆς. 134.7 ᾿Ανάγων νεφέλας ἐξ ἐσχάτων τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν, ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. Οἱ τροπικῶς νῦν λεγόμενοι α νεμοι τοὺς τῆς ψυχῆς στάχυς ἐκ τῶν καλύκων προβάλ λουσιν, ι ν' οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀ γαλλιάσει θερίσωσιν. Αλλως. Ανεμός ἐστιν φύσις λογικὴ τὸν ἀπὸ πρακτικῆς ὑψω θέντα νοῦν ἐπὶ τὴν τῆς γνώσεως μεταφέρου σα τελειότητα. 134.12-14 Καὶ ε δωκε τὴν γῆν αὐτῶν κλη ρονομίαν, κληρονομίαν ᾿Ισραὴλ λαῷ αὐτοῦ. Κύριε, τὸ ο νομά σου εἰς τὸν αἰῶνα καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. Οτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ. Τὸ δὲ συνεχὲς τοῦ λόγου τῇ δοξολογίᾳ διέκοψεν, ὡς καὶ γράφων τοῖς Γαλάταις ὁ Παῦλος. Εἰπὼν γάρ· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ τοῦ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου ᾿Ιη σοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς, ἐπήγαγεν· Ω ἡ δόξα εἰς τοὺς αἰῶνας. ᾿Αμήν. Καὶ ἀλλαχοῦ· Ων ἡ υἱοθεσία καὶ δόξα καὶ ἡ λατρεία καὶ ἡ ἐπαγγε λία, ἐξ ω ν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ω ν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. ᾿Αμήν. Καὶ νῦν ὁ προφήτης ἐννοή σας τήντε καθόλου πρόνοιαν καὶ τὰ συμ βάντα περὶ τὸν ᾿Ισραὴλ, πυρωθεὶς ἀπὸ τῆς ἀφάτου φιλανθρωπίας, δοξολογεῖ τὸν Θεὸν, ὡς α ληκτον ε χοντα δόξαν. Περὶ δὲ τοῦ λαοῦ φησιν η ο τι δίκην αὐτὸν ἀπαιτήσει, καὶ παύ σεται μετὰ ταῦτα, η ο τι ἐκδικήσει μὲν τὸν λαὸν, ἐπ' αὐτῷ δὲ παρακληθήσεται, ο ν διὰ τὴν ἐκείνων ἀξίαν [οἰκτειρεῖ], ο που γὰρ πα ράκλησις, συγγνώμης χρεία καὶ φιλανθρω πίας καιρός. –Καθάπερ γὰρ ο τε κλῆρον πατρῷον τὴν ὑπ' ἐκείνων τῶν δυσσεβῶν βα σιλέων κατασχεθῆναι γῆν τοῦ ᾿Ισραὴλ ε δω κεν ὁ τούτου Θεὸς, ἐστὶ βασιλεία τῶν οὐρα νῶν ἡ θεωρία τῶν γεγονότων· αυ τη δὲ κατὰ τὸν Κύριον ἐντὸς ἡμῶν ἐστι· τὰ δὲ ἐντὸς [ο τε] ὑπὸ δαιμόνων κεκράτηται, καλῶς λέ γονται οἱ ἀλλόφυλοι τὴν γῆν τῆς ἐπαγγελ λίας κατέχειν. 134.15-18 Τὰ ει δωλα τῶν ἐθνῶν ἀργύριον 134.15-18 καὶ χρυσίον, ε ργα χειρῶν ἀνθρώπων. Στόμα ε χουσι, καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ε χου σι, καὶ οὐκ ο ψονται. Ομοιοι αὐτοῖς γένων ται οἱ ποιοῦντες αὐτά. Ινα τὰς αἰσθήσεις ἀποβάλλωσι τὰς ψεκ τὰς καθ' α ς εἰσκινούμενοι τὰ ει δωλα θεοὺς ει ναι ὀνομάζουσι, καὶ ου τω θείαν ευ ρωσιν αι σθησιν· ου τω γὰρ πείθομαι καταρᾶσθαι τὸν α γιον ψαλμῳδόν. 134.21 Εὐλογητὸς Κύριος ἐκ Σιὼν, ὁ κα τοικῶν ῾Ιερουσαλήμ. ῾Ο ἐν καθαρᾷ καρδίᾳ κατοικῶν, κατοικεῖ ἐν ῾Ιερουσαλήμ. 135.1-3 ᾿Εξομολογεῖσθε τῷ Κυρίῳ. Ενθα οἱ βαπτιζόμενοι ὑπὸ ᾿Ιωάννου ἐξω μολογοῦντο τὰς ἁμαρτίας αὐτῶν. 135.4 Τῷ ποιοῦντι (αλιας ποιήσαντι) θαυ μάσια μεγάλα μόνῳ. Καλῶς δὲ τῷ ποιοῦντι φησὶ, ἀλλ' οὐ ποιή σαντι· διηνεκῶς γὰρ ἐνεργεῖ τὰ θαυμάσια. Τῷ δὲ μόνῳ, πρὸς ἀντιδιαστολὴν τῶν δαι μόνων, ἀλλ' οὐ πρὸς ἀθέτησιν τοῦ Υἱοῦ. 135.11 Καὶ ἐξαγαγόντι τὸν ᾿Ισραὴλ ἐκ μέ σου αὐτῶν. ῾Ως ἀγνώμοσι δὲ τὰ ἐν Αἰγύπτῳ συνεχῶς περιστρέφεται, τὴν τούτων λήθην ἐκκόπ τοντα. 135.13,14 Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις ... καὶ διαγαγόντι τὸν ᾿Ισραὴλ διὰ μέσον αὐτῆς. Θείας δὲ δυνάμεως οὐ μόνον διαίρεσις, ἀλ λὰ τὸ θαῤῥῆσαι τὸν ᾿Ισραὴλ ἐπὶ τῷ παραδό ξῳ καὶ μὴ πτοηθέντα φυγεῖν, κορυφουμένων ἑκατέρωθεν τῶν ὑδάτων· τὸ μηκέτι γενέσ θαι τὴν τῆς θαλάσσης διαίρεσιν, οὐ φύσεως ε ργον, ἀλλὰ θείαν δείκνυσι [δύναμιν] τοῦ καταποντισμοῦ καὶ τὴν ἀγανάκτησιν. 135.15 Καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθράν. Ορα δὲ καὶ τὴν μακροθυμίαν· οὐ γὰρ αὐτοὺς ἀνεῖλεν, ἀλλ' ἑαυτοὺς κατέκριναν ἀδίκως ἐπιδιωκήσαντες· διὸ καὶ πάντες πε πόνθασιν, ἀλλ' οὐ μόνος Φαραώ. 135.16 Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῷ ἐρήμῳ. Οὐκ ε λαττον τῆς θαλάσσης. τῆς ἐρήμου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ θαῦμα· πολλὰ γὰρ τὰ θάνατον ἀπει λοῦντα, λοιμὸς, αὐχμὸς, δίψα, καῦμά τε σφοδρὸν, καὶ πλῆθος θηρίων, ἁπάντων τε τῶν ἐπιτηδείων ἡ ἐρημία· οἱ δὲ, μηδενὸς λυ ποῦντος, ἐβάδιζον. 135.17-20 Τῷ πατάξαντι βασιλεῖς μεγά λους ... καὶ ἀποκτείναντι βασιλεῖς κραται οὺς, ... τὸν Σηὼν βασιλέα τῶν ᾿Αμοῤῥαί ων ... καὶ τὸν Ωγ βασιλέα τῆς Βασάν. ᾿Εκ δὲ πάντων δύο μέμνηται βασιλέων θανάτου· ἐπὶ ῥώμῃ γὰρ καὶ δυναστείᾳ καὶ μεγέθει σώματος ἐσημειοῦντο· [ὁ μὲν Σηὼν ...] ῾Ο δὲ Ωγ, πήχεις ε χων ἐννέα τὸ μῆχος καὶ πέντε τὸ ευ ρος, σιδηρᾶν ει χεν τὴν κλίνην. 135.23,24 Οτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ὁ Κύριος, καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Δηλοῖ δὲ τό· ἐν τῇ ταπεινώσει ἡμῶν ἐ μνήσθη ὁ Κύριος, ο τι η ρκεσεν αὐτὸν ἐπι κάμψαι ἡ συμφορὰ, καὶ ἐξ ἀρχῆς γὰρ ἀπαλ λάξας αὐτοὺς Αἰγύπτου, οὐκ ει πεν· ᾿Ιδὼν ει δον τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν, ἀλλὰ τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ. Πλέον ἁρμόζει ὁ λόγος, ο τι ἐν τῇ ταπεινώ σει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, τοῖς τῆς νοητῆς δουλείας ἀπαλλαγεῖσιν, η τοι τῆς αἰσ θητῆς. 135.26 ᾿Εξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρα νοῦ, ο τι εἰς τὸν αἰῶνα τὸ ε λεος αὐτοῦ. Διὸ καὶ τὴν ζωὴν α πασαν οἱ μακάριοι α νδρες τῇ περὶ τοὺς υ μνους η νεσαν φροντί δι, λέγοντες· Ασω τῷ Κυρίῳ ἐν τῇ ζωῇ αὐ τοῦ. Ην δὲ ἡ πόλις αὐτοῦ τιμία διὰ τὴν θείαν λατρείαν, ὡς προείρηται τό· Ενεκα τοῦ οι κου τοῦ Θεοῦ μου ἐξεζήτησα ἀγαθά σοι. 136.2 ᾿Επὶ ταῖς ἰτέαις, ἐν μέσῳ αὐτῆς ἐκρε μάσαμεν τὰ ο ργανα ἡμῶν. Ετερός φησι· κιθάρας ἡμῶν, α λλος· λύ ρας. Καὶ τίνος ε νεκεν τὰ ο ργανα ἐπήγοντο εἰς αἰχμαλωσίαν ἀπιόντες, οὐ μέλλοντες αὐ τοῖς χρῆσθαι; Οἰκονομεῖται καὶ τοῦτο, ω στε ἐπὶ τῆς ἀλλοτρίας ε χειν ὑπερμνήματα τῆς πολιτείας τῆς πρώτης καὶ μᾶλλον δάκνεσ θαι, ὁρῶντες τὰ σύμβολα τῆς θρησκείας. 136.3 Οτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχ μαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν, καὶ οἱ ἀπαγαγόντες ἡμᾶς· Ασατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών. Εγνων ἐγὼ καὶ δαίμονας ἀναγκάζειν λέ γειν ψαλμοὺς καὶ ᾠδὰς πνευματικὰς, ἐν αι ς ε στι τις ἐντολὴ η ν παρέβημεν, ὡς α ν ἀκού οντες καταγελῶσιν, ὡς λεγόντων καὶ μὴ ποιούντων· διὸ καὶ Δαυὶδ λέγει· Μὴ καταγε λασάτωσάν μου ὑπερήφανοι. 136.4 Πῶς ᾳ σωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; ῾Ο ἐν κακίᾳ διάγων, ἐπὶ γῆς ἐστιν ἀλλο τρίας· διὸ οὐ δύναται εἰπεῖν· Ασω τῷ Κυ ρίῳ εὐεργετήσαντί με. Τῶν γὰρ ἐξελθόντων ἐστὶν ἀπὸ κακίας τὸ λέγειν· Ασωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται κτλ. 136.6 Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγ γί μου, ἐὰν μή σου μνησθῶ. Η καὶ οὐχ ἁπλῶς σου μνημονεύω, φησὶ, προανακρούσομαι δέ σε ἐν υ μνοις τε καὶ ᾠ δαῖς, ο περ σφόδρα ποθοῦντος· ἀλλ' ου τοι μὲν ἐκπεσόντες ἐπανελθεῖν ει χον ἐλπίδας· ἡμᾶς δὲ τῆς α νω ἐκπίπτοντας ῾Ιερουσαλὴμ, οὐκ ε στιν ἐπανόδου τυχεῖν· τὸ γὰρ πῦρ αὐτῶν οὐ σβήσεται. 136.7 Μνήσθητι, Κύριε, τῶν υἱῶν ᾿Εδώμ. Οἱ υἱοὶ ᾿Εδὼμ, οἱ ἀπὸ ῾Ησαῦ, καὶ ἁλούσης τῆς ῾Ιερουσαλὴμ, ὑπανέβαινον πικρῶς, ε ως θεμελίων αὐτὴν ἀνασπᾶσθαι συμβου λεύοντες. Τοὺς Αραβας λέγει, τοὺς τοῖς Βα βυλωνίοις συνεπιθεμένους, ω ν καὶ μέμνηται συνεχῶς ὁ προφήτης, ο τι συγγενεῖς ο ντες πικρότεροι τῶν πολεμίων ἐγένοντο, ου ς, φη σὶν, ἀπαίτησον δίκην. Οὐ γὰρ μέχρι τῆς ἁ λώσεως ε στησαν· ἀνασπασθῆναι δὲ καὶ τοὺς τῆς ῾Ιερουσαλὴμ θεμελίους ἐβούλοντο. 136.8 Θυγάτηρ βαβυλῶνος ἡ ταλαίπωρος, μακάριος ο ς ἀνταποδώσει σοι τὸ ἀνταπόδο μά σου. Κατὰ δὲ τὸ ῥητὸν, οὐκ ε στιν ὁ τοσοῦτος τοῦ προφήτου θυμὸς, ἀλλ' ἐκ προσώπου τῶν αἰχμαλωτῶν ἡ πικρὰ τῆς τιμωρίας ἀπαίτη σις· ὁ γὰρ προφήτης καθ' ἑαυτὸν τό· Εἰ ἀν τεπέδωκα, φησὶν, τοῖς ἀποδιδοῦσί μοι κακὰ, καὶ τὴν παρὰ τῶν νόμων ὑπερβὰς συμμε τρίαν. 137.1 ᾿Εξομολογήσομαί σοι, Κύριε, ἐν ο λῃ καρδίᾳ μου, καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι, ο τι η κουσας πάντα τὰ ῥήματα τοῦ στό ματός μου. ᾿Εναντίον ἀγγέλων ψάλλειν ἐστὶ τὸ ἀπε ριπαύστως ψάλλειν, η τοι τυπουμένου τοῦ ἡ γεμονικοῦ ἡμῶν μόνοις τοῖς σημαινομένοις πράγμασιν ὑπὸ τοῦ ψαλμοῦ, η καὶ μὴ τυ πουμένου. Η τάχα ου τως· ἐναντίον ἀγγέ λων ψάλλει ὁ νοῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

τὴν δύναμιν. –Κατὰ δὲ τὴν ἑτέραν ε κδοσιν [ἐναντίον θεῶν] θεοὺς τοὺς ἱερεῖς καλεῖ, κατὰ τό· Οὐ θεοὺς κακολογήσῃς. Καὶ περὶ ἀγγέλων δὲ λέγεται ἐν τῷ· Χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ ἐκ στόματος αὐτοῦ ζητήσουσι δικαιοσύνην, ο τι α γγελος Κυρίου παντοκράτορός ἐστι. Δη λοῖ τοίνυν ο τι προηγουμένων τῶν ἱερέων εὐ τάκτως σὺ λειτουργήσω. 137.5 Καὶ ᾀσάτωσαν ἐν ταῖς ὁδοῖς Κυρίου, ο τι μεγάλη ἡ δόξα Κυρίου. ῾Οδοὶ Κυρίου εἰσὶν αἱ ἀρεταὶ, φέρουσαι ἐπὶ τὴν γνῶσιν τοῦ Θεοῦ. 137.6 Οτι ὑψηλὸς Κύριος, καὶ τὰ ταπει νὰ ἐφορᾷ, καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώ σκει. Τοὺς μὲν ταπεινοὺς ὁ Κύριος διὰ τῶν ἀ ρετῶν ἐφορᾷ, τοὺς δὲ κατὰ διάνοιαν ὑψη λοὺς διὰ τῆς σοφίας γινώσκει· τούτους γὰρ ἐφορᾶν καὶ γινώσκειν λέγεται ὁ Θεὸς, τοὺς ἐν οι ς χωρεῖ· καὶ τούτους μὴ ἐφορᾶν, μηδὲ γινώσκειν τοὺς ἐν οι ς οὐ χωρεῖ. Καὶ τοῦτο κα θόλου σημειωτέον ἐν πάσῃ τῇ θείᾳ γραφῇ. 137.7 ᾿Εὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζή σεις με. Εἰ ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, πέρας δὲ τῆς ἐλπίδος ἐστὶν ἡ γνῶσις ἡ τοῦ Θεοῦ, η τις λέγεται ἡμῶν ει ναι ζωὴ, καθὼς γέγραπται·᾿Εὰν πορευθῶ κτλ. 138.2 Σὺ ε γνως τὴν καθέδραν μου καὶ τὴν ε γερσίν μου. Καθέδρα ἐστὶν ε ξις ἀρίστη λογικῆς ψυ χῆς, καθ' η ν δυσκίνητος γίνεται πρὸς κα κίαν· ε γερσίς ἐστιν ἀπὸ τῶν αἰσθητῶν πραγ μάτων ἐπὶ τὰ νοητὰ μετάβασις. Τῶν δὲ κα λῶς ἱδρυμένων ἡ καθέδρα γινώσκεται ὑπὸ Θεοῦ, οι ον τῶν ἀληθῶς πρεσβυτέρων καὶ τῶν καλῶς ἐγειρομένων ἐπὶ τὰ μετὰ τὸν βίον. 138.3 Τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου ἐξιχνίασας. Τῶν καλῇ τρίβῳ χρωμένων ἐξιχνιάζει ὁ Θεὸς τὴν σχοῖνον, καὶ πάντα τὰ μέτρα τῆς ὁδοῦ τῶν τοιούτων προεῖδεν ὁ Θεός. Τὸ δέ· ἐξιχνίασας, οὐ ζητοῦντός ἐστιν, οὐδὲ μὴν ἐ ρευνῶντος, ἀλλ' ἀκριβῶς ἐπισταμένου. 138.4 Καὶ πάσας τὰς ὁδούς μου προεῖ δες. Διὰ τὸ προεῖδες, ἐπήγαγεν· 138.5 ᾿Ιδοὺ, Κύριε, σὺ ε γνως πάντα τὰ ε σ χατα καὶ τὰ ἀρχαῖα· σὺ ε πλασάς με, καὶ ε θηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Τὰ μέσα παρασεσιώπηται, διὰ τὸ τὴν κα κίαν ει ναι ἐν τῷ μεταξύ· οὐ γὰρ η ν ἐν ἀρ χῇ, οὐδὲ ε σται πάλιν ἐν τέλει. –῾Η ἐπί θεσις τῆς χειρὸς τοῦ Θεοῦ τὴν χορηγηθεῖ σαν ἡμῖν τοῦ Πνεύματος δωρεὰν σημαίνει, ὡς οἱ ἀπόστολοι διὰ τῆς ἐπιθέσεως τῶν χει ρῶν παρεῖχον Πνεῦμα α γιον. 138.7 Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; Οὐκ ε στι τόπος, ε νθα μὴ ε στιν γνῶσις ἡ τοῦ Θεοῦ, καὶ οἱ λόγοι τῶν γεγονότων· εἰ γὰρ τὰ σώματα διαφύγοι ὁ νοῦς, ἀλλ' εἰς τοὺς λόγους αὐτῶν ἐμπεσεῖται, ει τε καὶ τού τους παρέλθοι· τὴν γοῦν ἀσώματον οὐ δια φεύξεται φύσιν, ἀλλ' ἐν ἑαυτῇ ο ψεται τὸν δημιουργόν· εἰ δὲ καὶ τοὺς λόγους τῆς ἀσω μάτου φύσεως ὁ νοῦς ὑπερβαίη, ο ψεται πά λιν τὴν ἁγίαν τριάδα η τις γνῶσίς ἐστιν ἀπέ ραντος καὶ οὐσιώδης Σοφία. 138.11,12 Καὶ ει πα· Αρα σκότος κα ταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυ φῇ μου, ὡς τὸ σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ. Αλλως δὲ, σκότος ἐνταῦθα τὴν θλῖψιν καλεῖ, ὑφ' η ς, φησὶν, οὐ προσεδόκων διαφυ γεῖν, καταπατούσης με καὶ νικώσης· α θροον δὲ εἰς ἀγαθόν μοι τὰ δεινὰ μετεβλήθη· μᾶλ λον δὲ καὶ μενόντων, πολλῆς ἀπέλαυσα τῆς χρηστότητος· ἐν τοῖς γὰρ ἐναντίοις μᾶλλον δείκνυται τἀναντία, ὡς ἐν τῇ καμίνῳ δια συρίζουσα δρόσος καὶ ὡς φλὸξ α μα καὶ χά λαζα. Τὸ δέ· σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, παρὰ σοῦ, ἐξέδωκεν ε τερος· πάντα γάρ σοι ῥᾷστα βουλομένῳ μεταποιεῖν, ὡς τὴν νύκτα μηδὲν διαφέρειν ἡμέρας· μεταφορι κῶς δὲ ἀπὸ τῶν στοιχείων δείκνυσι τὴν ἐν θλίψεσιν α νεσιν, ὡς καὶ τοῖς ἐν ἀνέσει τυγ χάνει ο μοιον.᾿Ιωσὴφ γοῦν ἐν ἀτιμίᾳ τιμὴν ε σχε βασιλικήν. – Αρα σκότος κτλ. η τις ἐστὶ, φησὶν, ἐμοὶ δύναμις ἀπόῤῥητος, καὶ αὐ τή σοι τῷ Θεῷ φανερὰ τυγχάνει· καθάπερ ἐμοὶ ζοφώδης ἡ νὺξ, ου τως ἐστίν σοι φωτει νή. 138.13 Οτι σὺ ἐκτήσω τοὺς νεφρούς μου. Ου τινος τοὺς νεφροὺς κτᾶται ὁ Κύριος, λεγέτω τό· Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπι θυμία μου. Νεφροὺς ει ναί φησι τοὺς φόβῳ πληκτομένους· λέγει ου ν· Οτι σὲ διαπαν τὸς ἐφοβούμην, ἐπεὶ πρὸ ὀφθαλμῶν ει χον ἀεὶ τὴν σὴν κρίσιν. –Εἰκότως φησίν· Τὸν σὸν φόβον ἐκτησάμην, ἐπειδὴ καὶ ο τι κυόμενόν με ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σὴ περιεφρούρει πρόνοια. –Τὸ δὲ ἐκ τήσω τοὺς νεφρούς μου, ο τι περ ὁ κτώμενος κήδεται, καὶ τῆς μήτρας ἐξελθὼν, εὐθέως τῆς σῆς προνοίας ἀπέλαυσα. Εἰ ἡ ἀγνοία ββ. ῾Ο σώφρων καὶ ἀγαμίᾳ σχολάζων ἐρεῖ· Σὺ ἐκτήσω τοὺς νεφρούς μου, Κύριε. ῾Η γὰρ καθαρότης κτῆμα Θεοῦ. Ει τα γνῶσιν τῶν ὑπ' αὐτοῦ γεγονότων καὶ παραδοξοποιουμέ νων λαβὼν, ἐρεῖ· 138.14 ᾿Εξομολογήσομαι, ο τι φοβερῶς ἐ θαυμαστώθης. Εὐκαίρως μετὰ τὴν προειρημένην θεολο γίαν, τὴν ἐξομολόγησιν ἀναφθέγγεται. Θαυμάσια τὰ ε ργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα· οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ο ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτω τῆς γῆς. Τὸ ἀκατέργαστόν μου ει δον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται· ἡμέραι πλασθήσονται, καὶ οὐδεὶς ἐν αὐτοῖς. Τὸ δὲ σφόδρα, η τῷ γινώσκει, η τῷ θαυ μάσια συναπτέον. ῾Η δὲ τοῦ ὀστοῦ σύμμιξις, ἠγνοημένη τοῖς α λλοις, σοὶ καθέστηκε δήλη. Καὶ οἱ συγγραψάμενοι δὲ περὶ τῆς τῶν ζώων φύσεως καὶ γενέσεως, ἀκατάληπτον ει ναί φασι τὴν τοῦ αι ματος εἰς ὀστέα μεταβολὴν, τῶν σαρκῶν καὶ νεύρων ἀμηγέπη κατα λαμβανομένων, ὡς ε χουσιν. Καὶ ἐν ᾿Εκκλη σιαστῇ δὲ λέγεται· ῾Ως ὀστᾶ ἐν γαστρὶ τῆς κυοφορούσης, ου τως οὐ γνώσῃ ποιήματα τοῦ Θεοῦ. Οὐκ ἐκρύβη δὲ ἀπὸ σοῦ, οὐδὲ ἡ ψυχή μου ἐν ᾳ δου γεγενημένη, η τὸ σῶμα κατο ρυχθὲν καὶ εἰς γῆν διαλυθὲν, παρὰ σοῦ θεω ρεῖται. –Τὴν αἰτίαν τῆς παραβάσεως τοῦ προπάτορος ὁ μέγας Δαυὶδ ἐν ψαλτηρίῳ ἀ νακρουόμενος, καὶ πρὸς συγγνώμην αὐτῆς τὸν δεσπότην ἐξιλεούμενος, καὶ τὴν α φευκτον τοῦ Θεοῦ γνῶσιν ἐσήμανεν, καὶ τὴν μετὰ τὸ πταῖσμα τοῦ ᾿Αδὰμ εὐγνωμοσύνην ἐδήλωσεν· οὐκ ἐκρύβη τὸ ὀστοῦν μου, λέγων, ἀπὸ σοῦ, ο ἐποίησας. Οὐκ ἐκρύφη, οὐκ ε λαθέν σε, φη σὶ, τῆς γυναικός μου ὁ ο λισθος, η ν ἐκ τοῦ ὀσ τέου μου λεληθότως ἐποίησας, υ πνῳ βάρει εὐνάσας με· ἀλλ' ε γνως τὰ ἡμέτερα κρύ φια, ὁ ἐκείνην κρυφίως ὑποστησάμενος. ᾿Οσ τοῦν τὴν ψυχὴν ὠνόμασε νῦν, η ν ἐποίησε μόνος ὁ Θεὸς, κακίας ἐκτός. Υστερον δὲ γέγονεν ἐν τοῖς κατωτάτοις τῆς γῆς, τουτέσ τιν ἐν ἐσχάτῃ ἀκαθαρσίᾳ· ἀλλ' ο μως καὶ τοῦτο μέλλουσαν αὐτὴν πάσχειν προεῖδεν ὁ Κύριος, καὶ διὰ τῆς προνοίας πάλιν τῷ ἰδίῳ βιβλίῳ κατέγραψεν. Βιβλίον Θεοῦ ἐστιν ἡ θεωρία σωμάτων καὶ ἀσωμάτων, ἐν ῳ πέφυκε διὰ τῆς γνώ σεως γράφεσθαι νοῦς καθαρός. ᾿Εν δὲ τού τῳ τῷ βιβλίῳ εἰσὶ γεγραμμένοι καὶ οἱ περὶ προνοίας λόγοι καὶ κρίσεως, δι' ου βιβλίου γινώσκεται ὁ Θεὸς, ὡς δημιουργὸς καὶ σο φὸς καὶ προνοητὴς καὶ κριτής· δημιουργὸς μὲν, διὰ τὰ γεγονότα ἀπὸ τοῦ μὴ ο ντος εἰς τὸ ει ναι· σοφὸς δὲ, διὰ τοὺς ἀποκειμένους λόγους αὐτοῖς· προνοητὴς δὲ, διὰ τὰ συντε λοῦντα πρὸς ἀρετὴν ἡμῖν καὶ γνῶσιν· κρι τὴς δὲ πάλιν, διὰ τὸ διάφορα σώματα τῶν λογικῶν καὶ τοὺς ποικίλους κόσμους καὶ τοὺς περιέχοντας τοὺς αἰῶνας. Καὶ πάσας τῆς ζωῆς αὐτῶν τὰς ἡμέρας, εὐρύθμως καὶ εὐπλάστως αὐτοῖς διήγαγεν, ὡς μηδεμίαν ἡ μέραν αὐτοὺς α τοπον η α πλαστον ἐσχηκέ ναι. Τὸ μήπω πραχθέν μοι, φησὶν, ὡς η δη τε λεσθὲν καθορᾷς, καὶ τούς τε μήπω τεχθέν τας ὡς η δη τεχθέντας ἐπίστασαι. Δύναται δὲ νοεῖσθαι διχῶς τὸ [ἀκατέργαστόν μου, η τὸ] α κακον καὶ ἀπόνηρον καὶ ἀνεξέργαστόν μου ε ργον, η περίνοιαν ὀφείλεται λέγειν, ὡς τό· Ει δοσαν οἱ ὀφθαλμοί μου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται, καὶ οὐκ ε στι, φησὶν, ο μὴ συνίεις, η λανθάνει σε· ἀλλὰ καὶ τὰ μέλλοντα γινώσκεις, καὶ τὸ α κακόν μου οι δας, ο πως ἀγνοίᾳ ἠπάτημαι, καὶ τῷ ἀλήστῳ τῆς μνήμης σου πάντες οἱ λογισμοί μου ἐνσημαίνονται. 138.17 ᾿Εμοὶ δὲ λίαν ἐπετιμήθησαν οἱ φί λοι σου, ὁ Θεὸς, λίαν ἐκραταιώθησαν αἱ ἀρ χαὶ αὐτῶν. Ομοιον τό· ῾Ο δεχόμενος προφήτην εἰς ο νομα προφήτου, μισθὸν προφήτου δέχεται. Οἱ φίλοι σου λίαν ἐκραταιώθησαν, ἀνθ' ω ν με παρήγαγες· οὐκ ο ντα καὶ γεγονότα δια κρατεῖς, τοὺς σοὺς φίλους τιμῶ. 138.20 Οτι ἐρισταί ἐστε εἰς διαλογισμὸν, λήψονται εἰς ματαιότητα τὰς πόλεις σου. ᾿Εὰν γὰρ, φησὶν, ἐριστικοί τινες καὶ σο φισταὶ διώκοιεν ἡμᾶς, συναναρπάζοντες ε ν τινι ῥητῷ τῆς γραφῆς, ο περ ει ρηται· πρὸς ἑτέραν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φεύγετε λέξιν, ἐκ γὰρ τῆς διὰ παράλ ληλα τῶν ῥητῶν κρίσεως τὸ ζητούμενον ἀνα φαίνεται. Οὐ μὴ γὰρ, φησὶ, πληρώσετε πά σας τὰς γραφὰς, πόλεις ου σας τοῦ ἰσραὴλ, ε ως α ν ε λθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου, τὴν ἀλή θειαν ἐκλάμπων ἡμῖν. Ταύτας ου ν τὰς πό λεις εἰς ματαιότητα λαμβάνουσιν αἱρετικοὶ, νοοῦντες, ὡς βούλονται, καὶ μάτην οἰκοῦντες αὐτὰς, μηδὲν ὠφελούμενοι. –Αἱ λογικαὶ ψυχαὶ πόλεις εἰσὶ τοῦ Θεοῦ, πεφυκυῖαι δέ χεσθαι λόγον Θεοῦ, καὶ αὐτὸν τὸν Θεὸν, α ς τινας λαμβάνουσιν οἱ ἐχθροὶ πρὸς ματαιότη τα καὶ ἐργασίαν κακίας. 138.21 Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐ μίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκό μην; Οτι τοὺς μὲν σοὺς ἠγάπων καὶ ἀπεδεχό μην φίλους, τοὺς δὲ ἐχθρούς σου τελείως ἐμίσησα.᾿Εχθροὶ δὲ τοῦ Θεοῦ, πρώτως μὲν καὶ κυρίως οἱ ἀκάθαρτοι δαίμονες· δεύτεροι δὲ μετ'᾿Εκείνους, οι τε τὴν εἰδωλολατρείαν πρεσβεύοντες, καὶ οἱ τῶν αἱρέσεων ἀρχηγοί. –Καὶ τὸ τοὺς φίλους τιμᾶν Θεοῦ καὶ τὸ μισεῖν τοὺς ἐχθρούς τε καὶ ἀσεβεῖς· τοῦ γὰρ Θεοῦ πάντας θέλοντος σωθῆναι, πᾶς ὁ δι' ἀπάτης διαστρέφων ἐχθρὸς, μὴ συγχωρῶν εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. 138.22 Τέλειον μῖσος ἐμίσουν αὐτούς. Τέλειον δὲ μῖσος, τὸ μὴ χάριν ἑτέρου, διά τε τὸ μόνον ει ναι ἐχθροὺς Θεοῦ γινόμε νον, ὡς καὶ τελεία πρὸς τὸ ἀγαθὸν ἀγάπη, ἡ μόνῳ τῷ πόθῳ τῷ πρὸς αὐτὸ γινομένῃ· ου τως ου ν ὁ τοὺς ἐχθροὺς Θεοῦ μόνον, ἀλλ' οὐ διὰ πάθος μισῶν, ἐκτηκόμενος ἐπ' αὐτοῖς κα τὰ τὸν εἰρηκότα προφήτην· ζῆλον ἐζήλωκα τῷ Κυρίῳ παντοκράτορι, ἀνθ' ω ν κατέλι πόν σε οἱ υἱοὶ ῾Ιερουσαλήμ. –Καὶ γὰρ ὁ Θεὸς ἐπηγγείλατο μὴ ἐχθραίνειν τοῖς ἐχ θροῖς, καὶ μὴ ἀντικεῖσθαι τοῖς ἀντικειμένοις αὐτοῖς· ταῦτα γὰρ μάλιστα φιλίας τεκμήρια. ᾿Ανωτέρω μὲν γὰρ ε φη· Λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός.᾿Ενταῦθα δὲ τοὺς μισοῦν τάς σε ἐμίσησα, κἀκεῖ μεθ' ὑπερβολῆς· Οὐ γὰρ ἐμίσησα μόνον, φησὶ, ἀλλὰ καὶ ἐξέτη κόμην. 139.4 ᾿Ιὸς ἀσπίδος ὑπὸ τὰ χείλη αὐτῶν. Διάψαλμα. Μετὰ δὲ τὸ ὑπὸ χείλη αὐτῶν ε στι διά ψαλμα, ο περ λέγεται ἑβραϊστί· Σέλ. Σημαί νει δὲ τὸ ἀεὶ, συμφώνως τῷ· ο λην τὴν ἡμέ ραν παρετάσσοντο πολέμους. 139.6 Εκρυψαν ὑπερήφανοι παγίδα μοι. Διὰ τὰ πάθη ἀδυνατοῦσιν, καὶ τὴν α λο γον αὐτῶν ἐπίγνωσιν, ου τω καὶ τῇ Ευ ᾳ φη σίν· Εσεσθε ὡς Θεοὶ, γινώσκοντες καλὸν καὶ πονηρόν. 139.8,9 ᾿Επεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. Μὴ παραδῷς με, Κύ ριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ. Τὸ δὲ ἐπεσκίασας, ο τι οὐδὲ τὸ τυχὸν κα κὸν παθεῖν συνεχώρησας, οὐδ' ο σον ἀπὸ καύματος, ὡς μηδὲ θέρμης τινὸς ἀπολαῦσαι λυπούσης, ἐντρυφᾶν δὲ σκιᾷ τῇ τῶν δεινῶν ἀπαλλαγῇ. Δηλοῖ δὲ καὶ τὸ ευ κολον τῆς βοηθείας, διὰ τοῦ ἐπεσκίασας, ἀρκεῖ, λέγων, παρεῖναί σε μόνον, καὶ πάντα λέλυται, εἰ καὶ ἐγὼ, φησὶν, ὡς α νθρωπος ἐν ἐπιθυμίᾳ γέγο να τῆς ἁμαρτίας· ἀλλ' αὐτός· μὴ παραδῷς με τῷ διαβόλῳ, πανταχοῦ γὰρ ἡ γραφὴ τὸν διάβολον ἁμαρτωλὸν καλεῖ. 139.9 Διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκα ταλίπῃς με, μήποτε ὑψωθῶσιν. Οσον ὑψοῦνται νικῶντες οἱ ἐχθροὶ, το σοῦτον ἡττώμενοι αἰσχύνωνται. 139.10 ῾Η κεφαλὴ τοῦ κυκλώματος αὐτῶν. Κύκλωμα ει πεν τὸ κυκλῶσαι αὐτὸν τάγ μα· κεφαλὴν δὲ, η τοι τὸν προεστῶτα διά βολον τοῦ τάγματος τούτου· η τὸ πρῶτον ἐν τῇ καρδίᾳ πονηρὸν συνιστάμενον νόημα, περὶ ου ει πεν καὶ ὁ Θεὸς ἐν τῇ Γενέσει τό· Συντηρήσεις αὐτοῦ κεφαλήν. 139.13 Εγνων ο τι ποιήσει Κύριος κρίσιν τοῦ πτωχοῦ. Εγνω τῷ προφητικῷ πνεύματι τὰ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ. 139.14 Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου. Τῶν ἀσεβῶν παραδοθέντων τῷ αἰωνίῳ πυρί. –Εἰς ἐξομολόγησιν καὶ αι νεσιν πα ραλειφθήσονται δίκαιοι, ἀπολαύοντες δια παντὸς τοῦ προσώπου τοῦ Θεοῦ κατὰ τὸ εἰ ρημένον· Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ο τι αὐτὸν τὸν Θεὸν ο ψονται. Θεοδωτίων· Σὺν τῷ προσώπῳ σου, σὺν τῇ σοφίᾳ σου, τῇ θεωρουμένῃ ἐν τοῖς γεγονόσιν. 140.2 Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου. Τούτου κατευθύνεται ἡ προσευχὴ ὡς θυ μίαμα, τοῦ δυναμένου εἰπεῖν· Χριστοῦ εὐω δία ἐσμὲν ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀ πολλυμένοις. –Καὶ ἐστὶν ε ν ει δος προσευ χῆς ὁμιλία νοῦ πρὸς Θεὸν ἀτύπωτον τὸν νοῦν διασώζουσα· ἀτύπωτον δὲ λέγω τὸν νοῦν μηδὲν σωματικὸν κατὰ τὸν καιρὸν τῆς προσευχῆς φανταζόμενον· μόνα γὰρ ἐκεῖνα τῶν ὀνομάτων καὶ ῥημάτων τυποῖ τὸν νοῦν ἡμῶν καὶ σχηματίζει τὰ σημαίνοντά τι τῶν αἰσθητῶν· προσευχόμενον δὲ νοῦν πάντη δεῖ τῶν αἰσθητῶν ἐλεύθερον ει ναι· τὸ δὲ τοῦ Θεοῦ νόημα διασώζει τὸν νοῦν ἀναγκαίως ἀτύπωτον· οὐ γάρ ἐστι σῶμα. 140.3 Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. ᾿Επειδὴ μέγα οι δεν ἀνθρώποις τὸ κατορ θοῦν τῆς γλώσσης τὴν φυλακὴν, τὸν Θεὸν αἰτεῖ ταύτης τὴν ἐγκράτειαν τῆς γλώττης χαρίσασθαι. Οὐδὲν ου τω φυλάσσει τὴν καρ δίαν ἡμῶν, ὡς ὁ φόβος τοῦ Θεοῦ, ει γε τῷ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. 140.7 ῾Ωσεὶ πάχος γῆς διεῤῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾳ δην. Τὰς δυνάμεις τῆς ψυχῆς ὀστᾶ τῆς ψυχῆς ὀνομάζει, α περ διεσκορπίζεται, κακίας ἐ φαπτόμενα καὶ ἀγνωσίας· ευ δὲ καὶ τὸ φά ναι διεσκορπίσθη, οἱ γὰρ ἐν ἀρετῇ ο ντες ει ς εἰσιν ἐν Κυρίῳ. 140.10 Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτοῦ ἁμαρτωλοί. Τοῦ δὲ ἐνεστῶτος αἰῶνός ἐστιν ἀμφίβλη στρον διδασκαλία πνευματικὴ, τοὺς ἀποπλα νηθέντας ἀπὸ τῆς θεοσεβείας ἐπὶ τὴν ἀρε τὴν ἀνάγουσα, τουτέστι τὸν Θεόν· οἱ γὰρ τοῖς α λλοις τὰς παγίδας πηγνύντες, καθά περ τινὶ δικτύῳ τῇ θείᾳ συλληφθήσονται τι μωρίᾳ, καὶ α περ δρῶσιν ὑπομενοῦσιν, καὶ πείσονται, α τοῖς α λλοις ἐπάγουσιν. 141.5 ᾿Απώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ε στιν ὁ ἐκζητῶν τὴν ψυχήν μου. ῾Ο ἀπολέσας τὴν φυγὴν ταύτην, οὐ δύνα ται εἰπεῖν ἐν θλίψει· ᾿Εν θλίψει ἐπλάτυνάς μοι, δι' ε ξοδον ἀπὸ τῶν πταιζόντων αὐτὸν λο γισμῶν· ἐνταῦθα δὲ, η τοι ταπεινοφροσύνης χάριν τέθειται τοῦτο. Η ο ντως καὶ αὐτὸς ἀ πώλεσε τὴν φυγὴν, κατ' ἀναλογίαν τῆς αὐ τοῦ καταστάσεως πειραζόμενος, καὶ μὴ εὑ ρίσκων τοὺς λόγους τῶν προσπεσόντων αὐτῷ πειρασμῶν· πάντως γὰρ καὶ τούτῳ ἡ πάλη ἐγένετο, οὐ πρὸς αι μα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ ἐν τοῖς ἐπουρανίοις. 141.7 ῾Ρῦσαί με ἐκ τῶν καταδιωκόντων με, ο τι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. Κα ν νικήσωμεν, ἐῤῥύσθημεν ἀπὸ τῶν κα ταδιωκόντων, οι τινες ἐκραταιώθησαν, ο τε κα ταδυναστεύουσιν ἐν τοῖς μέσοις καθ' ἡμῶν. 142.2 Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ο τι οὐ δικαιωθήσεται ἐνώ πιόν σου πᾶς ζῶν. Καὶ ὁ ᾿Ιώβ φησιν· ᾿Εὰν γὰρ βούληται κριθῆναι αὐτῷ, οὐ μὴ ὑπακούσῃ αὐτῷ, ι να μὴ ἀντείπῃ πρὸς ε να λόγον αὐτοῦ ἐκ χιλίων. –Εἰ οἱ συναποθνήσκοντες τῷ Χριστῷ δι καιοῦνται, οἱ ζῶντες α ρα τὴν ζωὴν ἀντικει μένην τούτῳ τῷ θανάτῳ, οὐ δικαιοῦνται ἐ νώπιον τοῦ Θεοῦ. 142.5,6 ᾿Εμελέτησα ἐν πᾶσι τοῖς ε ργοις σου ... Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ α νυδρός σοι. ῾Ο γινώσκων τοὺς λόγους τῶν γεγονότων, ου τος μελετᾷ ἐν πᾶσι τοῖς ε ργοις τοῦ Θεοῦ. –Τῶν ἀρχαίων μνησθεὶς ἡμερῶν, τὰς διὰ μετάνοιάν σοι πράξεις ὑπέδειξα, καθαρῶς ο ντως σου διψῶν, οὐ μόνον ὡς ε λαφος ἐπὶ τὰς πηγὰς, ἀλλὰ καὶ ὡς α νυδρος γῆ διψῶσα πιεῖν· σοὶ δὲ τοιαύτη καὶ μόνῳ καὶ πρὸς σὲ τὸν Θεὸν ἡ ψυχή μου, ὡς πρὸς ἀνθρώπους δὲ παραμολεῖ γόνιμος τελεία καὶ εὐθαλής· ταύτην δὲ τὴν α νυδρον γῆν καὶ τὰς παραπλη σίους ψυχὰς ἀνύδρους τόπους διέρχεται τὸ πνεῦμα τὸ ἀκάθαρτον, οὐχ εὑρίσκον παρ' αὐ τοῖς μονὴν η ἀνάπαυσιν. Πλὴν εἰ καὶ α νυδροι τυγχάνουσιν, ἐστερημέναι τῶν φαύλων πραγ μάτων η ὑδάτων, διώκουσι τὸν Κύριον ἐπὶ τὸ ὡς ο ρθρον ε τοιμον εὑρεῖν αὐτὸν, ο τε καὶ η ξει αὐταῖς ὡς ὑετὸς πρώϊμος· διὸ καὶ ε νυδροι γενήσονται, πηγὰς ἐν αὐταῖς ε χουσαι υ δατος ζῶντος ἁλλομένου εἰς ζωὴν αἰώνιον. 142.8 ᾿Ακουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ε λεός σου, ο τι ἐπὶ σοὶ η λπισα. Τὴν θεωρίαν ἐπιζητεῖ τοῦ μέλλοντος αἰῶ νος, η ν καὶ βασιλείαν οὐρανῶν ε θος ὀνομά ζειν τῇ θείᾳ γραφῇ· τοῦτο γὰρ ἀκούειν λέ γεται νοῦς, ο γινώσκει, καὶ τοῦτο μὴ ἀ κούειν, ο μὴ γινώσκει· τὸ δὲ ε λεος τοῦ Θεοῦ πνευματικήν τινα θεωρίαν σημαίνει, ει περ νοῦς ἐστιν ὁ τοῦ ἐλέους τούτου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταξιούμε νος· ε λεον δὲ ὀνομάζει τὴν θεωρίαν, διότι αὐτὴ νοῦς κοπιῶντας ἀναπαύει καὶ πεφορ τισμένους ταῖς ἀνομίαις· καὶ γὰρ ὁ Σολο μὼν ἐν ταῖς παροιμίαις φησίν· Δότε μέθην τοῖς ἐν λύπαις, καὶ οι νον πίνειν τοῖς ἐν ὀδύ ναις, ι ν' ἐπιλάθωνται τῆς πενίας, (τουτέστι τῆς ἀγνωσίας· αυ τη γὰρ ἡ πενία φύσεως λογικῆς), καὶ τῶν πόνων μὴ μνησθῶσιν ε τι· ὁ γὰρ μεθυσθεὶς ἀπὸ τῆς πιότητος τοῦ οι νου Κυρίου, ἐπιλανθάνεται τῆς πενίας καὶ τῶν πόνων καὶ τῶν ὀδυνῶν. Οὐ μικρὸν δὲ τὸ ἐν εὐημερίᾳ γινόμενον, τῆς εὐεργεσίας μὴ πρὸς λήθην ἐλθεῖν, η καὶ τό· ἀνταπόδος, ἀντὶ τῶν ἡμερῶν τῆς ταπεινώσεως. 142.12 Καὶ ἀπολεῖς πάντας τοὺς θλίβον τας τὴν ψυχήν μου. Οὐδὲν ου τως ἀποδιώκει τοὺς ἐχθροὺς ἡ μῶν, ὡς θεωρία πνευματική. 143.1 Εὐλογητὸς Κύριος ὁ Θεός μου, ὁ δι δάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον. ῾Ο διδαχθεὶς παρὰ Κυρίου τὸν πρὸς τὴν ἀντικειμένην δύναμιν πόλεμον, ἐπίσταται λόγους ἀρετῶν καὶ κακιῶν, καὶ διαφορὰς λο γισμῶν, γνωρίσματά τε ἀπαθείας· ε τι δὲ καὶ τῶν νυκτερινῶν φαντασμάτων καὶ ἐνυπνίων γινώσκει τοὺς λόγους· ω ν οἱ μὲν ἀπὸ τοῦ λογιστικοῦ μέρους γίνονται τῆς ψυχῆς, κι νουμένης τῆς μνήμης, οἱ δὲ ἀπὸ θυμικοῦ, ε τεροι δὲ ἀπὸ τοῦ ἐπιθυμητικοῦ· ἀλλὰ περὶ μὲν τούτων ἀκριβέστερον ἐν τῷ Μονοστίχῳ περιειλήφαμεν. Τῆς γὰρ ἠθικῆς πραγμα τείας ἡ τοιαύτη τῶν λόγων ἐξέτασις. Νυνὶ δὲ ποσῶς κεκινήκαμεν τὸν ὑπὸ τοῦ Κυρίου διδασκόμενον, πόλεμον παραστῆσαι βουλό μενοι. 143.7,8 ᾿Εξαπόστειλον τὴν χεῖρά σου ἐξ υ ψους, ἐξελοῦ με, καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Ων τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐ τῶν δεξιὰ ἀδικίας. Τινὲς δὲ τὸ πλῆθος εἰρῆσθαι τῶν πολε μίων ἐνόμισαν υ δατα, διὸ ἐπήχθη τὸ ἐκ χει ρὸς υἱῶν ἀλλοτρίων· ὁ δὲ τὸ ἀσεβὲς δηλοῦν, οὐ τὸ ἀλλόφυλον, ου ς καὶ βλασφημῆσαι κα τὰ τῆς θείας δόξης φησὶν, καὶ μηδὲν ἐργά σασθαι δεξιόν. –Χείρ ἐστιν ἀλλοτρία λο γισμὸς μετὰ τοῦ παθητικοῦ μέρους τῆς ψυ χῆς ἐγγινόμενος καὶ κατέχων τὸν νοῦν· ἀλλ' αὐτὴ μὲν ἡ χεὶρ α πτεται τῶν πρακτικῶν· τῶν δὲ θεωρητικῶν ἐστιν ἡ χεὶρ γνῶσις ψευ δὴς αὐτῶν τῶν πραγμάτων η τῆς θεωρίας αὐτῶν, α δικον η α σοφον τὸν δημιουργὸν ὑ ποβάλλουσα ... 143.12 Ων οἱ υἱοὶ ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν· αἱ θυγατέρες αὐτῶν κε καλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁ μοίωμα ναοῦ. Τοῦ προτέρου λαοῦ καὶ πάντως ἀσεβοῦς τοιαῦτα τέκνα. Τοῦ δὲ δικαίου ἡ σάρξ ἐσ τιν ἀσθενὴς καὶ νενεκρωμένον τὸ φρόνημα. Αἱ θυγατέρες ἐκείνων ἑταιρικῶς καλλωπί ζονται, ὡμοιωμέναι ναῷ, ἐν ῳ πνεῦμα κατοι κεῖ πονηρὸν, ὡς [ἐκ] περιτομῆς τὸν προφήτην εἰπεῖν· ᾿Επορεύθησαν αἱ θυγατέρες Σιὼν ἐν ὑψηλῷ τραχήλῳ καὶ ἐν νεύμασιν ὀφθαλμῶν, καὶ τὰ ἐπὶ τούτοις. Οἱ δὲ α γιοι ναός εἰσι Θεοῦ, καὶ τὸ πνεῦμα Θεοῦ οἰκεῖ ἐν αὐτοῖς. Καὶ οἱ μὲν ἐπὶ τῆς γῆς θησαυρίζοντες λέ γουσι· Καθελῶ μου τὰς ἀποθήκας, καὶ μεί ζονας οἰκοδομήσω. Τῶνδε ὁ θησαυρός ἐσ τιν ἐν οὐρανοῖς· ὁμοίως δὲ αὐτῶν ἡ ποίμνη ψυχὰς ἀκεραίους καὶ ἀγαθὰ καὶ λογικὰ πε ριείληφε πρόβατα· [ἐν] τῷ ἐπιγείῳ κόσμῳ καὶ ναὸς Θεοῦ γεγόνασιν, ὡς αἱ α γιαι τῶν πιστευσάντων ψυχαί. ᾿Αλλ' [ἐκεῖνοι η σαν ὡς] ὁμοίωμα ναοῦ· προσεποιοῦντο γὰρ τὴν κατὰ νόμον ἐπιτηδεῦσαι πολιτείαν, ἀλλ' οὐκ ε σχον ἐν αὐτοῖς τὸν Λόγον, ἀλλὰ τὸ πονηρὸν πνεῦ μα· ἐθησαύρισαν γὰρ οὐ τὸν οὐράνιον, ἀλλὰ τὸν ἐπίγειον πλοῦτον. 143.14 Οὐκ ε στι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς ἐπαύλε σιν αὐτῶν. Περιτετειχίσθαι δὲ πανταχόθεν φησὶν αὐ τῶν τοὺς ἀγροὺς, δίοδον μὴ παρέχοντας. Εἰσὶ δὲ καὶ ἐν εἰρήνῃ, μηδεμίας φοβούσης κραυγῆς. Καὶ ὁ προφήτης φησί· Πλὴν κρί ματα λαλήσω πρὸς σέ. Τί; ο τι ὁδὸς ἀσεβῶν εὐοδοῦται. Καὶ πάλιν ὁ Δαυίδ φησι· Παρ' ὀλίγων ἐξεχύθη τὰ διαβήματά μου, ο τι ἐζή λωσα ἐν τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν. 143.15 Μακάριος ὁ λαὸς, ου Κύριος ὁ Θεὸς αὐτοῦ. Οἱ μὴ ὀρθῶς κρίνοντες, ἀλλὰ καὶ αὐτὰ φανταζόμενοι τὰ σαρκὸς, τῷ τούτων ἐν ἀ πολαύσει γενέσθαι πολλῇ, μακάριον ει ναι νομίζουσιν· οὐκ ε στι δὲ τοῦτο μακάριον,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλ λὰ τὸ ἐπικαλεῖσθαι Κύριον τὸν Θεὸν αὐτοῦ. 144.2 Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ο νομά σου [εἰς τὸν αἰῶνα]. ᾽Ακόλουθα δὲ ταῦτα τοῖς προλαβοῦσιν, ει πε γάρ· Εὐλογήσω καὶ ὑψώσω σε, δεικ νύσας ὡς οὐδὲν αὐτῷ προτίθησιν ἡ παρ' ἡ μῶν εὐφημία, ἑαυτοὺς δὲ λαμπρύνομεν, ἐὰν αὐτῷ τὸν αι νον προσάγωμεν. 144.3 Μέγας ὁ Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ε στι πέρας. Πάντων μὲν ἡ θεωρία τῶν γεγονότων πε περάτωται· μόνης δὲ τῆς ἁγίας Τριάδος ἡ γνῶσίς ἐστιν ἀπέραντος· οὐσιώδης γάρ ἐσ τιν ἡ σοφία. 144.4-6 Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ε ρ γα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι. Καὶ τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁ γιοσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται. Καὶ τὴν δύναμιν τῶν φο βερῶν σου ἐροῦσι καὶ τὴν μεγαλωσύνην σου διηγήσομαι αὐτήν. Λέγει καὶ Θεοδωτίων γενεὰν καὶ γενεὰν, τοὺς δύο λαούς· ου τω δὲ καὶ ἐπαίνει τὰ ε ρ γα αὐτοῦ, ὡς καὶ τὸν ποιητὴν ἑωρακέναι, θείῳ βλέμματι, ο τι πάντα καλὰ λίαν. – Σύνηθες δὲ αὐτῷ λέγοντι τοῦ Θεοῦ τὴν με γαλωσύνην, εἰς τὴν δι' ε ργων ἀπόδειξιν χω ρεῖν. Πρακτικοὶ δὲ ἐροῦσι καὶ μετ' ὀρθοῦ φρονήματος, οι ον· Εστι φοβερὸν τὸ ἐμπε σεῖν εἰς χεῖρας Θεοῦ ζῶντος, καὶ τό· ᾽Αλα λάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως, ο τι Κύριος υ ψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ταῦτα γὰρ δι' αὐτοῦ τοῦ φοβεῖσθαι καὶ σέβας ε χειν Θεοῦ· διηγήσονται δὲ καὶ ὡς πέρας μὴ ε χουσαν αὐτοῦ τὴν με γαλωσύνην, οὐ περιγράψαντες γνώσει, ἀλλ' ὡς ου σαν ἀκατάληπτον. Μόνος γὰρ ὁ Υἱὸς γινώσκει τὸν Πατέρα καὶ ὁ Πατὴρ τὸν Υἱόν· εἰ δὲ καὶ ἀποκαλύπτει τὸν Πατέρα οι ς βούλε ται, ἀλλ' ου ν ὡς ἐφικτὸν γεννητοῖς ἰδεῖν κατ' ἀναλογίαν, η τις ε χει προπαρασκευήν. Αλ λως δὲ, θαυμάσιά φησι, τὰ ἐπ' εὐεργεσίᾳ τι νῶν γενόμενα θαύματα· φοβερῶν δὲ δύναμιν τὰ ἐπὶ τῇ τιμωρίᾳ συμβαίνοντα, οι ον ἐμάσ τιξεν Αἰγυπτίους, καὶ ἐν ἐρήμῳ τὸν λαὸν εὐηργέτησε, εἰ καὶ παραδόξως ἑκάτερον. 144.9 Χρηστὸς Κύριος τοῖς ὑπομένουσι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ε ργα αὐ τοῦ. ῾Ορᾷς ο πως ε δειξεν ο τι χρηστός ἐστι τοῖς σύμπασιν κατὰ τὸ ἐν εὐαγγελίοις, ο τι ἀνα τέλλει τὸν η λιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. 144.10 ᾽Εξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ε ργα σου, καὶ οἱ ο σιοί σου εὐλο γησάτωσαν. Νῦν ε ργα τὰς φύσεις τὰς λογικὰς λέγει· αὐταὶ γὰρ πεφύκασιν ἐξομολογεῖσθαι Θεῷ. Εἰ δὲ ἀναπέμπεταί τις ἐξομολόγησις καὶ ἀ πὸ τῆς λοιπῆς κτίσεως τῆς σωματικῆς, Θεὸς α ν ει δειεν καὶ οἱ τούτου φίλοι. 144.13 ῾Η βασιλεία σου, βασιλεία πάντων αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γε νεᾷ καὶ γενεᾷ .. Πιστὸς Κύριος ἐν τοῖς λό γοις αὐτοῦ, καὶ ο σιος ἐν πᾶσι τοῖς ε ργοις αὐ τοῦ. Εἰ ἡ βασιλεία τοῦ Θεοῦ ἡ θεωρία τῶν γε γονότων καὶ γενησομένων αἰώνων ἐστὶ, κα λῶς ει ρηται ἡ βασιλεία σου, βασιλεία πάν των τῶν αἰώνων. ᾽Ωβέλισται δὲ τό· ῾Η βασιλεία σου, βασι λεία πάντων τῶν αἰώνων. Πλὴν καὶ τοῦτο ἰστέον, ο τι γενεὰ καὶ γενεὰ ἐν τοῖς αἰῶσιν λέγεται, τῶν μὲν διδασκόντων, τῶν δὲ μαν θανόντων· ἐν δὲ τῇ ἁγίᾳ Τριάδι γενεὰ καὶ γενεὰ οὐ ῥηθήσεται. Πάντων δὲ γεγονότων ἐν Θεῷ ε ν, κατὰ τὴν προσευχὴν τοῦ Χρισ τοῦ λέγουσαν· Δὸς αὐτοῖς, ι να καὶ αὐτοὶ ἐν ἡμῖν ε ν ω σιν, καθὼς ἐγὼ καὶ σὺ ἐσμὲν ε ν, Πάτερ. –Γενεὰ καὶ γενεά· αυ τη ἡ γενεὰ ἐκ τῶν κατ' ἀρετὴν καὶ γνῶσιν γενομένων συνίσταται. –Τὴν ἐξ ἀμφοτέρων τῶν λαῶν ἐκκλησίαν φησὶν, ε ργα δὲ αὐτοῦ α πεποίη ται ἐν τῇ οἰκονομίᾳ. Δοξάσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, ὁ διδάξας με γνῶσιν. 144.15 Καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. ᾽Ιατρὸς τῶν ψυχῶν ὁ Χριστὸς ἐν εὐκαι ρίᾳ δίδωσιν αὐτοῖς τὴν τροφήν. Χρήσῃ δὲ τῷ ῥητῷ τούτῳ, λύων τὸ ἐν τοῖς εὐαγγελίοις ὑπὸ τοῦ σωτῆρος λεγόμενον· Τί ἐμοὶ καὶ σοὶ, γῦναι; Καὶ ου πως η κει ἡ ω ρα μου. Καὶ γὰρ καιρὸν σημείων οὐχ η κειν ε φασκεν, ει περ τὰ σημεῖα οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις· ἀπιστία γὰρ μετὰ τὸ κήρυγ μα ει ωθε γίνεσθαι, κηρύσσειν δὲ ου πω ὁ Κύ ριος η ρξατο τὴν βασιλείαν οὐρανῶν. – Α μα τε γὰρ βούλει, καὶ ἀπολαύει τῶν παρὰ σοῦ χορηγουμένων ε καστος ἀγαθῶν. Καθά περ γὰρ ἡμῖν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ῥᾴδιον τοὺς συνηγμένους ἐκ τεῖναι δακτύλους, καὶ ἁπλῶσαι τὴν χεῖρα, ου τω σοὶ εὐπετὲς ἐν εὐκαιρίᾳ παρασχεῖν τῶν ἀγαθῶν τὴν φοράν. –Εἰ δὲ τὰ ε ργα αὐτοῦ διαρκεῖ, πόσῳ μᾶλλον αὐτὸς διαρκῆσαι καὶ δυνατός; 144.20 Φυλάσσει Κύριος πάντας τοὺς ἀ γαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτω λοὺς ἐξολεθρεύσει. Φυλάσσων ὁ Κύριος τοὺς ἀγαπῶντας αὐ τὸν, ὁ πονηρὸς κατ' οὐδὲν α ψεται αὐτῶν. 145.4 Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ. Ου ἐξέρχεται τὸ πνεῦμα μετὰ τοῦτο, ἐ πιστρέφοντος εἰς τὴν γῆν αὐτοῦ, τούτου εὐ θέως ἀπολοῦται πάντες οἱ διαλογισμοὶ, διότι ἐν λήθῃ πάντων γενόμενος τῶν ἐν οι ς γεν νᾶται. 145.8 Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλοὺς, Κύριος ἀνορθοῖ κατεῤῥαγμέ νους. ... Ιστησι γὰρ τὸν νοῦν τὰ πράγματα διὰ τῶν ἐν πάθει νοημάτων, καθάπερ καὶ τὸ υ δωρ τὸν διψῶντα διὰ τῆς δίψης, καὶ τὸν πει νῶντα ὁ α ρτος διὰ τῆς πείνης. Τί ου ν πρὸς ταῦτα ὁ ἰατρὸς τῶν ψυχῶν; ου τε τὰ πράγ ματα διαφθείρει (αὐτὸς γὰρ αὐτῶν ἐστι δη μιουργὸς), ου τε τὸν νοῦν μὴ νοεῖν αὐτὰ κα ταναγκάζει. Τοῦ γὰρ ὑπ' αὐτοῦ νοεῖσθαι ε νεκεν, γέγονεν· ἀλλὰ διὰ τῆς πνευματικῆς διδασκαλίας καὶ τῶν ἐντολῶν ἀνατρέψας τὰ πάθη, α περ ε τερά ἐστι τῶν νοημάτων καὶ τῶν πραγμάτων ἀφ' ἡμῶν ε χοντα τὰς ἀρ χὰς, ἐλεύθερον ἀφῆκε τὸν νοῦν τῶν δεσμῶν καὶ τοῦτ' α ν ει η τό· Κύριος λύει πεπεδημέ νους. 146.1 Αἰνεῖτε τὸν Κύριον, ο τι ἀγαθὸν ψαλ μός. Ετερος δὲ περὶ τῆς ἐπανόδου τὸν πα ρόντα λέγει ψαλμὸν, διὸ ἐπάγει· Αἰνεῖτε τὸν Κύριον, ο τι ἀγαθὸς ψαλμός. 146.4 Ὁ ἀριθμῶν πλήθη α στρων, καὶ πᾶ σιν αὐτοῖς ὀνόματα καλῶν. Ταῦτα νομίζει, ἐπεὶ καὶ ἀλλαχοῦ λέγει· Πάντας αὐτοὺς κατ' ο νομα καλέσει, τουτέσ τιν οὐδεὶς αὐτῶν ἀπολεῖται, ἀλλ' ω σπερ οι κατ' ο νομα καλοῦνται, μετ' ἀκριβείας πάν τας συνάξει. –Ἐπειδὴ μέγα τὸ ἐπάγγελμα τοῦ πανταχοῦ τῆς οἰκουμένης διεσπαρμένους συναγαγεῖν, πρὸς τὸν ἀπιστοῦντα, τὸν Ἰου δαῖόν φησιν. Μὴ ζήτει πῶς καὶ τίνι τρόπῳ· δυνατὸς γάρ ἐστι καὶ συνετὸς καὶ φιλάνθρω πος. 146.9 Καὶ διδόντι τοῖς κτήνεσι τροφὴν αὐ τῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. Ζητήσεις μήποτε συνεκδοχικῶς διὰ τῶν κοράκων πᾶσαν τῶν πτηνῶν τὴν φύσιν ση μαίνει ὡς ἐπικαλουμένην Θεόν. Η κόρακας νῦν λέγει φύσεις λογικὰς νοητῶς τρέφειν δικαίους πεπιστευμένας καὶ κολάζειν ἀδί κους προστασσομένας, ει περ τοῦ μὲν κατα γελῶντος πατρὸς καὶ ἀτιμάζοντος γῆρας μητρὸς, ἐκκόπτουσι κόρακες τοὺς ὀφθαλ μοὺς ἐκ τῶν φαράγγων. Τῷ δὲ Ἡλίᾳ α ρτον κομίζουσι τὸ πρωῒ καὶ κρέα τὸ δείλης ... 146.10 Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ι ππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. Ματαία, φησὶ, δύναμις ἀνθρώπου καὶ τά χος ποδῶν. Φόβος γὰρ Κυρίου προστίθησι γνῶσιν καὶ ἀγάπην, καὶ ἀγάπη ἐλπίδα, καὶ ἐλπὶς δωρεῖται ε λεον. 147.1 Ἀλληλούια. Ἀγγαίου καὶ Ζαχαρίου. Ἐπαίνει, Ἱερουσαλὴμ, τὸν Κύριον, αι νει τὸν Θεόν σου, Σιών. Ἐν τῷ πρὸ τούτου λόγῳ ᾠκοδομεῖτο Ἱε ρουσαλὴμ ὑπὸ Κυρίου, καὶ τοῦ Ἰσραὴλ αἱ διασποραὶ ἐπισυνήπτοντο. Πρὸς τούτῳ δὲ καὶ αἱ συντετριμμέναι καρδίαι οὐδέπω η σαν τε θεραπευμέναι· διὰ τοῦτο οὐκ ἠδύνατο Ἱε ρουσαλὴμ αἰνεῖν τὸν Κύριον· ο τε δὲ λόγῳ διεγράφη τὰ κατὰ τὴν Ἱερουσαλὴμ, μέχρι τῆς θεραπείας αὐτῆς, καὶ ἀναβεβήκασιν οἱ πολῖται εἰς τὸν οὐρανὸν τῷ βίῳ, ὡς πλήθη α στρων αὐτοὺς γενέσθαι, ὡς φωστῆρας ἐν κόσμῳ ζωὴν ἐπέχοντας, καὶ ἀριθμηθῆναι ὑπὸ Θεοῦ, τότε καὶ αἰνεῖν δύναται τὸν Θεὸν, καὶ ἀκούειν ὑπὸ τοῦ προφητικοῦ πνεύ ματος· Ἐπαίνει, Ἱερουσαλὴμ, τὸν Κύριον, αι νει τὸν Θεόν σου, Σιών. Οὐ γὰρ ὡραῖος ἐν στόματι ἁμαρτωλοῦ ὁ αι νος. 147.2 Οτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. Πύλαι δὲ τῆς Ἱερουσαλὴμ, αἱ ἀρεταὶ, ω σπερ Βαβυλῶνος, αἱ ἁμαρτίαι. Αἱ μὲν γὰρ α γουσιν εἰς ζωὴν, αἱ δὲ εἰς θάνατον. Αυ ται αἱ πύλαι τῆς θυγατρός εἰσιν Σιὼν, διὰ τὸ ἐ πιβουλεύεσθαι ὑπὸ Βαβυλωνίων καὶ τῶν ἀν τικειμένων δυνάμεων ἠφανισμέναι ἐν τῇ Σα μαρίᾳ, ὡς γὰρ ἐν θρήνοις Ἱερεμίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φησί· Πᾶσαι αἱ πύλαι αὐτῆς ἠφανισμέναι, καὶ αὐ τὴ ἀπεστράφη εἰς τὰ ὀπίσω.῾Ο γὰρ μετὰ τὸ κατορθῶσαι ἀρετὴν νικηθεὶς ἠφάνισεν ἐν ἑαυτῷ τὰς τῆς ῾Ιερουσαλὴμ πύλας, ἐκδοὺς ἑαυτὸν Βαβυλωνίοις τοῖς νοητοῖς. Μοχλοὺς δὲ νοήσεις αὐτῆς τὰ ὀρθὰ δόγματα καὶ λό γους στεῤῥοὺς καὶ εὐτόνως ὑπ' αὐτοῦ ἐνισ χυομένους. –Ηὐλόγησεν τοὺς υἱούς σου ἐν σοί. Οἱ ε ξω ο ντες τῆς῾Ιερουσαλὴμ υἱοὶ ο ν τες ἐν τῇ διασπορᾷ, καὶ μήπω ἐπανελθόντες διὰ μετανοίας, οὐκ εὐλογοῦνται τοσοῦτον ο σον οἱ ο ντες ἐν αὐτῇ· εὐλογοῦνται μὲν γὰρ ἀρχὴν λαβόντες ὑποστροφῆς καὶ ἐπανόδου· κατ' αὐτὴν δὲ γενόμενοι, τελείαν ε ξουσιν εὐ λογίαν. 147.3 ῾Ο τιθεὶς τὰ ο ριά σου εἰρήνην, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. Ου τος ὁ πυρὸς ἐκ τοῦ σπέρματός ἐστιν ἐ κείνου τοῦ καλοῦ τοῦ σπαρέντος ὑπὸ τοῦ Κυρίου ἐν τῷ ἀγρῷ, ο περ πνευματικὴν γνῶ σιν σημαίνει. 147.7 ᾿Αποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτὰ, πνεύσει τὸ πνεῦμα αὐτοῦ. κτλ. ᾿Αλλὰ καὶ ὁ λόγος τοῦ Θεοῦ, εἰς τὴν καρ δίαν τῶν αὐτὸν παραδεχομένων ἀποστελλό μενος, τήξει καὶ ἀφανίσει τοὺς πειρασμούς· οἱ γὰρ τῷ πνεύματι ζέοντες γενναίως, τοὺς τοιούτους ὑπομένοντες πειρασμοὺς, διαλύου σιν αὐτούς. 148.2 Αἰνεῖτε αὐτὸν, πάντες οἱ α γγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Ετερος ἐξέδωκε· Πᾶσαι αἱ στρατιαὶ αὐ τοῦ. Λέγει δὲ τὰ χερουβεὶμ καὶ τὰ σερα φεὶμ, τὰς κυριότητας, τὰς ἀρχὰς, καὶ ἐξου σίας. 148.4 Αἰνεῖτε αὐτὸν, οἱ οὐρανοὶ τῶν οὐ ρανῶν, καὶ τὸ υ δωρ τὸ ὑπεράνω τῶν οὐρα νῶν. Αλλο γάρ ἐστιν υ δωρ τὸ ὑποκάτω τοῦ στερεώματος, καὶ ε τερον τὸ ἐν τοῖς οὐρανοῖς, καὶ α λλο πάλιν τὸ ἐπάνω τῶν οὐρα νῶν, ο περ νῦν αἰνεῖν λέγεται τὸ ο νομα Κυρίου. Ταῦτα δὲ πάντα τὰ υ δατα σημαίνει τὰ α για καὶ λογικὰ τάγματα διαφόροις ἐνδιατρίβοντα κόσμοις, α περ ὁ ἱερὸς ᾿Απόστολος ὀνόμασιν ἑτέροις δεδήλωκε, θρόνους λέγων καὶ κυριότητας καὶ ἐξουσίας. 148.12 Νεανίσκοι καὶ παρθένοι, πρεσβύται μετὰ νεωτέρων αἰνεσάτωσαν τὸ ο νομα Κυρίου. Ετερος ει πεν· ῾Οσάκις μέμνηται νεανίσκων ἡ γραφὴ καὶ παρθένων, τοὺς ἐν ἁγνοίᾳ σημαίνει, τὸ ἀδιάφθορον ε χοντας· τοὺς δὲ νεωτέρους διαβεβλημμένους ο ντας τοῖς πρεσβυτέροις συνάπτει, ὡς α ν ἐξ αὐτῶν σωφρονίζοιντο. Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ονομα Κυρίου. 148.13,14 Οτι ὑψώθη τὸ ο νομα αὐτοῦ μόνου, ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ. Υμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς ᾿Ισραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ. ῾Η ἐξομολόγησις αὐτοῦ τοῖς υἱοῖς ᾿Ισραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ. –Πολλάκις ει ρηται πῶς ὑψοῦται καὶ ἁγιάζεται καὶ μεγαλύνεται τὸ ο νομα Κυρίου. Αἰνετέον ἐπεὶ συγκεκλήρωται αὐτῷ τὸ υ ψος καὶ ἡ δόξα καὶ ἡ παρὰ πάντων εὐχαριστία. Τὸ δὲ μόνου πρὸς τοὺς οὐκ ο ντας ἀντιδιαστέλλει θεούς.῾Ως δὲ ἀρχόμενος ἀπὸ τοῦ οὐρανοῦ καταβέβηκεν εἰς τὴν γῆν, ου τω νῦν ἀπὸ γῆς ἐπὶ τὸν οὐρανὸν ἀνατρέχει. Οὐ παύονται γὰρ, φησὶν, αἱ α νω δυνάμεις εὐχαρίστως ἀνυμνοῦσαι τὸν αι τιον· ἀλλ' ο μως ὁ τοσοῦτος Θεὸς οὐκ ἀπηξίωται λαὸν ι διον ἡμᾶς ὀνομάσαι τε καὶ ὑψοῦσαι, περιφανεῖς ποιήσας ἀγαθότητι μόνῃ, καὶ οὐ τῆς παρ' ἡμῶν θεραπείας ὁ τηλικοῦτος δεόμενος· ι να δὲ μὴ ῥᾳθυμήσωσι λαοὶ ἀκούοντες, τοῖς ὁσίοις προσεῖπεν καὶ τὸ ἐγγίζοντι πάλιν ἐπέθηκεν· οὐκέτι γὰρ αὐτὸν μόνα ὑμνεῖ τὰ οὐράνια, ἀλλ' ἐπληρώθη σύμπασα γῆ γνῶναι τὸν Κύριον, ὡς υ δωρ πολὺ κατακαλύψαν θαλάσσας. 149.8 Τοῦ δῆσαι βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς. ῾Ο συμβιβάζων διδασκάλους ἑτεροδόξων, καὶ τοὺς ἐκείνοις δοκοῦντας διὰ νομιζομένην ἱκανότητα ἐνδόξους, [δήσει] τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, ι να μὴ προβαίνωσι τὸν λόγον ἑαυτῶν, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς, ι να μηκέτι κρατῶσι τῶν πάλαι διὰ τὸ εὐεξαπάτητον κρατουμένων. 150.1,2 Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν τῷ στερεώματι δυνάμεως αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν τῷ στερεώματι αὐτοῦ, οἱ ο ντες ἐν στερεώματι αὐτοῦ· οὐ γὰρ παύεται


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνεχῶς κοινωνοὺς λαμβάνειν τὰς α νω δυνάμεις τῆς εὐφημίας. Αλλος φησί· διὰ τῶν δυναστειῶν αὐτοῦ. Τί δέ ἐστιν ο λέγει· ʽΥμμνεῖτε αὐτὸν διὰ τὰς δυναστείας αὐτοῦ; διὰ τὰ θαύματα αὐτοῦ, διὰ τὴν ἰσχὺν αὐτοῦ. Πῶς δὲ δυνατὸν ἀντίῤῥοπον τοῦ πλήθους τῆς μεγαλωσύνης αὐτοῦ εἰσάγειν αι νον; ἀλλ' οὐ λέγει ἀντίῤῥοπον· ἀλλ' ο σον δυνατὸν ἐκτείνειν ἐννοοῦντα τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ, τοιοῦτον ὡς ἐγχωρεῖ σοι, υ μνον ἀνάφερε· οι ον εἰκὸς τοσούτῳ μεγάλῳ καὶ μεθ' ὑπερβολὴν μεγάλῳ ἀναφέρειν υ μνον, ανθρωπον οντα. 150.3-5 Αἰνεῖτε αὐτὸν ἐν η χῳ σάλπιγγος. Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ, καὶ κιθάρᾳ, αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χόρδαις καὶ ὀργάνῳ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνέσατο τὸν Κύριον. Εστι δὲ καὶ ἑορτὴ, ψαλτήριον δὲ καὶ κιθάρα πνεῦμα καὶ ψυχὴ νεκρωθεῖσα μέλεσι τοῖς ἐπὶ γῆς, καὶ πολλοῖς καὶ πνεύματι ἑνὶ, καὶ ψυχῇ μιᾷ, καὶ αὐτῷ νοῒ, καὶ τῇ αὐτῇ γνώμῃ· κα ν πολλοὶ δὲ ω σι μὴ συμφωνοῦντες, οὐκ εἰσὶ χορός. –Καὶ ὁ μὲν γλώσσαις τῶν ἀνθρώπων η τῶν ἀγγέλων λαλῶν, ἀγάπην δὲ μὴ ε χων, χαλκός ἐστιν ἠχῶν η κύμβαλον ἀλαλάζον. ʽΟ δὲ πρὸς ταῖς εἰρημέναις γλώσσαις, ἀγάπην ε χων, κύμβαλόν ἐστιν ευ ηχον, διὰ τὴν καλὸν ἠχοῦσαν ἀγάπην, η διὰ τὴν γλῶσσαν ὑπὸ ἀγάπης τρανουμένην, μάλιστα ο τε καὶ διερμηνεύει, καὶ τάχα οὐ πάντως τὸ ἀλαλάζον κύμβαλον καὶ ἀλαλαγμοῦ ἐστι· τὸ γὰρ τοῦ ἀλαλαγμοῦ τῷ κυρίῳ ἀλαλάζει, τὸ δὲ τέλος δηλοῦται διὰ τοῦ τελευταίου στίχου. Κατά τινα τῆς Γραφῆς συνήθειαν εὐκτικῶς εἰρημένον, ὡς τό· ʽΑγιασθήτω τὸ ο νομά σου· ἐλθέτω ἡ βασιλεία σου, ἀντὶ τοῦ· ἁγιασθείη καὶ ε λθοι. Καὶ ἐν ψαλμοῖς μυρία ἐστὶ τοιαῦτα, ὁποῖον τὸ γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα. Τοῦτο δέ φαμεν, εἰδότες καὶ ἀλλαχοῦ τηρεῖσθαι τὰ τοιαῦτα προστακτικῶς ἐν τῷ· Γενηθήτω φῶς καὶ τοῖς ὁμοίοις. ʽΟ δὲ θέλων εὐφήμως καὶ ταῦτα φάσκειν ει ναι εὐκτικὰ, ἐρεῖ τοῦ σωτῆρος ει ναι πρὸς τὸν Πατέρα εὐχὰς περὶ τῆς κοσμοποιΐας. ʼΑλλὰ πῶς ὑγιῶς ε σται τό· Αὐτὸς ει πε, καὶ ἐγεννήθη· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθη; Τηρητέον δὲ ο τι τὰ πρῶτα εἰπών· αἰνεῖτε, ὡς πρὸς η δη δυνάμε να ποιῆσαι τὸ προστασσόμενον, τὸ τελευταῖόν φησιν αἰνέσατε· καὶ γὰρ τὰ μὲν τὸν ἐνεστῶτα σημαίνει χρόνον, τὰ δὲ τὸν μέλλοντα, εἰ καὶ ὁ καλούμενος προστακτικῶς δηλοῦται ἐκ τῶν προτέρων καὶ ὁ λεγόμενος ἀόριστος ἐκ τοῦ τελευταίου. –Κιθάρα ἐστὶ ψυχὴ πρακτικὴ ὑπὸ τῶν ἐντολῶν τοῦ Χριστοῦ κινουμένη καὶ διὰ πάσης πράξεως αἰνοῦσα Θεόν. – Εν κύμβαλόν ἐστιν υ μνος εὐκόσμιος τῶν ἀγγέλων, ε τερον ἡ λογικὴ τῶν ἀνθρώπων φύσις, ω ς φησιν ὁ μέγας ἀπόστολος, ο τι πᾶσα γλῶσσα ἐξομολογήσεται ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, ο τι Κύριος ʼΙησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. Καὶ μέλος ἐπινίκιον ᾳ σει, κυμβάλων δίκην, ὁ τούτων [αἰτῶν] τὴν ὑμνῳδίαν, τοῦ πολεμίου εἰς ἀφανισμὸν γενομένου. ʽΩς γὰρ ὁ παντελὴς ἀφανισμὸς ἀδιάλειπτος, ὁ πρὸς τὸν Θεὸν αι νος εἰσαχθήσεται· ἐπειδὴ γὰρ οὐχ ὡραῖος αι νος ἐν στόματι ἁμαρτωλοῦ. ʽΑμαρτωλὸς τότε οὐκ ε σται, ἁμαρτίας οὐκ ου σης.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.